www.e-rara.ch

Hē palaia diathēkē kata tous hebdomēkonta

Grabe, Johannes Ernst

Tiguri Helvetiorum, 1730-1732

Zentralbibliothek Zürich

Shelf Mark: III A 647 l G

Persistent Link: https://doi.org/10.3931/e-rara-16821

Tomus IV.

www.e-rara.ch
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

Nutzungsbedingungen Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

Terms of Use This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

Conditions d'utilisation Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

Condizioni di utilizzo Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

III A. 647. ac.

VETUS TESTAMENTUM

EX VERSIONE SEPTUAGINTA INTERPRETUM

Olim ad fidem

CODICIS MS. ALEXANDRINI

Summo Studio & incredibili Diligentia expreſſum, emendatum ac ſuppletum

à JOANNE ERNESTO GRABE S. T. P.

Nunc vero

Diverſis VATICANI EXEMPLARIS Lectionibus

Aliisque acceſſionibus inſigniter locupletatum.

SVMMA CVRA EDIDIT

JOANNES JACOBUS BREITINGERUS.

TOMUS IV.



TIGURI HELVETIORUM

Ex Officina JOANNIS HEIDEGGERI & SOC. MDCCXXX.

BIBLIOTHEK
DER
CANTONAL-
LEHR-
ANSTALTEN
ZU
ZÜRICH.

PROLEGOMENA.

CAP. I.

Quo Notitia Codicis
ALEXANDRINI,
Præſertim quoad hunc Tomum, traditur,

Et quæ in illo Pſalmis præfixa extant, accurate deſcripta exhibentur.

QUæ in Prolegomenis Tom. I. Cap. 1. de Codice *Alexandrino* diſſerui, hoc loco repetere non eſt neceſſe; neceſſarium tamen, vel ſaltem commodum videtur, quæ de antiquitate ejusdem ibi §. 5. ſtatui, adverſus objectionem, ex quodam poſtremi hujus Tomi loco forte petendam, debite defendere, atque etiam de librorum Metricorum hocce comprehenſorum diſtinctione per στίχους ibidem §. 6. breviter dicta, hîc prolixiùs exponere ac illuſtrare. Nimirum ex inſcriptione Cantici B. *Mariæ* Virginis, unà cum alijs V. & N. Teſtamenti Hymnis Pſalterio *Davidis* ſubnexi, in qua epitheto Θεοτόκε ipſa ornata legitur, colligeret forte quiſpiam, illud unà cum reliquis Pſalmis libriſve in Codice noſtro non niſi poſt ætatem *Neſtorij*, ac poſt III. Oecumenicum Concilium, quod *Epheſi* anno 30. Seculi V^ti. æræ Chriſtianæ habitum S. *Mariæ* hunc titulum aſſeruit, demum exaratum eſſe. Verùm licet dictum Concilium titulum Θεοτόκε Matri Servatoris noſtri adſcriptum ſolenni decreto contra *Neſtorium* confirmaverit, eum tamen non primùm invenit, ſed is jam antè ab antiquioribus Patribus ipſoque Chriſtianorum vulgo uſurpatus fuit: id quod modò oſtendere, atque ſic non ſolùm Codicis *Alexandrini*, ſed & dictionis ab omnibus, præterquam *Neſtorianorum* in Oriente, Eccleſiis receptæ antiquitatem confirmare placet. Οἱ παλαιοὶ Θεοτόκον τὴν Μαρίαν λέγειν οὐκ ὤκνησαν, rectè ait *Socrates* Lib. VII. Hiſt. Eccles. cap. 32. moxque affert *Euſebii* verba Lib. III. de Vita Conſtantini ſic inter alia de Spelunca Bethleemitica ſcribentis: Ἡ βασίλισσα Ἑλένη ἡ θεοφιλεστάτη τῆς Θεοτόκου τὴν κύησιν μνήμασι θαυμασίοις κατεκόσμει, παντοίως τὸ τῇδε ἱερὸν ἄντρον φαιδρύνουσα· quæ & in noſtris Exemplaribus citati libri cap. 43. verbatim legun-

leguntur. Addit verò *Socrates* aliud insigne, licet deperditum, testimonium *Origenis*, ita pergens : Καὶ Ὠριγένης δὲ ἐν τῷ πρώτῳ τόμῳ τῶν εἰς τὴν πρὸς Ῥωμαίους τῆ Ἀποστόλῳ ἐπιστολὴν ἑρμηνευών, πῶς θεοτόκος λέγεται, πλατέως ἐξήτασε. Deperditum inquam ; siquidem in istorum, quos modo Latine habemus, *Origenis* Comentariorum in Epistolam ad Romanos Libro I. nil tale exstat : ut adeo tam ex hoc *Socratis* loco, quàm ex fragmento ejusdem Tomi in Philocalia cap. 25. recitato, si cum Latinis nostris conferatur, pateat, hisce longè prolixiores fuisse Græcos *Origenis* in dictam Epistolam Tomos, de quibus alibi plura. Cæterum ut jacturam istam quodammodo resarciam, subjungo verba *Origenis* ex Homil. 1. inter diversas, quâ in verba *Matthæi* cap. 1. de Matre Christi ita commentatur : *Mater ejus. Cujus ejus ? Mater Dei unigeniti, Domini & Regis omnium, plasmatoris & Creatoris cunctorum.* Et mox : *Hæc virgo sancta genuit Deum, sed intacta permansit ; Mater effecta est, sed Virginitatem non amisit.* Denique : *Hujus Unigeniti Dei dicitur hæc Mater Virgo Maria.* Plura S. Patrum nomina ad probandum vetustiorem tituli *Deiparæ* usum adduxit *Cyrillus Alexandrinus* in Epistola ad *Acacium Beroënsem* Tom. V. Part. II. pag. 44. scribens : Εὑρίσκω γὰρ ἐν συγγραφαῖς καὶ τὸν τῆς ἀοιδίμου μνήμης ἐπίσκοπον Ἀθανάσιον πλειςάκις αὐτὴν ὀνομάσαντα θεοτόκον, καὶ μακάριον δὲ πατέρα ἡμῶν Θεόφιλον, καὶ ἑτέρους πολλοὺς τῶν ἁγίων καὶ κατὰ καιροὺς ἐπισκόπων· τοῦτο μὲν Βασίλειον, τοῦτο δὲ Γρηγόριον, καὶ αὐτὸν δὲ μακάριον Ἀτλικόν. Horum loca hîc quidem non designavit *Cyrillus* ; aliquorum tamen verba alibi citavit, & *Athanasij* quidem ex Oratione 4ta contra Arianos, (quam λόγον τρίτον *de Trinitate* appellat, primam, quæ non nisi Epistola Encyclica contra Arianos est, reliquis quatuor Tractatibus haud adnumerans) testimonium allegavit in Epistola ad Monachos Ægypti Tom. V. Part. II. pag. 4. ex re & vero dicens B. *Mariam* ibi sæpius θεοτόκον appellari : sed & ἐκ τῆ περὶ σαρκώσεως λόγε prolixum recitavit locum Lib. de Fide ad Reginas Tom. V. Part. II. pag. 48. ubi etiam *Attici* ac *Theophili* in laudata Epistola nominatorum verba subdit, quæ tamen non ipsam θεοτόκε vocem sonant, licet rem diserte doceant. Illorum vero vicem supplere possunt duo alii à *Cyrillo* ibidem allegati, *Antiochus* & *Ammon* Episcopus *Adrianopoleos*, benedictam Virginem θεοτόκε epitheto salutantes. *Basilij* ac *Gregorij* sive loca sive verba nusquam *Cyrillus* exhibuit, in iis saltem quæ extant, Operibus ; reperitur vero θεοτόκε titulus in *Basilii* Homilia 25. de humana Christi generatione Tom. I. p. 590. C. ac *Gregorij Nysseni* Epistola ad *Eustathiam* & *Ambrosiam* Tom. III. p. 660. nec non in alterius *Gregorij*, *Nazianzeni* scilicet, Orat. 35. p. 564. ac Orat. 51. p. 738. ubi satis acriter decernit : Εἴ τις ὐ θεοτόκον τὴν Μαρίαν ὑπολαμβάνει, χωρὶς ἐςι τῆς θεότητος· ut adeo nil mirum sit, si *Thecla*, *Gregorij Nazianzeni* familiaris, cognomen istud B. Virgini in inscriptione Cantici ejus adscripserit. Atqui licet hæ auctoritates ad probandum vetustiorem Synodo *Ephesinâ* vocis θεοτόκος usum, ipsaque, quâ Codex *Alexandrinus* exara-

exaratus fertur, ætate ac manu receptum sufficere videantur; duos tamen adductis à *Cyrillo* antiquiores Episcopos *Alexandrinos* addere placet, nimirum *Alexandrum*, qui in Epistola ad *Alexandrum Constantinopolitanum* non multum à fine, apud *Theodoretum* Lib. I. Hist. Eccles. Cap. 4. τῆς θεοτόκυ Μαρίας mentionem fecit, & *Dionysium* qui in Epistola contra *Paulum Samosatenum* post medium Seculi III. sexies hunc titulum usurpavit. Quod Epitheton adeo frequenter B. *Mariæ* adscriptum *Julianus* Apostata Christianis exprobravit hoc apud *Cyrillum* Lib. VIII. contra *Julianum* p. 262. allegato dicterio: Θεοτόκον δὲ ὑμεῖς ἀ παύεσθε Μαρίαν καλοῦντες.

§. 2. Quod *Psalmorum Davidis* ac reliquorum Metricorum Veteris Testamenti, *Jobi* scilicet ac *Salomonis* librorum distinctionem per στίχους, id est, versus sive potius commata, in *Alexandrino* etiam Codice observatam attinet, de ea *Hesychii Hierosolymitani* verba citato Prolegomenorum Tomi I. loco allegavi; quibus & *Libros Prophetarum majoris perspicuitatis causa per versuum cola dividere, vetus inventum S. Patrum* vocat. Et sane ipsum quoque *Origenem* in Hexaplis textum LXX. Interpretum στιχηρῶς scriptum exhibuisse, ex *Eusebij* Histor. Eccles. Lib. VI. cap. 16. rectè docuit *Valesius* in Annotatione ad istum locum, quam lege, si placet; nec non quæ *Martianæus* Prolegom. IV. in Divinam S. *Hieronymi* Bibliothecam de divisione Biblicorum aliorumque Librorum per cola sive versus prolixè satis atque eruditè disseruit. Atque hinc natæ sunt Stichometriæ, veluti *Nicephori Constantinopolitani*, cui adscribi solet, aliaque quam diligentissimus *Cotelerius* Judicio de Epistola S. *Barnabæ* inseruit; quæ tamen & inter se, & à Codice *Alexandrino* quoad numerum τῶν στίχων in Metricis V. T. Libris aliquantum sunt diversæ; quòd Librarii partim numeros in Stichometriis vitiaverint, partim in describendis sacris Scripturis minùs accurati haud eandem semper versuum distinctionem observaverint, sed duos sæpe in unum contraxerint: cujus παραράμματος etiam Scribam *Alexandrini* Codicis quandoque reum deprehendi, ideoque quibusdam in locis Capite 2. recensendis ab eo discedere consultum duxi. At vero cum error iste procedente tempore magis magisque processerit, hinc factum videtur, ut Codex noster longè vetustissimus numerum stichorum in Libris Metricis habeat aliquanto majorem illo, quem singulis horum assignat utraque modo dicta Stichometria, utpote sequiori ætate composita: *Psalterio* tamen excepto, quod cum in MS. *Alex.* quinta circiter parte mutilum sit, novem inde foliis deperditis, versuum rationes haud exactè inire licet. Sic verbi gratia libro *Jobi* 1800. cola adscribit *Nicephori*, 1600. alia apud *Cotelerium* Stichometria; at in nostro MS. bis mille ac centum fere versibus is distinctus legitur. Porro in *Proverbiis Salomonis* 1700. vel 1708. stichos numeravit *Nicephorus*, 1600. alter *Cotelerii* Antiquarius; ast in *Alex.* Codice 1900. circiter reperiuntur. Quin in librorum Metricorum minimo, *Cantico* nempe *Salomonis* satis magna cernitur

nitur differentia : quippe *Niceph.* 280. *Coteler.* 300. MS. *Alex.* 360. habet ſtichos, uno per errorem Librarii omiſſo, ac in noſtra idcirco Editione minoribus literis expreſſo. Capitulorum, quæ vulgo dicuntur, diſtinctionem in Scripturis Metricis, ſaltem *Salomonis*, nullam deſignat Codex noſter. Equidem ex eo, quod cujuslibet *Pſalmi* principium vel titulum minio exaraverit Librarius, colligeret forte quispiam, in reliquis etiam Libris, ubi ſtichi rubro colore ſcripti apparent, novum incipere Caput; ſed rem aliter ſe habere, ex accurata illorum omnium recenſione ſuis locis facienda patebit. Atqui hæc in genere de Libris Metricis, prout in MS. *Alex.* exhibentur, dicta ſufficiant.

§. 3. *Pſalmos Davidis* in ſpecie quod attinet, hiſce varia in Codice noſtro præfixa extant : & primo quidem S. *Athanaſii* Epiſtola ad *Marcellinum*, quâ inſignem *Pſalterii* excellentiam, atque ſingulorum *Pſalmorum* variis in caſibus uſum demonſtravit. Atqui hanc ipſe S. *Athanaſius* προέταξεν ἐν τῇ βίβλῳ τῆς ἑρμηνείας τῶν Ψαλμῶν, *Interpretationi Pſalmorum præpoſuit*, ut à *Synodo Nicæna* II. Tom. VII. Concil. *Labbei* col. 540. memoriæ proditum eſt. Aſt ſive vera ſive falſa ſit traditio iſta, ipſius tamen S. Patris ævo vel paulo poſt Librariis ſolemne fuiſſe, ut laudatam Epiſtolam ipſi *Pſalmorum* libro veluti εἰσαγωγὴν aut *Prodromum* præmitterent, *Alexandrini* Codicis exemplum oſtendit. Cæterum licet in pluribus S. *Athanaſii* Editionibus, ac in poſtrema Celeberrimi *Montfauconi*, omnium optima Tom. I. Part. II. p. 982. usque 1003. iſte ad *Marcellinum* libellus Græcè ac Latinè ſit exeuſus; eum tamen ex antiquiſſimis ac S. Patri fere coævis membranis noſtris haud parum correctiorem ac pleniorem, ut conferenti patebit, hîc denuo edere placuit, absque Latina tamen verſione. Quamvis enim hanc quoque prælo fere paratam haberem, mutato tamen conſilio eam omittendam cenſui, quod antedictæ literæ intellectu perfaciles ſint, vel tales iis ſaltem futuræ, qui ſequentem in hoc Tomo Græcum S. Scripturæ textum ſine interpretatione intelligere potuerint. Sectiones, in quas Epiſtolam diſpeſcuit Librarius noſter, licet incommodas ſæpe, hic tamen obſervare placuit; niſi ubi perperam prorſus in medio commatis vel periodi ſunt factæ, vel ubi aliter textum dividere neceſſe fuit; de quibus Lectorem in ora paginæ inferiori ſemper monui : ac ibidem etiam Sphalmata Scribæ vel anomalias Scripturæ annotavi; excepto eo, quod frequenter ac perpetuo fere occurrit, nempe τεσσερακοσὸς pro τεσσαρακοσός. Sine longiori igitur præfatione jam laudatam S. *Athanaſii* Epiſtolam ex Codice *Alex.* accuratè deſcriptam ſiſto :

ΑΘΑΝΑΣΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ.

Ἀγαμαί σε τῆς ἐν Χριστῷ προαιρέσεως, Φίλε Μαρκελλῖνε· καὶ γὰρ καὶ τὸν παρόντα πειρασμὸν, καίτοι πολλὰ παθὼν ἐν αὐτῷ, καλῶς φέρεις, καὶ τῆς ἀσκήσεως ἐκ ἀμελεῖς. Πυνθανόμενος γὰρ τὸ κομίσαντος τὴν ἐπιστολὴν, πῶς ἄρα καὶ μετὰ τὴν νόσον διάγεις· ἔμαθον πρὸς μὲν πᾶσαν τὴν θείαν γραφὴν ἔχειν [a] σε" τὴν σχολὴν, πυκνότερον δὲ μάλιστα τῇ βίβλῳ τῶν ψαλμῶν ἐντυγχάνειν, καὶ φιλονεικεῖν τὸν ἐν ἑκάστῳ ψαλμῷ νῷ ἐγκείμενον καταλαμβάνειν.

Καὶ διὰ τοῦτο τοίνυν ἀποδέχομαί σε, πολὺν ἔχων εἰς αὐτὴν τὴν βίβλον κἀγὼ πόθον, ὥσπερ καὶ εἰς πᾶσαν τὴν γραφήν.

Καὶ γὰρ ἔτως ἔχων, συνέτυχόν τινι φιλοπόνῳ γέροντι, καὶ βέλομαι καί σοι, ἅπερ ἐκεῖνος κατέχων τὸ ψαλτήριον περὶ αὐτοῦ μοι διηγήσατο, γράψαι· ἔχει γάρ τινα χάριν καὶ πιθανότητα, [b] μετ' εὐλόγου τοῦ διηγήματος".

Ἔλεγεν γὰρ ἔτως· Πᾶσα μὲν, ὦ τέκνον, ἡ καθ' ἡμᾶς γραφὴ, παλαιά τε καὶ καινὴ, θεόπνευστός ἐστιν καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, ὡς γέγραπται· ἔχει δέ τινα πιθανὴν παρατήρησιν τοῖς προσέχουσιν ἡ τῶν ψαλμῶν βίβλος. 2. Tim. 3. v. 16.

Ἑκάστη μὲν γὰρ βίβλος τὸ ἴδιον ἐπάγγελμα διακονεῖ καὶ ἀπαγγέλλει· οἷον ἡ Πενταteuchος γένεσιν κόσμου καὶ τῶν πατριαρχῶν τὰς πράξεις, τήν τε ἀπ' Αἰγύπτου τοῦ Ἰσραὴλ [c] ἔξοδον", καὶ τὴν τῆς νομοθεσίας διάταξιν· ἡ Τρίτευχος τὴν κληροδοσίαν, καὶ τῶν κριτῶν τὰς πράξεις, καὶ [d] γενεαλογίαν" τοῦ Δαβὶδ· αἱ Βασιλεῖαι καὶ Παραλειπόμενα βασιλέων πράξεις· καὶ ὁ μὲν Ἔσδρας ἀπόλυσιν τῆς αἰχμαλωσίας καὶ ἐπάνοδον τοῦ λαοῦ, καὶ οἰκοδομὴν τοῦ ναοῦ καὶ τῆς πόλεως· [e] οἱ δὲ Προφῆται προφητείας περὶ τῆς ἐπιδημίας τοῦ σωτῆρος, ὑπομνήσεις τε περὶ τῶν ἐντολῶν, καὶ μέμψεις κατὰ τῶν παραβαινόντων, καὶ προφητείας τοῖς ἔθνεσιν.

Ἡ δέ γε βίβλος τῶν ψαλμῶν, ὡς παράδεισος [f] τὰ" ἐν αὐτῇ φέρουσα μελῳδεῖ, καὶ τὰ ἴδια δὲ πάλιν μετ' αὐτῶν ψάλλουσα ὑποδείκνυσιν". Τὰ μὲν γὰρ τῆς Γενέσεως [h] ψάλλει ἐν" τῷ ὀκτωκαιδεκάτῳ· „ οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, „ ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ „ στερέωμα· καὶ ἐν τῷ κγ'· Τοῦ Κυρίου „ ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰ„ κουμένη καὶ πάντες οἱ κατοικοῦντες „ ἐν αὐτῇ· αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμε„ λίωσεν αὐτήν.

Τὰ δὲ τῆς Ἐξόδου καὶ τῶν Ἀριθμῶν καὶ

a Εἰς MS. mendosè. b Μετὰ τοῦ εὐλογου τὸ διώδημα *Alex.* perperam. c Hæc vox in MS. deest, erasa forte; siquidem hoc loco duo versus recentiori atramento rasis linais superinducto scripti extant. d Γενεαλογίαν MS. e In MS. nova Sectio incipit minus rectè. f Τῶν πάντων (scilicet βιβλίων) ex Editt. addere necesse videtur. Et sane post vocem αὐτῇ in MS. vacuum spatium est relictum. g Δεικνύσιν. *Alex.* h Ψάλλειν mendosè MS.

καὶ τῇ δευτερονομίῳ ᾄδει καλῶς ἐν τῷ ἑβδομηκοστῷ ἑβδόμῳ ψαλμῷ, καὶ ἐν τῷ ἑκατοστῷ τρισκαιδεκάτῳ ψαλμῷ, λέγων· [a] „ Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύ-„ πτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, „ ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσ-„ραὴλ εἰς ἐξουσίαν αὐτοῦ.

Ψάλλει δὲ καὶ ταῦτα ἐν τῷ ἑκατοστῷ τετάρτῳ· „ Ἐξαπέστειλεν Μωϋσῆν τὸν „ δοῦλον αὐτοῦ, Ἀαρὼν ὃν ἐξελέξατο αὐ-„ τόν· ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν „ σημείων αὐτοῦ καὶ τῶν τεράτων αὐτοῦ „ ἐν γῇ Χάμ. Ἐξαπέστειλεν σκότος, „ καὶ ἐσκότασεν, καὶ παρεπίκραναν „ τοὺς λόγους αὐτοῦ. Μετέστρεψεν τὰ „ ὕδατα αὐτῶν εἰς αἷμα, καὶ ἀπέκτει-„ νεν τοὺς ἰχθύας αὐτῶν. Ἐξῆρψεν ἡ „ γῆ αὐτῶν βατράχους ἐν τοῖς ταμείοις „ τῶν βασιλέων αὐτῶν· εἶπεν καὶ ἦλ-„ θεν κυνόμυια, καὶ σκνῖφες ἐν πᾶσιν „ τοῖς ὁρίοις αὐτῶν. Καὶ ὅλως ὅλον τε τὸν ψαλμὸν τοῦτόν τε τὸν ἑκατονπέμ-πτον περὶ τῶν αὐτῶν ἔστιν εὑρεῖν γε-γραμμένον. Καὶ τὰ μὲν τῆς ἱερατείας καὶ τῆς σκηνῆς ἀναφωνεῖ [b] ἐν ἐξοδίῳ σκηνῆς" ἐν τῷ κή. ψαλμῷ· „ ἐνέγκα-„ τε τῷ Κυρίῳ υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ „ Κυρίῳ υἱοὺς κριῶν, ἐνέγκατε τῷ Κυ-„ ρίῳ δόξαν καὶ τιμήν.

Τὰ δὲ τοῦ Ναοῦ καὶ τῶν Κριτῶν ἐμ-φαίνει πως ἐν τῷ ἑκατοστῷ ἕκτῳ, λέγων· „ Καὶ συνεκήσαντο πόλεις κατοι-„ κεσίας, καὶ ἔσπειραν ἀγροὺς, καὶ „ ἐφύτευσαν ἀμπελῶνας. Ἐπὶ γὰρ τοῦ Ναοῦ διαδέδοται αὐτοῖς ἡ γῆ τῆς ἐπαγγελίας. Λέγων δὲ ἐν τῷ αὐτῷ ψαλμῷ συνεχῶς· „ Καὶ ἐκέκραξαν „ πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, „ καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν „ αὐτούς· σημαίνει τῶν Κριτῶν τὴν βί-βλον· τότε γὰρ κραζόντων αὐτῶν ἤγειρεν κατὰ τὸν καιρὸν κριτὰς, καὶ ἔσωζεν τὸν λαὸν ἀπὸ τῶν θλιβόντων αὐτούς.

Καὶ τὰ τῶν Βασιλειῶν ψάλλει πως ἐν τῷ ἐννεακαιδεκάτῳ, λέγων· „ Οὗ-„ τοι ἐν ἅρμασιν καὶ οὗτοι ἐν ἵπποις, „ ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν „ μεγαλυνθησόμεθα· αὐτοὶ συνεποδί-„ θησαν καὶ ἔπεσαν, ἡμεῖς δὲ ἀνέστη-„ μεν καὶ ἀνορθώθημεν. Κύριε σῶσον „ τὸν βασιλέα, καὶ ἐπάκουσον ἡμῶν ἐν „ ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσόμεθά σε.

Τὰ δὲ τοῦ Ἔσδρα ἐν τῷ ἑκατονεικοστῷ πέμπτῳ τῶν Ἀναβαθμῶν ᾄδει· „ Ἐν τῷ „ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν „ Σιὼν, ἐγενήθημεν ὡσεὶ παρακεκλημέ-„ νοι. Καὶ πάλιν ἐν τῷ [c] ἑκατονεικοστῷ" πρώτῳ· „ Εὐφράνθην ἐπὶ τοῖς εἰρηκό-„ σιν μοι· εἰς οἶκον Κυρίου πορευσώμεθα, „ ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς „ αὐλαῖς σου Ἰερουσαλήμ. Ἰερουσαλὴμ „ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ [d] μετο-„ χὴ" αὐτῆς ἐπὶ τὸ αὐτό· ἐκεῖ γὰρ „ ἀνέβησαν αἱ Φυλαὶ, αἱ Φυλαὶ Κυρίου, „ μαρτύριον τῷ Ἰσραήλ. Τά τε τῶν Προφητῶν χεδὸν ἐν ἑκάστῳ σημαίνει. Πε-ρὶ τῆς τοῦ σωτῆρος ἐπιδημίας, καὶ ὅτι μὲν

a Malè nova sectio incipit in *Alex.* b Titulus Psalmi κη'. quem citat, in multis τῶν ό. Exemplaribus ipsoque *Alex.* Codice est: Ψαλμὸς τῷ Δαβὶδ ἐξοδίου σκηνῆς, pro quo hîc habet: ἐν ἐξοδίῳ σκηνῆς, ut *Vulg.* Latina: *in consummatione tabernaculi.* c Ἑκατοεικοστῷ MS. d Μέτο-χοι MS. malè.

μὲν Θεὸς ὢν ἐπιδημήσει, ἔτως φησὶν ἐν μὲν τῷ τεσσαρακοστῷ ἐνάτῳ ψαλμῷ· „ Ὁ Κύριος ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, „ καὶ ὲ παρασιωπήσεται. Ἐν δὲ τῷ ἑκατοστῷ ἑπλακαιδεκάτῳ· „ Εὐλογημέ- „ νος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· εὐ- „ λογήκαμεν ὑμᾶς ἐξ οἴκε Κυρίε· Θεὸς „ Κύριος, καὶ ἐπέφανεν ἡμῖν.

Ὅτι δὲ ἔτός ἐσιν ὁ τῆ πατρὸς λό- γος, ἔτως ἐν τῷ ἑκατοστῷ ἕκλῳ ψάλλει· „ Ἀπέσειλεν τὸν λόγον αὐτῆ, καὶ ἰά- „ σατο αὐτὲς, καὶ ἐρύσατο αὐτὲς ἐκ „ τῶν διαφθορῶν αὐτῶν. Ὁ γὰρ ἐρ- χόμενος Θεὸς αὐτός ἐσιν καὶ λόγος ἀ- ποσελλόμενος. Τῆτον δὲ τὸν λόγον εἰ- δὼς ὄντα τὸν υἱὸν τῆ Θεῆ, ᾄδει φωνὴν τῆ πατρὸς ἐν τῷ τεσσαρακοστῷ τετάρ- τῳ ψαλμῷ· „ Ἐξηρεύξατο ἡ καρδία „ με λόγον ἀγαθόν. Καὶ πάλιν ἐν τῷ ἑκατοστῷ ἐνάτῳ· „ Ἐκ γασρὸς πρὸ „ ἑωσφόρε ἐξεγέννησά σε. Τί γὰρ ἂν ἄλλο τις εἴποι γέννημα τῆ πατρὸς, ἢ τὸν λόγον καὶ τὴν σοφίαν αὐτῆ; τῆ- Genes. 1. τον εἰδυῖα ὄντα ᾧ εἶπεν ὁ πατήρ· „ Γε- v. 3. &c. „ νηθήτω φῶς, καὶ σερέωμα, καὶ τὰ „ πάντα, καὶ αὕτη ἡ βίβλος περιέχει, [a] λέγουσα"· „ Τῷ λόγῳ Κυρίε οἱ ἀρα- „ νοὶ ἐσερεώθησαν, καὶ τῷ πνεύματι „ τῆ σόματος αὐτῆ πᾶσα ἡ δύναμις „ αὐτῶν. Καὶ Χριςὸν δὲ αὐτὸν ἐρχό- μενον ἐκ ἠγνόησεν, ἀλλὰ καὶ μάλισα περὶ τέτε λέγει ἐν τῷ τεσσαρακοστῷ τε- τάρτῳ ψαλμῷ· „ [b] Ὁ θρόνος σε ὁ „ Θεὸς εἰς τὸν αἰῶνα τῆ αἰῶνος· ῥά- „ βδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλεί- „ ας σε. Ἠγάπησας δικαιοσύνην, καὶ „ ἐμίσησας ἀδικίαν· διὰ τῆτο ἔχρισέν „ σε ὁ Θεὸς ὁ Θεός σε ἔλαιον ἀγαλλιά- „ σεως παρὰ τὲς μετόχους σε. Καὶ ἵνα μὴ κατὰ φαντασίαν τις ἔρχεθαι αὐτὸν (εἶναι) νομίσῃ, σημαίνει αὐτὸν ἄνθρωπον γενησόμενον, καὶ τῆτον εἶναι δι' ὃ τὰ πάντα γέγονεν, λέγων ἐν τῷ ὀγδοηκοστῷ ἕκλῳ· Μήτηρ Σιὼν ἐρεῖ· ἄν- „ θρωπος καὶ ἄνθρωπος ἐγεννήθη ἐν „ αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν „ ὁ ὕψισος.

Τῆτο γὰρ ἶσόν ἐσιν τῷ εἰπεῖν· „ Καὶ Joan. 1. „ Θεὸς ἦν ὁ λόγος· πάντα δι' αὐτῆ ἐ- v. 1. 2. 14. „ γένετο· καὶ, ὁ λόγος σὰρξ ἐγένετο. Διὰ τῆτο καὶ τὸ, ἐκ παρθένου, γινώ- σκων ἐκ ἐσιώπησεν, ἀλλ' εὐθὺς ἔμφα- σίν τινα δ.δωσιν ἐν τῷ τεσσαρακοστῷ τε- τάρτῳ ψαλμῷ, λέγων· „ Ἄκουσον „ θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ ὖς „ σε, καὶ ἐπιλάθου τῆ λαῆ σε καὶ τῆ „ οἴκε τῆ πατρός σε, ὅτι ἐπεθύμησεν „ ὁ βασιλεὺς τῆ κάλλους σε.

Τῆτο γὰρ πάλιν ὅμοιόν ἐσιν τῆ λε- γομένῳ παρὰ τῆ Γαβριήλ· „ Χαῖρε κε- Luc. 1. „ χαριτωμένη, ὁ Κύριος μετὰ σῆ. Καὶ v. 28. γὰρ εἰρηκὼς αὐτὸν Χριςὸν, εὐθὺς καὶ τὴν ἀνθρωπίνην γένεσιν ἐκ τῆς παρθένε ἐδήλωσεν, λέγων· ἄκεσον θύγατερ.

Ἰδὲ ὁ μὲν Γαβριὴλ ἐξ ὀνόματος καλεῖ Μαρίαν, ξένος ὢν αὐτῆς κατὰ τὴν γέ- νεσιν· ὁ δὲ Δαυὶδ ἐκ τῆ σπέρματος αὐ- τῆ τυγχάνεσαν αὐτὴν εἰκότως θυγα- τέρα προσφωνεῖ ταύτην. Ἄνθρωπον δὲ αὐτὸν εἰρηκυῖα γενησόμενον, ἀκολέθως καὶ παθητὸν αὐτὸν σαρκὶ σημαίνει.

a Ἐν τῷ τριακοστῷ δευτέρῳ, ex Editt. addendum videtur.

b Novam sectionem hîc perperam inchoavit Librarius.

Τήν τε ἐπιβολὴν παρὰ τῶν Ἰουδαίων ὁρῶσα γινομένην, ψάλλει ἐν μὲν τῷ δευτέρῳ ψαλμῷ· „ Ἱνατί ἐφρύαξαν ἔθνη, „ καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστη- „ σαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρ- „ χοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κα- „ τὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐ- „ τοῦ. Ἐν δὲ τῷ εἰκοστῷ καὶ πρώτῳ τὴν [a] ποιότητα" τοῦ θανάτου ἐκ προσώπου τοῦ σωτῆρός φησιν· „ Εἰς χοῦν θανάτου κα- „ τήγαγές με· ὅτι ἐκύκλωσάν με κύνες „ πολλοί, συναγωγὴ πονηρευομένων περι- „ έσχον με· ὤρυξαν χεῖράς μου καὶ πό- „ δας μου, ἐξηρίθμησαν πάντα τὰ ὀ- „ στᾶ μου· αὐτοὶ δὲ κατενόησαν καὶ ἐπί- „ δον με· διεμερίσαντο τὰ ἱμάτιά μου „ ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου „ ἔβαλον κλῆρον.

Τὸ δὲ, τὰς χεῖρας καὶ τοὺς πόδας ὀρύττεσθαι, τί ἕτερον ἢ σαυρὸν λέγων σημαίνει; Πάντα ταῦτα διδάσκουσα προσέθησιν, ὅτι μὴ δι' ἑαυτὸν, δι' ἡμᾶς δὲ ταῦτα πάσχει ὁ Κύριος, καὶ φησὶν ἐκ προσώπου πάλιν αὐτοῦ ἐν μὲν τῷ πζ'· „ Ἐπ' ἐμὲ ἐπεσηρίχθη ὁ θυμός σου· ἐν „ δὲ τῷ ἑξηκοστῷ ὀγδόῳ· ἃ οὐκ ἤρπασα, „ τότε ἀπετίννυον. Οὐ γὰρ ὑπεύθυ- νος ὢν ἀπέθνησκεν, ἀλλ' ὑπὲρ ἡμῶν ἔπασχεν, καὶ τὸν καθ' ἡμῶν θυμὸν διὰ τὴν παράβασιν ἐφ' ἑαυτὸν * ἐβάσαζεν", λέγοντος διὰ τοῦ Ἡσαΐου· „ Αὐτὸς τὰς „ ἀσθενείας ἡμῶν ἔλαβεν· καὶ λεγόντων μὲν ἡμῶν ἐν τῷ ἑκατοστῷ τριακοστῷ ἕβ- δόμῳ ψαλμῷ· „ Κύριος ἀνταποδώσει „ ὑπὲρ ἐμοῦ· λέγοντος δὲ καὶ τοῦ πνεύ- ματος ἐν ἑβδομηκοστῷ πρώτῳ· „ Καὶ „ σώσει τοὺς υἱοὺς τῶν πενήτων, καὶ τα- „ πεινώσει συκοφάντην· ὅτι ἐρύσατο „ πλωχὸν ἐκ χειρὸς δυνάστου, καὶ πέν- „ τα, ᾧ οὐκ ὑπῆρχεν βοηθός. Διὰ τοῦτο καὶ τὴν εἰς οὐρανὸς σωματικὴν αὐ- τοῦ [b] ἄνοδον" προμηνύει, καὶ λέγει ἐν μὲν εἰκοστῷ καὶ τρίτῳ· „ Ἄρατε πύλας „ οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύ- „ λαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βα- „ σιλεὺς τῆς δόξης.

„ Ἐν δὲ τῷ τεσσαρακοστῷ ἕκτῳ· ἀνέ- „ βη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν „ φωνῇ σάλπιγγος. Τὴν μὲν κάθισιν ἀναγγέλλει, καὶ φησὶν ἐν μὲν τῷ ἑκατοστῷ ἑνάτῳ· „ Εἶπεν ὁ Κύριος τῷ κυ- „ ρίῳ μου· [c] κάθου" ἐκ δεξιῶν μου, ἕως „ ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν „ ποδῶν σου. Ἐν δὲ τῷ ἑνάτῳ καὶ τὴν γενομένην ἀπώλειαν τοῦ Διαβόλου βοᾷ· „ Ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιο- „ σύνην, ἐπετίμησας ἔθνεσιν, καὶ ἀπώ- „ λετο ὁ ἀσεβής. Καὶ γὰρ ὅτι τὴν κρίσιν πᾶσαν ἔλαβεν παρὰ τοῦ πατρὸς, οὐκ ἔκρυψεν, ἀλλὰ καὶ κριτὴν πάντων αὐτὸν ἐρχόμενον προμηνύει ἐν μὲν οὐ· „ Ὁ Θεὸς, τὸ κρίμα σου τῷ βασιλεῖ „ δος, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ „ τοῦ βασιλέως, κρίνειν τὸν λαόν σου ἐν „ δικαιοσύνῃ, καὶ τοὺς πλωχούς σου ἐν κρί- „ σει. Ἐν δὲ τῷ μθ'. φησίν· „ Προσ- „ καλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν „ γῆν, τοῦ διακρίναι τὸν λαὸν αὐτοῦ· „ καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιο- „ σύνην αὐτοῦ, ὅτι ὁ Θεὸς κριτής ἐστιν. Καὶ

a Ποιοτήτητα malè MS. * Ἐβάσαζεν MS. b Ἄναδον mendosè MS. c Hæc vox bis in *Alex.* scripta est.

Καὶ ἐν τῷ πα΄· „ Ὁ Θεὸς ἔστη ἐν συνα-
„ γωγῇ Θεῶν, ἐν μέσῳ δὲ [a] Θεὸς" δια-
„ κρίνει. Καὶ μὴν καὶ τὴν κλῆσιν τῶν
ἐθνῶν ἐσιν [b] ἐπ'" αὐτῆς μαθεῖν, ἐπὶ
πολλῶν μὲν, μάλισα δὲ ἀπὸ τῦ μς΄·
„ Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας,
„ ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλ-
„ λιάσεως. Ἐν δὲ τῷ οα΄· „ Ἐνώπιον
„ αὐτῦ προπεσῦνται Αἰθίοπες, καὶ οἱ
„ ἐχθροὶ αὐτῦ χῦν λείξουσιν· Βασιλεῖς
„ Θαρσεῖς καὶ αἱ νῆσοι δῶρα προσοί-
„ σουσιν, Βασιλεῖς Ἀραβῶν καὶ Σαβὰ
„ δῶρα προσάξουσιν· καὶ προσκυνήσου-
„ σιν αὐτῷ πάντες οἱ Βασιλεῖς τῆς
„ γῆς, πάντα τὰ ἔθνη δουλεύσουσιν
„ αὐτῷ. Ταῦτα μὲν ἐν τοῖς ψαλμοῖς
ᾄδεται, ἐν δὲ ἑκάστῃ τῶν ἄλλων βίβλων
προαπαγγέλλεται. Οὐκ ἀγνοῶν δὲ πά-
λιν [c] ἔλεγεν" ὅτι καὶ ἐν ἑκάστῃ βίβλῳ
τῆς γραφῆς [d] τὰ" αὐτὰ περὶ τῦ σω-
τῆρος ἐξαιρέτως σημαίνεται· καὶ ἔστιν
τῦτο [e] πᾶσαις αὐταῖς ἀπάγγελμα,
καὶ συμφωνία ἡ αὐτὴ τῦ πνεύματος.
Καὶ γὰρ ὥσπερ τὰ τῶν ἄλλων ἐν ταύ-
τῃ δυνατὸν εὑρεῖν· ἕτως καὶ τὰ ταύτης
ἐν ταῖς ἑτέραις πολλάκις εὑρίσκεται.
Καὶ γὰρ Μωϋσῆς ᾠδὴν γράφει, καὶ Ἡ-
σαΐας ᾄδει, καὶ ὁ Ἀμβακὰμ προσεύ-
χεται μετ' ᾠδῆς. Πάλιν τε ἐν ἑκάστῃ
βίβλῳ ἐσὶν ἰδεῖν καὶ προφητείας καὶ νο-
μοθεσίαν καὶ ἱσορίας. Τὸ γὰρ αὐτὸ
πνεῦμα ἐπὶ πάντας ἐσὶν, καὶ κατὰ
μὲν τὴν εἰς ἕκασον γενομένην αὐτῦ δια-
ίρεσιν ἕκασος τὴν δοθεῖσαν αὐτῷ χάριν
διακονεῖ καὶ πληροῖ, εἴτε προφητεία
ἐσὶν, εἴτε νομοθεσία, εἴτε τῆς ἱσορίας ἡ
μνήμη, εἴτε τῶν ψαλμῶν ἡ χάρις. Ἐ-
πειδὴ δὲ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμά ἐσιν,
ἅπερ καὶ [f] πᾶσαι" διαιρέσεις εἰσὶν, αὐ-
τὸ δὲ ἀδιαίρετόν ἐσιν κατὰ Φύσιν, διά-
τοι τῦτο τὸ ὅλον μέν ἐσιν [g] ἑκάστῳ",
κατὰ δὲ τὴν διακονίαν αἱ Φανερώσεις
καὶ αἱ διαιρέσεις τῦ πνεύματος ἑκάστοις
γίνονται· καὶ λοιπὸν κατὰ τὴν ἀποκει-
μένην χρείαν πολλάκις ἕκασος, ὑπηχῦν-
τος τῦ πνεύματος, διακονεῖ τὸν λόγον·
ὥσε, καθὰ προεῖπον, νομοθετῦντα Μω-
σῆν προφητεύειν ποτε καὶ ᾄδειν, καὶ
προφητεύοντας τὰς προφήτας ἐντέλ-
λεσθαί ποτε· „ λέσασθε, καθαροὶ [h]
„ γίνεσθε". Ἀπόπλυνε ἀπὸ κακίας τὴν Esai. 1: 16.
„ καρδίαν σου Ἰερουσαλήμ· καὶ ἱσορεῖν Jerem. 4.
ποτε, τὸν μὲν Δανιὴλ τὰ κατὰ Σου- v. 14.
σάνναν, τὸν δὲ Ἡσαΐαν τὰ κατὰ τὸν Cap. 1.
Ῥαψάκην καὶ τὸν Σενναχηρείμ. Οὕ- Cap. 36.
τως γὰρ καὶ ἡ τῶν ψαλμῶν βίβλος & 37.
ἔχουσα [i] τὸ" ἴδιον τῶν ᾠδῶν, [k] ὅπερ"
ἐν ταῖς ἄλλοις βίβλοις διεξοδικῶς εἴρη-
ται, ταῦτα αὐτὴ τῇ κατὰ πλάτος
φωνῇ μετὰ μέλους ᾄλλει, καθὼς
προείρηται.

Νομοθετεῖ γῦν πόλε καὶ αὐτή· „ Παῦ- Psalm. 36.
„ σαι ἀπὸ ὀργῆς, καὶ ἐγκαταλιπε θυ- juxta ο΄.
„ μόν· καὶ· ἔκκλινον ἀπὸ κακῦ, καὶ v. 8.
„ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην καὶ Psalm. 33.
„ δίωξον αὐτήν. Καὶ ἱσορεῖ δέποτε κα- v. 15.
τὰ τὴν ὁδὸν τῦ Ἰσραὴλ, καὶ προφη-
τεύει περὶ τῦ σωτῆρος, ὥσπερ εἴρηται
πρότερον.

a MS. malè ἐς. b Alia exemplaria ἀπ' habent. c Scilicet senex ille, cujus mentionem initio hujus Epistolæ fecit. d Ab hac voce in MS. nova sectio perperam inchoatur. e Vox κοινὸν in Editis hîc inserta legitur. f Πᾶσα malè MS. g Editi libri meliùs, ἑαυτῷ. h Γενέσθαι malè MS. i Τὸν MS. perperam. k Ἅπερ melius Edittt.

Κοινὴ μὲν ἔν τοιαύτῃ τῇ πνεύματος χάρις [a] ἔσω" παρὰ πᾶσιν, καὶ ἐν ἑκάστῳ γινομένη εὑρισκέσθω, καὶ παρὰ πᾶσιν ἡ αὐτὴ, ὡς ἐὰν ἡ χρεία ἀπαιτῇ, καὶ τὸ πνεῦμα βέληται. Οὐ διαφέρει γὰρ τὸ πλέον καὶ ἔλαττον ἐν ταύτῃ τῇ χρείᾳ, ὡς ἕκαστος ἀνενδότως τὴν ἰδίαν ἀποπληροῖ καὶ τελειοῖ διακονίαν.

Ἡ δέ γε βίβλος τῶν ψαλμῶν καὶ ἔτως ἔχει τινὰ πάλιν χάριν ἰδίαν καὶ παρατήρησιν ἐξαίρετον· πρὸς γὰρ τοῖς ἄλλοις, ἐν οἷς πρὸς τὰς ἄλλας βίβλους ἔχει τὴν σχέσιν καὶ κοινωνίαν, λοιπὸν καὶ ἴδιον ἔχει τοῦτο θαῦμα, ὅτι καὶ τὰ [b] ἑκάστης" ψυχῆς κινήματα, τάς τε τούτων μεταβολὰς καὶ διορθώσεις ἔχει διαγεγραμμένας καὶ διατετυπωμένας ἐν ἑαυτῇ· ὥστε τινὰ τὸν βελόμενον ὡς [c] ἄπειρον" ἐξ αὐτῆς λαμβάνειν καὶ κατανοεῖν, ἔτω τε τυπεῖν ἑαυτὸν, [d] ἐκεῖ γέγραπται.

Ἐν μὲν γὰρ ταῖς ἄλλαις βίβλοις μόνον τις ἀκούει τὸν νόμον προστάττοντα, ἃ (μὴ) δεῖ ποιεῖν καὶ μὴ δεῖ πράττειν· προφητείας τε κατακούει, ὥστε μόνον εἰδέναι τὸν ἐρχόμενον σωτῆρα· καὶ [e] ἱστορίαις" δὲ προσέχει, ἐξ ὧν γινώσκειν δύναται τὰς τῶν [f] βασιλειῶν" καὶ τὰς τῶν ἁγίων πράξεις. Ἐν δὲ τῇ βίβλῳ τῶν ψαλμῶν πρὸς τῷ [g] ταῦτα μανθάνειν" τὸν ἀκούοντα, ἔτι καὶ τὰ [h] κινήματα" τῆς ἑαυτοῦ ψυχῆς ἐν αὐτῇ κατανοεῖ καὶ διδάσκεται· καὶ λοιπὸν πρὸς ὃ πάσχει καὶ ἐν ᾧ συνέχεται, δύναται πάλιν ἐκ ταύτης ἔχεσθαι τὴν εἰκόνα τῶν λόγων, ὥστε μὴ μόνον ἀκέσαντα παρέρχεσθαι, ἀλλὰ καὶ πῶς δεῖ λέγοντα καὶ ποιῆντα θεραπεύειν τὸ πάθος, [i] διδάσκει".

Εἰσὶν μὲν γὰρ καὶ ἐν ταῖς ἄλλαις βίβλοις κωλυτικοὶ λόγοι, ἀπαγορεύοντες τὰ φαῦλα· ἐν ταύτῃ δὲ καὶ πῶς ἀπέχεσθαι δεῖ, τετύπωται. Οἷον παράγγελμά ἐστιν τὸ μετανοεῖν· τὸ δὲ μετανοεῖν, παύεσθαι τῆς ἁμαρτίας ἐστίν· ἐνταῦθα δὲ καὶ πῶς [k] μετανοεῖν, καὶ τί δεῖ λέγειν ἐπὶ τῇ μετανοίᾳ, τετύπωται.

Καὶ πάλιν εἴρηκεν ὁ Παῦλος· „ ἡ Rom. 5. v. 3. 4. 5.
„ θλῖψις τῇ ψυχῇ ὑπομονὴν κατεργά-
„ ζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δο-
„ κιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς ἐ καταισχύ-
„ νει· ἐν δὲ τοῖς ψαλμοῖς καὶ πῶς δεῖ φέρειν τὰς θλίψεις, καὶ τί θλιβόμενον δεῖ λέγειν, καὶ τί μετὰ τὰς θλίψεις, καὶ πῶς ἕκαστος δοκιμάζεται, καὶ τίνες οἱ λόγοι τῶν ἐλπιζόντων ἐπὶ Κύριον, γέγραπται καὶ κεχάρακται. Πάλιν τε ἐντολή ἐστιν ἐν παντὶ εὐχαριστεῖν· ἀλλὰ 1. Thes. 5. v. 18. καὶ τί δεῖ λέγειν εὐχαριστοῦντας, διδάσκουσιν οἱ ψαλμοί.

Εἶτα παρ' ἑτέρων ἀκούοντες· „ ὅσοι 2. Tim. 3. v. 12.
„ θέλουσιν εὐσεβῶς ζῆν, διωχθήσονται,
παρὰ τούτων διδασκόμεθα, καὶ πῶς δεῖ φεύγοντας φωνεῖν, καὶ τίνας διωκομέ-

a Ἔσαι minus rectè MS. b Ἐκ τῆς MS. perperam. c Ἀπ' εἰκόνος Editt. quæ lectio paulo sequentibus est consona. d Ὡς bene insertum in Editt. e Ἱστορικαῖς MS. minus rectè. f Βασιλέων alii. g Πάντα μανθάνει MS. perperam. h Γενήματα malè in MS. primâ syllaba γε raso spatio superscripta; adeo ut non prioris Scribæ, sed imperiti Emendatoris mendum esse videatur. i Forte διδάσκεσθαι legendum. k Δεῖ hic quoque additum in Editt.

κειμένας καὶ μετὰ τὸν διωγμὸν ῥυσθέντας δεῖ λόγως ἀναφέρειν τῷ Θεῷ. Εὐλογεῖν παραγγελλόμεθα τὸν Κύριον καὶ ἐξομολογεῖσθαι αὐτῷ· ἀλλ' ἐν τοῖς ψαλμοῖς τυπέμεθα πῶς τε αἰνεῖν δεῖ τὸν Κύριον, καὶ τίνα ῥήματα λέγοντες ἐξομολογέμεθα πρεπόντως. Καὶ ἐφ' ἑκάστῳ δέ τις ἔτως ἂν εὕροι τὰς θείας ᾠδὰς, πρὸς ἡμᾶς καὶ ἡμῶν κινήσεις καὶ καταστάσεις κειμένας. Καὶ γὰρ καὶ τῦτο παράδοξόν ἐστιν πάλιν ἐν τοῖς ψαλμοῖς, ὅτι ἐν μὲν ταῖς ἄλλαις βίβλοις, ἃ λέγεσιν οἱ ἅγιοι, καὶ περὶ ὧν ἂν λέγεσιν, ταῦτα καὶ οἱ ἀναγινώσκοντες, περὶ ὧν ἐκεῖνα γέγραπται, ἀπαγγέλλοντές εἰσιν· οὔτε ἀκούοντες ἄλλως ἑαυτὸς ἐκείνων ἡγῦνται, περὶ ὧν ὁ λόγος φησὶν, καὶ τὰς ἐπαγγελλομένας δὲ πράξεις, ἄχρι τῦ θαυμάζειν καὶ ζηλᾶν αὐτὰς, εἰς τὸ μιμεῖσθαι γίνονται.

Ταύτην δὲ βίβλον ὁ λαμβάνων τὰς μὲν περὶ τῦ σωτῆρος προφητείας συνήθως ἐν ταῖς ἄλλαις γραφαῖς θαυμάζων καὶ προσκυνῶν διεξέρχεται, τὸς δὲ ἑτέρως ψαλμὸς ὡς ἰδίως ὄντας λόγως ἀναγινώσκει· καὶ ὁ ἀκούων δὲ ὡς αὐτὸς λέγων καταιύσεται, καὶ συνδιατίθεται τοῖς τῶν ᾠδῶν ῥήμασιν, ὡς [a] ἰδίαν ὄντων αὐτῦ". Σαφηνείας δὲ χάριν ἐκ ὀκνητέον, κατὰ τὸν μακάριον Ἀπόστολον, ἐπανάλαβόντα τὸ αὐτὸ λέγειν. Πλεῖστοι λόγοι τῶν πατριαρχῶν εἰσιν, καὶ ἴδιοι παρ' αὐτῶν εἰρημένοι· καὶ Μωυσῆς ἐλάλει, ὁ δὲ Θεὸς ἀπεκρίνατο· [b] Ἠλίας τε καὶ Ἐλισαῖος ἐπὶ τὸ Καρμήλιον ὄρος καθήμενοι ἐπεκαλῦντο τὸν Κύριον, καὶ ἀεὶ ἔλεγον· ζῇ Κύριος, ᾧ παρέστην ἐνώπιον αὐτῦ σήμερον. Οἵ τε τῶν ἄλλων ἁγίων προφητῶν λόγοι προηγέμενοι μέν εἰσιν οἱ περὶ τῦ σωτῆρος· ἔπειτα δὲ καὶ πλεῖστοι γεγόνασιν τοῖς τε ἔθνεσιν καὶ τῷ Ἰσραήλ. Καὶ ὅμως ἀδεὶς ἔτε τῶν πατριαρχῶν λόγως ὡς ἰδίως ἂν ποτε εἴποι, ἔτε τολμήσοι τις μιμήσασθαι καὶ εἰπεῖν τὰ Μωσέως ἴδια ῥήματα, ἀδὲ τῦ Ἀβραὰμ περὶ τῦ οἰκογενῦς καὶ τῦ Ἰσμαὴλ καὶ τὰ περὶ τῦ μεγάλυ Ἰσαὰκ, κἂν ἡ αὐτὴ χρεία τινὰ καὶ ἀνάγκη καταλάβοι, τολμήσας ἂν τις ὡς ἴδια εἴποι. [c] Ἂν" δὲ καὶ [d] συμπάσχοι" τις τοῖς πάσχουσιν, καὶ πόθον ποτὲ λάβοι τῦ κρείττονος, ἔποτ' ἂν εἴποι [e] ὡς" Μωϋσῆς· „ Ἐμφάνισόν μοι σεαυτόν· ἢ πάλιν· * „ εἰ μὲν ἀφῆς αὐτοῖς τὴν ἁμαρ- „ τίαν, ἄφες· εἰ δὲ μὴ ἀφῆς, ἐξάλει- „ ψον μὲ ἐκ τῆς βίβλυ συ, ἧς ἔγρα- „ ψας.

Ἀλλ' ἀδὲ τὰς τῶν προφητῶν τις λαμβάνων ὡς ἴδια ῥήματα, μέμψαιτό τις ἢ ἐπαινέσειεν τέτοις τὰ ὅμοια πράξαντας οἷς ἐμέμψαντο καὶ ἐπήνεσαν ἐκεῖνοι, ἀδὲ τό· „ Ζῇ Κύριος ᾧ παρέστην „ ἐνώπιον αὐτῦ σήμερον, μιμήσηται ἄν τις εἰπεῖν ὡς ἴδιον λόγον. Καὶ γὰρ καὶ ὁ ἐντυγχάνων ταῖς βίβλοις φανερός ἐστιν, μὴ ὡς ἰδίως, ἀλλὰ τῶν ἁγίων καὶ τῶν δι' αὐτῶν δηλεμένων λέγων τὰς λόγως. Τὰς δέ γε ψαλμὰς, τὸ παράδοξον, μετὰ τὰς περὶ τῦ σωτῆρος καὶ τῶν ἐθνῶν προφητείας, ὁ λέγων τὰ ἄλ-

3. Reg. 17. v. 1. & 4. Reg. 3. v. 14.

Exod. 33. v. 13.

* Ibid. 32. v. 32.

a Ἰδίων αὐτῦ ὄντων Editt. b Hìc malè novam Sectionem incepit Librarius. c Ἂν ἐν MS. mendosè. d Συνπάσχῃ MS. e Ὧν MS.

λα, ὡς ἴδια ῥήματα λαλῶν ἐστιν, καὶ ὡς περὶ αὐτῦ γραφέντας αὐτὸς ἕκαστος ψάλλει, καὶ ἐχ ὡς ἑτέρῳ λέγοντος ἢ περὶ ἑτέρῳ σημαίνοντος δέχεται, καὶ διεξέρχεται· ἀλλ' ὡς αὐτὸς περὶ αὐτῦ λαλῶν διατίθεται, καὶ οἷά ἐστιν τὰ λεγόμενα, ταῦτα ὡς αὐτὸς πράξας καὶ ἐξ ἑαυτῦ λαλῶν ἀναφέρει τῷ Θεῷ. Οὐ γὰρ ὡς τὰ τῶν Πατριαρχῶν ῥήματα, καὶ Μωϋσέως, καὶ τῶν ἄλλων προφητῶν, εὐλαβηθήσεται καὶ ταῦτα· ἀλλὰ καὶ μάλιστα ὡς ἴδια καὶ περὶ ἑαυτῦ γραφέντα θαρσεῖ λέγων ὁ ψάλλων ταῦτα. Τὸν γὰρ φυλάξαντα τὴν ἐντολὴν, καὶ παραβάντα ταύτην, τήν τε ἑκατέρᾳ πρᾶξιν περιέχουσιν οἱ ψαλμοί. Ἀνάγκη δὲ πάντα ἄνθρωπον ἐν τέτοις συνέχεσθαι, καὶ ἢ ὡς φυλάξαντα τὴν ἐντολὴν, ἢ ὡς παραβάντα ταύτην λέγειν τὰς περὶ ἑκάστου γεγραμμένους λόγους. Καί μοι δοκεῖ, τῷ ψάλλοντι γίνεσθαι τέτους ὥσπερ εἰσοπτρον, εἰς τὸ κατανοεῖν καὶ αὐτὸν ἐν αὐτοῖς καὶ τὰ τῆς ἑαυτῦ ψυχῆς κινήματα, καὶ ἔτως αἰδόμενον ἀπαγγέλλειν αὐτές. Καὶ γὰρ καὶ ὁ ἀκέων τῦ ἀναγινώσκοντος, ὡς περὶ ἑαυτῦ λεγομένην τὴν ᾠδὴν καταδέχεται· καὶ ἢ ἐλεγχόμενος ὑπὸ τῦ συνειδότος κατανυγεὶς μετανοήσει, ἢ περὶ τῆς εἰς Θεὸν ἐλπίδος ἀκέων καὶ τῆς εἰς τὰς πιστεύοντας γινομένης [a] ἀντιλήψεως", ὡς εἰς αὐτὸν γενομένης τοιαύτης χάριτος ἀγαλλιᾶται, καὶ εὐχαριστεῖν ἄρχεται τῷ Θεῷ.

* ὅτι MS. *"Οτε γὰν τὸν τρίτον ψάλλει τις εἰς τὰς ἰδίας θλίψεις συνορῶν, ὡς αὐτῦ εἶναι νομίζει τὰ ἐν τῷ ψαλμῷ ῥήματα· καὶ τότε τὸν ιά. καὶ τὸν ις. ὡς εἰς τὴν ἰδίαν πεποίθησιν καὶ προσευχήν ἐστιν ἀπαγγέλλων· καὶ τὸν μέν ν. ψαλμὸν ὡς αὐτός ἐστιν τὰ ἴδια τῆς μετανοίας ἑαυτῦ λέγων ῥήματα· τὸν δὲ νγ. καὶ τὸν νε. καὶ τὸν νς. καὶ τὸν ρμά. ὅτε ψάλλει τις, ἐχ ὡς ἄλλου διωκομένε, ἀλλ' ὡς ὢν ὁ πάσχων συνδιατίθεται, καὶ ᾄδει τῷ Κυρίῳ ὡς ἰδίας τὰς λόγας τέτας. Καὶ ὅλως ἔτως ἕκαστος ψαλμὸς παρὰ τῦ πνεύματος εἴρηταί τε καὶ συντέτακται, ὡς † ἐν αὐτοῖς", καθὰ πρότερον εἴρηται, τὰ κινήματα τῆς ψυχῆς ἡμῶν κατανοεῖσθαι, καὶ πάντας αὐτὰς ὡς περὶ ἡμῶν εἰρῆσθαι, καὶ εἶναι ἡμῶν αὐτὰς ὡς ἰδίας λόγας, εἰς * ἀναμνησιν" τῶν ἐν ἡμῖν κινημάτων, καὶ διόρθωσιν τῆς ἡμῶν πολιτείας. [b] Ἃ γὰρ οἱ ψάλλοντες εἰρήκασιν, ταῦτα καὶ ἡμῶν δύνανται τύποι καὶ χαρακτῆρες εἶναι.

† ἑαυτοῖς MS. malè.

* ἄμνησιν

[b] Αὕτη δὲ πάλιν τῦ σωτῆρός ἐστιν ἡ χάρις· ἄνθρωπος γὰρ δι' ἡμᾶς γενόμενος, τὸ μὲν σῶμα τὸ ἴδιον ὑπὲρ ἡμῶν προσήνεγκεν εἰς θάνατον, ἵνα πάντας ἀπαλλάξῃ τῦ θανάτε· τὴν δὲ ἀφάνιον καὶ εὐάρεστον ἑαυτῦ πολιτείαν δεῖξαι θέλων ἡμῖν, ἐν ἑαυτῷ ταύτην ἐτύπωσεν, ὑπὲρ τῦ μηκέτι * τινὰς εὐχερῶς ἀπατᾶσθαι παρὰ τῦ ἐχθρῦ † ἔχοντας ἐνέχυρον πρὸς ἀσφάλειαν, τὴν παρ' αὐτῦ γενομένην ὑπὲρ ἡμῶν κατὰ τῦ διαβόλε νίκην. Διὰ τῦτο γὰν ὃ μόνον ἐδίδαξεν, ἀλλὰ καὶ πεποίηκεν ἃ ἐδίδαξεν, ἵνα ἕκαστος ἀκέῃ μὲν αὐτῦ λαλῦντος,

* τινὰ MS.

† ἔχοντες MS.

a Ἀντιλήψεως MS. uti solet. b Hìc novam sectionem facere debebat Librarius, quam demum incepit in medio sequentis periodi ab istis verbis : ἀκέων· μάθετε ἀπ' ἐμῦ κ. τ. λ.

τος, ὡς ἐν εἰκόνι δὲ βλέπων λαμβάνῃ
† τὰ MS. παρ' αὐτῆ † τὸ παράδειγμα τῆ ποιεῖν,
Matth. 11. ἀκέων· „ * μάθετε" ἀπ' ἐμῆ, ὅτι
v. 29. * ὅτι θέτε, πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ.
male MS. Τελειστέραν δὲ καὶ εἰς ἀρετὴν διδασκαλίαν ἐκ ἂν τις εὕροι, ἧς ὁ Κύριος ἐτύπωσεν ἐν ἑαυτῷ. Εἴτε γὰρ ἀνεξικακίαν, εἴτε φιλανθρωπίαν, εἴτε ἀγαθότητα, εἴτε ἀνδρίαν, εἴτε ἐλεημοσύνην, εἴτε δικαιοσύνην, πάντα ἐν αὐτῷ τις εὑρήσει γενόμενα, ὥστε μηδὲν εἰς ἀρετὴν λείπειν τῷ κατανοοῦντι τὸν ἀνθρώπινον βίον τοῦτον. Τοῦτο γὰρ ὁ Παῦλος εἰδὼς,
1. Cor. 11. ἔλεγεν· „ Μιμηταί μου γίνεσθε, καθὼς
v. 1. „ κἀγὼ Χριστοῦ.

[a] Οἱ" μὲν παρ' Ἕλλησιν νομοθέται ἄχρι τοῦ λέγειν ἔσχυσιν τὴν χάριν· ὁ δὲ Κύριος ὡς ἀληθῶς κύριος ὢν τῶ παντὸς, καὶ κηδόμενος ὧν εἰργάσατο, ἃ μόνον νομοθετεῖ, ἀλλὰ καὶ τύπον ἑαυτὸν δέδωκεν, εἰς τὸ εἰδέναι τοὺς βουλομένους τὴν τοῦ ποιεῖν δύναμιν. Διὰ τοῦτο γοῦν καὶ πρὸ τῆς εἰς ἡμᾶς αὐτοῦ ἐπιδημίας ἐνήχησεν καὶ ἐν τοῖς ψαλμοῖσιν τοῦτο, ἵν' ὥσπερ ἐν αὐτῷ τὸν ἐπίγειον καὶ ἐράνιον ἄνθρωπον τυπῶν ἔδειξεν, ἕτω καὶ ἐκ τῶν ψαλμῶν τὰ κινήματα καὶ τὰς διαθέσεις τῶν ψυχῶν ὁ βουλόμενος καταμαθεῖν δύνηται, εὑρίσκων ἐν [b] αὐτοῖς" καὶ τὴν ἑκάστου κινήματος θεραπείαν τε καὶ διόρθωσιν. Εἰ γὰρ δεῖ καὶ πιθανώτερον εἰπεῖν, πᾶσα μὲν ἡ θεία γραφὴ διδάσκαλός [c] ἐστιν" ἀρετῆς καὶ πίστεως ἀληθοῦς· ἡ δέ γε βίβλος τῶν ψαλμῶν ἔχει καὶ τὴν εἰκόνα πῶς τῆς διαγωγῆς [d] τῶν" ψυχῶν. Ὡς γὰρ ὁ εἰσερχόμενος πρὸς βασιλέα τυποῦται καὶ τῷ χήματι καὶ τοῖς ῥήμασιν, ἵνα μὴ παρὰ ταῦτα λέγων, ὡς ἀπαίδευτος ἐκβληθῇ· ἕτως ἡ θεία βίβλος τὸν ἐπ' ἀρετῇ τρέχοντα καὶ † βουλόμενον κατανοῆσαι τὴν τοῦ σωτῆρος ἐν σώματι πολιτείαν, ὑπομιμνήσκει πρῶτον διὰ τῆς ἀναγνώσεως τὰ κινήματα τῆς ψυχῆς, καὶ ἕτω λοιπὸν τυποῖ καὶ διδάσκει τοὺς ἐντυγχάνοντας τοῖς τοιούτοις λόγοις. Εἰσὶν μὲν οὖν, ἵνα τοῦτο πρῶτόν τις τῆς βίβλου [e] παρατηρήσηται", οἱ μὲν ἐν διηγήματι λεγόμενοι, οἱ δὲ ἐν παραινέσει, οἱ δὲ ἐν προφητείᾳ, οἱ δὲ ὡς ἐν εὐχῇ, οἱ δὲ ἐν ἐξομολογήσει.

† βουλόμενος MS.

[f] Καὶ" εἰσὶν μὲν οἱ ἐν διηγήματι, ιή. μγ'. μή. μϑ'. οϐ'. οϛ'. οζ'. πή. ϱϛ'. ριγ'. ρκϛ'. ρλϛ'. Οἱ δὲ ὡς ἐν εὐχῇ, [g] ρλα'. ρμα'. ιϛ'. ξζ'. πϑ'. ρα'".

Οἱ δὲ ὡς ἐν ἐντυχίᾳ καὶ εὐχῇ καὶ δεήσει, ε'. ϛ'. ζ'. ια'. ιϐ'. ιε'. κϑ'. κζ'. λ'. λϑ'. λζ. μϐ'. νγ'. νϑ'. νε'. νϛ'. νη'. νϑ'. ξ'. ξγ'. πϐ'. πε'. πζ'. ρλζ'. ρλϑ'. ρμϐ'.

Καὶ οἱ μὲν ὡς ἐν ἐντυχίᾳ καὶ εὐχαριστίᾳ, ρλή. οἱ δὲ ὡς ἐν ἐντυχίᾳ μόνῃ, γ'. κε'. ξή. ξϑ'. ο'. ογ'. οή. οϑ'. ρή. ρκϐ'. ρκϑ'. ρλ'. Καὶ οὗ μὲν ἐν ἐξομολογήσει θ'. οϑ'. ϟα'. ρϑ'. ρε". ρϛ'. ρζ'. ρί. ριζ'. ρλε. ρλζ'. Οἱ δὲ συνπεπλεγμένην ἔχοντες ἐξομολόγησιν

a Inde novam Sectionem incipere placuit, cujus initium Librarius perperam fecit à sequenti hujus periodi colo : ὁ δὲ Κύριος. b Αὐτῷ MS. c Ἐστιν *Alex.* incuriâ Scribæ. d Hæc vox in MS perperam repetitur. e Παρατηρηθείηται MS. ultimis syllabis raso spatio superscriptis. f Hìc novam Sectionem feci, exemplo Librarii in proximè sequentibus. g Istos numeros perverso ordine posuit Scriba.

γησιν καὶ διήγησιν, θ'. οδ'. ρέ. ρς'. ριζ'. ρλζ'. Οἱ δὲ συνπεπλεγμένην ἔχοντες ἐξομολόγησιν καὶ διήγησιν [a] μετὰ αἰνέσεως", ρί.

Καὶ οἱ μὲν ἐν παραινέσει εἰσὶν, λς'.

Οἱ δὲ ἐν προφητείᾳ, κ'. καά. μδ'. μς'. σέ. Καὶ ἀπαγγελτικὸς μὲν μετὰ προφητείας, ρθ'.

Προτρεπτικοὶ δὲ καὶ ὡς παρακελευόμενοί εἰσιν, κή. λϐ'. π'. ϟδ'. ϟέ. ϟς'. ϟζ'. ϱϐ'. ργ'. ριγ'.

Προτρεπτικὸς δὲ μετὰ ᾄσματος [b] ἐλέχθη" ρμθ'.

Καὶ οἱ μὲν διαγράφοντες τὸν ἐνάρετον βίον εἰσὶν, ρδ'. ρια. ριή. ρκδ'. ρλϐ'. Οἱ δὲ αἶνον ἀπαγγέλλοντες ἤτοί εἰσιν, ϟ'. ριϐ'. ρις'. ρλδ'. ρμδ'. ρμέ. ρμς'. ρμή. ρν'.

Καὶ οἱ μὲν εὐχαριστικοί εἰσιν ή. θ'. ιζ'. λγ'. μέ. ξϐ'. ος'. πδ'. ριδ'. ριέ. ρκ'. ρκά. ρκγ'. ρκέ. ρκή. ρμγ'.

Οἱ δὲ μακαρισμὸν ἀναφωνοῦντές εἰσιν, ά. λά. μ'. ριή. ρκζ'. Καὶ ἄλλος ἐπιδεικτικὸς προθυμίας μετ' ᾠδῆς, ρζ'. Καὶ ὁ μὲν προτρεπτικὸς εἰς ἀνδρίαν ἐστὶν π'. Οἱ δὲ κατηγορικοὶ τῶν ἀσεϐῶν καὶ παρανόμων † εἰσὶν, ϐ'. ιγ'. λέ. να'. νϐ'. Καὶ ὁ μὲν ἐπικλήσεώς ἐστιν δ'. Οἱ δὲ ἐπευκτικὰ [c] ἀπαγγέλλουσιν", ὡς ιθ'. καὶ ξγ'.

† σιν mendosè MS.

Καὶ οἱ μὲν καυχήσεως τῆς ἐν Κυρίῳ ἀπαγγέλλοντες λόγους εἰσὶν, κϐ'. καὶ ς'. (lege κς'.) λή. λθ'. μά. ξά. οέ. πγ'. ϟς'. ϟή. ρνά. Οἱ δὲ ἐντρεπτικοί εἰσιν, νζ'. πά. Καὶ οἱ μὲν ὕμνους ῥήματα λέγουσιν, μζ'. ξδ'· οἱ δὲ ἀλαλαγμῷ καὶ περὶ ἀναστάσεως, ξέ· καὶ ἕτερος ἀλαλαγμῷ [d] μόνον" ῥήματα λέγει, ϟθ'.

Τοιαύτης ἓν τῆς διατάξεως ὔσης τῶν ψαλμῶν, ἔστιν λοιπὸν δυνατὸν τὸς ἐντυγχάνοντας εὑρεῖν ἐν ἑκάστῳ, καθὰ προεῖπον, τὰ κινήματα καὶ τὴν κατάστασιν τῆς ἰδίας ψυχῆς, ἔτως τε περὶ ἑκάστου τὸν τύπον καὶ τὴν διδασκαλίαν, καὶ τίνα μὲν λέγων ἀρέσκειν δύναται τῷ Κυρίῳ, διὰ ποίων δὲ ῥημάτων ἑαυτὸν διορθοῦσθαι δύναται καὶ εὐχαριστεῖν τῷ Κυρίῳ, ὑπὲρ τοῦ μὴ εἰς † ἀσέϐειαν" ἐκπίπτειν τὸν παρὰ τοιαῦτα λέγοντα. Οὐ γὰρ μόνον περὶ τῶν ἔργων, ἀλλὰ καὶ περὶ ἀργοῦ ῥήματος ἀποδοῦναι λόγον ἔχομεν τῷ κριτῇ. Ἂν τε τοίνυν μακαρίσαι τινὰ θελήσῃς, ἔχεις πῶς δεῖ, καὶ ἐπί τινι καὶ τίνα δεῖ λέγειν, τόν τε ά. καὶ τὸν λά. καὶ μ'. καὶ ρια. καὶ ριή. καὶ ρκζ'. ἄν τε μέμψασθαι τὴν Ἰουδαίων κατὰ τοῦ σωτῆρος ἐπιβουλὴν, ἔχεις τὴν δευτέραν ᾠδήν. Ἂν δὲ διώκῃ παρὰ τῶν ἰδίων, καὶ πολλοὺς ἔχῃς τοὺς ἐπαναστάντας κατὰ σοῦ, λέγε τὸν γ'. ψαλμόν. Εἰ δὲ ἔτως θλιβόμενος ἐπεκαλέσω τὸν Κύριον, καὶ εἰσακουσθεὶς [e] θέλεις εὐχαριστεῖν", ψάλλε τὸν τέταρτον καὶ οδ'. καὶ ριδ'.

† ἀϐέϐειαν mendosè MS.

Matth. 12. v. 36.

Καὶ ἐὰν ἔτι τὸς πονηρευομένους βλέπων ἐνεδρεύειν θέλοντας, ἐνωτίζεσθαί

σθ

a Hæc verba desunt in MS. quæ tamen necessaria sunt ad distinctionem à proximè præcedenti colô. b Ἐλέγχθη MS. c Ἀπαγγελλοῦσιν MS. d Hæc vox deest in MS. e Εὐχαριστῶ MS. (id est εὐχαριστεῖς) sed ultimum τ. raso spatio superscriptum.

σε θέλης τὴν εὐχὴν, ὀρθρίζων τὸ πρωῒ ψάλλε τὸν ε'. Αἰθόμενος δὲ ἀπειλῆς τῦ Κυρίε, ἐὰν διὰ τῦτο ταραττόμενον σεαυτὸν βλέπης, δύνασαι λέγειν τὸν ς'. καὶ τὸν λζ'.

Ἐὰν δὲ καὶ βελεύωνταί τινες κατὰ σε, ὡς ὁ Ἀχιτόφελ κατὰ τῦ Δαυὶδ, καὶ τῦτό σοί τις ἀπαγγείλῃ, ψάλλε τὸν ζ'. καὶ θάρρει τῷ ῥυομένῳ σε Θεῷ.

[a] Βλέπων δὲ τὴν παντα χῦ χάριν τῦ σωτῆρος ἐκλεταμένην, καὶ † σωθὲν" τὸ γένος τῶν ἀνθρώπων, ἐὰν προσφωνεῖν θέλῃς τῷ Κυρίῳ, ψάλλε τὸν η'. Ἀλλὰ πάλιν ᾆσαι θέλεις ἐπιλήνιον, εὐχαριςῶν τῷ Κυρίῳ; ἔχεις αὐτὸν πάλιν τὸν η'. καὶ τὸν * πγ'.

† σωσὲν mendosè MS.

Ἐπὶ δὲ τῷ καταργῆθαι τὸν ἐχθρὸν καὶ σεσῶθαι τὴν κλῆσιν, μὴ καυχώμενος ἐπὶ σαυτῷ, ἀλλὰ εἰδὼς τὸν υἱὸν τῦ Θεῦ τῦτο κατορθώσαντα, λέγε τὸν εἰς αὐτὸν εἰρημένον θ'. ψαλμόν. Καὶ ἐὰν λίαν σέ τις ταράττειν ἐθέλοι, ἔχε σὺ τὴν πεποίθησιν εἰς τὸν Κύριον, καὶ ψάλλε τὸν ι'. [b] Ὅλαν δὲ τὴν τῶν πολλῶν ὑπερηφανίαν ἴδῃς καὶ πλεονάζεσαν τὴν κακίαν, ὥςε μηδὲν ὅσιον ἐπ' ἀνθρώποις γενέθαι, κατάφυγε σὺ ἐπὶ τὸν Κύριον, καὶ λέγε τὸν ια'". [c] Ἐγχρονιζέσης" δὲ τῆς παρὰ τῶν ἐχθρῶν ἐπιβελῆς, μὴ ὀλιγώρει ὡς ἐπιληθεὶς παρὰ τῷ Θεῷ, ἀλλὰ παρακάλει τὸν Κύριον, ᾄδων τὸν ιϛ'. Ἐπειδ' ἂν βλασφημέντων τινῶν κατὰ τῆς προνοίας ἀκέσης, μὴ κοινώνει μὲν αὐτῶν τῇ ἀσεβείᾳ, ἐντυγχάνων δὲ τῷ Θεῷ, λέγε τὸν ιγ'. καὶ νϛ'. Καὶ λοιπὸν ἐὰν θέλῃς μαθεῖν ὁποῖός ἐσιν τῆς βασιλείας τῶν ἐρανῶν ὁ πολίτης, ψάλλε τὸν ιδ'.

Προσευχῆς σοι χρεία διὰ τὰς ἀνθεσηκότας σοι καὶ περιέχοντάς σε τὴν ψυχὴν, ᾄδε τὸν ις'. καὶ τὸν πε'. καὶ τὸν πζ'. καὶ τὸν ρμ'. Ἀλλὰ θέλεις μαθεῖν, πῶς Μωϋσῆς προσηύξατο, ἔχεις τὸν πθ'. Ἀλλ' ἐσώθης ἀπὸ τῶν ἐχθρῶν σε, καὶ ἐρύσθης ἀπὸ τῶν διωκόντων σε, ᾄδε καὶ σὺ τὸν ιζ'. ψαλμόν. Θαυμάζεις τὴν τῆς κλίσεως τάξιν καὶ τὴν εἰς αὐτὴν τῆς προνοίας χάριν, τῦ τε νόμε τὰ ἱερὰ προσάγματα, ψάλλε τὸν ιή'. καὶ τὸν κγ'. Θλιβομένε δὲ ὀρῶν, παρακάλει τέτε, ἐπευχόμενος καὶ λέγων αὐτοῖς τὰ ἐν τῷ ιθ'. ψαλμῷ ῥήματα.

Ὁρᾷς σεαυτὸν ποιμαινόμενον καὶ εὐοδούμενον παρὰ τῦ Κυρίε, χαίρων ἐπὶ τέτῳ ψάλλε τὸν κϐ'.

Οἱ ἐχθροὶ περὶ σὲ, ἀλλὰ σὺ τὴν ψυχὴν ἐπαίρων πρὸς Θεὸν, λέγε τὸν κδ'. καὶ ὄψει τέτε ἁμαρτάνοντας διακενῆς. [d] Ἐπιμένεσιν" οἱ ἐχθροὶ, ᾐδὲν ἕτερον ἢ τὰς χεῖρας ἔχοντες αἱμάτων πλήρεις, καὶ ζητῦντες † ἑλκῦσαι σε καὶ ἀπολέσαι, μὴ δῷς ἀνθρώπῳ τὸ κρίμα, (ὕποπλα γὰρ πάντα τὰ ἀνθρώπινα·) ἀλλὰ τὸν Θεὸν ἀξιῶν κριτὴν γενέθαι, (μόνος γὰρ αὐτὸς δίκαιος,)

a Librarius malè hanc Sectionem incepit à paulo poſt ſequentibus verbis : ἐὰν προσφωνεῖν κ. τ. λ. b Integra hæc periodus in MS. omiſſa eſt. * Adde ex Edit. π'. καὶ. c Ἐγχρονιζέσης MS. d Ἐπμένεσιν *Alex.* mendosè. † Al. ἐκλῦσαι.

καιος,) λέγε τὰ ἐν τῷ κέ. καὶ τὸν λδ'. καὶ τὸν μβ'. Ἐὰν δὲ καὶ τραχύτερον ἐπιθῶνται, καὶ πλῆθος ὡς παρεμβολαὶ γένωνται οἱ ἐχθροὶ, καλαφρονεῖντες ὡς † μήπω σε" χριθέντος, καὶ διὰ τοῦτο πολεμεῖν ἐθέλοντες, μὴ πλήξῃς, ἀλλ' ᾄδε τὸν κς'. ψαλμόν. Ἐπειδὴ δὲ ἀθενής ἐστιν ἡ Φύσις τῶν ἀνθρώπων, ἐὰν πάλιν ἀναιχυνθῶσιν οἱ ἐπιβελεύοντες, ἵνα μὴ πρὸς ἐκείνους ἔχῃς τὴν χολὴν, κράζε πρὸς τὸν Θεὸν, λέγων τὰ ἐν τῷ κζ'. Καὶ ἐὰν θέλῃς εὐχαριτῶν μαθεῖν πῶς δεῖ [a] προσφέρειν" τῷ Κυρίῳ, νοηλῶς νοῶν ψάλλε τὸν κή. Καὶ λοιπὸν ἐγκαινίζων τὸν οἶκόν σε, τήν τε ψυχὴν τῆν τὸν Κύριον ὑποδεχομένην, καὶ τὸν σωματικὸν οἶκον, ἐν ᾧ σωματικῶς κατοικεῖς, εὐχαρίστει καὶ λέγε τόν τε κθ'. καὶ τὸν ἐν τοῖς ἀναβαθμοῖς ρκε'.

† μήπως ἔ MS. nam μήπως claudit lineam.

Ὅταν δὲ σαυτὸν διὰ τὴν ἀλήθειαν μισέμενον καὶ διωκόμενον παρὰ πάντων τῶν τε Φίλων καὶ συγγενῶν βλέπῃς, μὴ τούτοις μηδὲ σαυτῷ κατανοῶν ὀλιγωρήσῃς, μηδ', ἂν τὲς γνωρίμες ἴδῃς ἀποστρεφομένες σε, πλήξῃς, ἀλλ' ἐκσὰς ἀπὸ τούτων, καὶ σκοπῶν τὰ μέλλοντα, ψάλλε τὸν λ'. Τὲς δὲ βαπτιζομένες καὶ λυτρωμένες ἀπὸ τῆς φθαρτῆς [b] γενέσεως" βλέπων, καὶ θαυμάζων τὴν τοῦ Θεοῦ Φιλανθρωπίαν, ᾄδε εἰς ἐκείνες τὸν λαό.

Καὶ ὅταν μὲν ψάλλειν μετὰ πολλῶν ἐθέλῃς, τὲς δικαίες ἄνδρας καὶ τὲς ὀρθὲς τῷ βίῳ συναγαγὼν, λέγε καὶ σὺ τὸν λδ'.

Ἐμπεσὼν δὲ εἰς τοὺς ἐχθρὲς, καὶ σοφῶς αὐτοὺς διαφυγὼν καὶ ἐκκλίνας ἀπὸ τῆς ἐπιβελῆς αὐτῶν, εἰ θέλεις εὐχαριτῆσαι, [c] συγκαλέσας τοὺς πραεῖς ἄνδρας, ἐπ' αὐτῶν ψάλλε τὸν λγ'. Καὶ ἐὰν εἴδῃς τῶν παρανομέντων τὴν ἐπὶ τὸ κακὸν Φιλονεικίαν, μὴ νόμιζε ἐν αὐτοῖς κατὰ Φύσιν τὴν κακίαν εἶναι, οἷα λέγεσιν οἱ αἱρετικοί· ἀλλὰ λέγε τὸν λε'. καὶ ὄψει ὅτι αὐτοὶ τῇ ἁμαρτάνειν εἰσὶν αἴτιοι.

Ἐὰν δὲ πολλὰ πράττοντας ἄνομα τοὺς πονηρὲς βλέπῃς, καὶ ἐπαιρομένες αὐτοὺς κατὰ τῶν μικρῶν, καὶ θέλῃς παραινεῖν τισιν μὴ προσέχειν τούτοις, μηδὲ παραζηλᾶν αὐτοὺς, διὰ τὸ ταχέως αὐτοὺς ἀποσβέννυσθαι, λέγε καὶ σαυτῷ καὶ τοῖς ἑτέροις τὸν λς'.

Ἀλλὰ δὴ καὶ σὺ προθέμενος προσέχειν σαυτῷ, ἐὰν βλέπῃς ἐπιτιθέμενον τὸν ἐχθρὸν, (τότε γὰρ μᾶλλον ἐπεγείρεται κατὰ τῶν τοιούτων) καὶ θέλῃς ἐπαλείφειν σαυτὸν κατ' αὐτῆ, ᾄδε τὸν λή. ψαλμόν. Καὶ ἐὰν τῶν ἐχθρῶν ἐπιτιθεμένων ὑπομένῃς τὰς θλίψεις, καὶ θέλῃς μαθεῖν τὴν ἐκ τῆς ὑπομονῆς ὠφέλειαν, ψάλλε τὸν λθ'. ψαλμόν. Βλέπων δὲ πολλὲς πένητας καὶ πλωχὲς, καὶ θέλεις ἐλεεῖσθαι αὐτούς; δύνασαι τὲς μὲν ἤδη ἐλεήσαντας ἀποδέχεσθαι, τοὺς δὲ ἄλλες εἰς τὸ ποιεῖν προτρέπεσθαι, ἐν τῷ λέγειν τὸν μ'.

Εἶτα ἐὰν πάνυ τὸν πόθον ἔχων εἰς τὸν Θεὸν, ἀκούσῃς τῶν ἐχθρῶν ὀνειδιζόντων, μὴ ταράττου, ἀλλὰ συνιεὶς τὸν

a Φέρειν MS. minus rectè. b Γνώσεως MS. perperam. c Συνκαλέσας *Alex.*

τὸν ἐκ τῦ τοιύτυ πόθυ ἀθάνατον καρπὸν, παρακάλει σαυτῦ τὴν ψυχὴν [a] τῇ" εἰς Θεὸν ἐλπίδι, καὶ ταύτῃ ἐπικαθίζων καὶ καταπραΰνων τὰς ἐν τῷ βίῳ λύπας αὐτῆς, λέγε τὸν μά. ψαλμόν. Συνεχῶς δὲ ἀναμιμνήσκεσθαι θέλων τὰς εὐεργεσίας τῦ Θεῦ τὰς † γενομένας" εἰς τοὺς παπέρας, καὶ περὶ τῆς ἐξόδυ τῆς Αἰγύπλυ καὶ τῆς ἐν τῇ ἐρήμῳ διαγωγῆς, πῶς τε ὁ μὲν Θεὸς ἀγαθὸς, οἱ δὲ ἄνθρωποι ἀχάριτοι, ἔχεις τὸν μγ. καὶ τὸν οζ. καὶ πή. καὶ τὸν ρδ. καὶ τὸν ρε. καὶ ρς. καὶ ριγ. Καταφυγὼν δὲ πρὸς τὸν Θεὸν καὶ διασωθεὶς ἀπὸ τῶν περὶ σὲ γενομένων θλίψεων, ἐὰν θέλῃς εὐχαριςῆσαι τῷ Θεῷ, καὶ διηγήσασθαι τὴν εἰς σὲ γενομένην φιλανθρωπίαν, ἔχεις τὸν με. Ἀλλ' ἥμαρτες, καὶ ἐντραπεὶς μεταγινώσκεις καὶ ἐλεηθῆναι ἀξιοῖς, ἔχεις τοὺς τῆς ἐξομολογήσεως καὶ [b] μετανοίας" λόγυς ἐν τῷ ν. Εἰ δὲ καὶ διεβλήθης πονηρῷ βασιλεῖ, καὶ ὁρᾷς τὸν διάβολον κατακαυχώμενον, ἀναχώρει καὶ λέγε καὶ σὺ τὰ ἐν τῷ να. καὶ" νε.

† γινομένας MS.

Καὶ ὅτε μὲν διώκῃ, καὶ διαβάλλεσίν τινες παραδῦναί σε θέλοντες, [c] ὡς" οἱ Ζιφαῖοι καὶ οἱ ἀλλόφυλοι τὸν Δαυὶδ, μὴ ἀκηδιάσῃς, ἀλλὰ θαῤῥῶν τῷ Κυρίῳ καὶ ὑμνῶν αὐτὸν, λέγε τὰ ἐν τῷ [d] νγ. καὶ" νε.

Ἐὰν δὲ καὶ συνδράμῃ ὁ διώκων, καὶ μὴ γινώσκων εἰσέλθῃ εἰς τὸ σπήλαιον ἐν ᾧ καὶ σὺ κρύπλῃ, μηδ' ἕτως πλήξῃς· ἔχεις γὰρ τὸς ἐν † τοιαύτῃ" ἀνάγκῃ χρησμὸς εἰς παράκλησιν καὶ [e] ςηλογραφίας" λόγυς, τὸς ἐν τῷ νς. καὶ τὸς ἐν τῷ ρμα. Ἐὰν δὲ καὶ φυλαχθῆναι τὴν οἰκίαν κελεύσῃ ὁ ἐπιβελεύων, καὶ διαφύγῃς, ἀνατίθει τῷ Κυρίῳ τὴν χάριν, ὡς ἐν ςήλαις γράφων αὐτήν ἐν τῇ ψυχῇ, μνημόσυνον ἔσαν τῦ μὴ διεφθάρθαι σε, καὶ λέγε τὰ ἐν τῷ νή. ψαλμῷ.

† τῇ αὐτῇ MS.

Ἐὰν δὲ καὶ ὀνειδίζωσιν θλίβοντες οἱ ἐχθροὶ, καὶ φλυαρῦντες * διαβάλλωσιν οἱ δοκῦντες εἶναι φίλοι, καὶ λυπηθῇς ἐν τῇ ἀδολεχίᾳ σε πρὸς ὀλίγον, ἀλλὰ [f] δύνασαι παρακαλεῖσθαι ὑμνῶν καὶ σὺ τὸν Θεὸν, καὶ λέγων τὰ ἐν τῷ νδ. ῥήματα.

* διαβάλλεσιν MS.

Καὶ πρὸς μὲν ὑποκρινομένυς καὶ ἐν προσώπῳ καυχωμένυς λέγε πρὸς ἐντροπὴν ἐκείνων τὸν νζ. ψαλμόν.

Πρὸς δὲ τὸς ὁρμῶντας ἀγρίως κατὰ σῦ καὶ θέλοντας λαβεῖν σε τὴν ψυχὴν, ἀντιθὲς σὺ τὴν πρὸς τὸν Θεόν σε ὑποταγὴν, καὶ θαῤῥεῖ. Ὅσῳ γὰρ ἐκεῖνοι μαίνονται, τοσύτῳ μᾶλλον ὑποτάσσου σὺ τῷ Κυρίῳ, καὶ λέγε τὰ ἐν τῷ ξα. Καὶ ἐὰν μὲν διωκόμενος εἰς ἐρημίαν ἀπέλθῃς, μὴ φοβηθῇς ὡς μόνος ὢν ἐκεῖ· ἔχων δὲ τὸν Θεὸν ἐκεῖ, καὶ πρὸς αὐτὸν ὀρθρίζων, ψάλλε τὸν ξϐ.

a Τὴν mendosè MS. b Μετάνοιαν MS. perperam. c Hæc vox in *Alexandr.* male omissa est. d Desunt in MS. sed in Editis rectè addita esse, proximè præcedentia verba ex titulo Psalmi 53. desumpta plamè ostendunt. e Στηλογραφίαν *Alexandr.* minus rectè, nisi χρησμὸς mutes in χρησίμως, uti Editt. habent. f Δύνασθαι malè MS.

Ἐκφοβέντων δὲ τῶν ἐχθρῶν καὶ μὴ παυομένων τῷ ἐνεδρεύειν, ἀλλὰ καὶ [a] ἐξερευνώντων" πᾶν κατὰ σοῦ, [b] κἂν" πλῆθος ὦσιν, μὴ ὑπενδῷς· βέλη γὰρ νηπίων ἔσονται τέτων αἱ πληγαὶ, ψάλλοντός σε τὸν ξγ'. καὶ τὸν [c] ξδ'. καὶ ξθ'. καὶ ο'.

Καὶ ὅταν μὲν ὑμνῆσαι βέλῃ τὸν Κύριον, ᾄδε τὰ ἐν τῷ ξδ'. Ἐὰν δὲ κατηχῆσαι θέλῃς τινὰς περὶ ἀναςάσεως, ᾄδε τὰ ἐν τῷ ξε'.

Οἰκλιρμὲς δὲ αἰτῶν παρὰ τοῦ Θεοῦ, ὕμνει αὐτὸν, ψάλλων τὸν ξς'.

Ὅτε δὲ βλέπεις τοὺς μὲν ἀσεβεῖς ἐν εἰρήνῃ εὐθηνεμένες καὶ καταθυμίως ζῶντας, τὲς δὲ δικαίες θλιβομένες, ἵνα μὴ σκανδαλιθῇς καὶ παραταλευθῇς, λέγε καὶ σὺ τὰ ἐν τῷ οϛ'. ψαλμῷ.

Καὶ ὅταν μὲν ὀργισθῇ ὁ Θεὸς ἐπὶ τὸν λαὸν, ἔχεις εἰς παράκλησιν περὶ τέτε λόγες συνετὲς τὲς ἐν τῷ ογ'.

Ὅτε δὲ χρεία σοι ἐξομολογήσεως ἐςιν, [d] ψάλλε τὸν" θ'. οδ'. καὶ ϟα'. καὶ ρδ'. καὶ ρε'. καὶ ρς'. καὶ ρζ'. καὶ ρι'. καὶ ριζ'. καὶ ρλε'. καὶ ρλζ'. Καὶ δυσωπῆσαι μὲν θέλων τὰ τῶν Ἑλλήνων καὶ τὰ τῶν αἱρετικῶν, ὅτι μὴ παρ' αὐτοῖς ἔνι θεογνωσία, ἀλλ' [*] ἐν μόνῃ τῇ καθολικῇ ἐκκλησίᾳ, δύνασαι νοῶν ᾄδειν καὶ λέγειν τὰ ἐν τῷ οε'.

Τῶν δὲ ἐχθρῶν προκαταλαβόντων τὰς διεκφυγὰς, καὶ πάνυ θλιβόμενος, κἂν ταραχθῇς, μὴ [e] ἀπελπίσῃς", ἀλλὰ εὔχε· καὶ ἐὰν κράζων εἰσακυσθῇς, εὐχαρίςει τῷ Θεῷ, λέγων τὰ ἐν τῷ οϛ'. Ἐὰν δὲ ἐπιμένοντες οἱ ἐχθροὶ [f] ἐπεισέλθωσιν καὶ μιάνωσιν" τὸν οἶκον τοῦ Θεοῦ, τές τε ἁγίας ἀποκλείνωσιν, καὶ τὰ σώματα αὐτῶν [g] ῥίψωσιν" τοῖς πετεινοῖς τοῦ ἀρανοῦ, ἵνα μὴ συνελκυθεὶς καταπλήξῃς αὐτῶν τὴν ὠμότητα, [h] σύμπαχε" μὲν τοῖς πάχουσιν, ἐντύγχανε δὲ τῷ Θεῷ, λέγων τὸν οή'. ψαλμόν.

Ἐν ἑορτῇ δὲ θέλων ᾆσαι τῷ Κυρίῳ, [i] συγκαλέσας" τὲς τοῦ Θεοῦ δούλες, ψάλλε τὰ ἐν τῷ π'. καὶ ϟδ'.

Τῶν δὲ ἐχθρῶν πάλιν ἐπισυναχθέντων πάντων πανταχόθεν, καὶ ἀπειλέντων κατὰ τοῦ οἴκε τοῦ Θεοῦ, συνθήκας τε ποιέντων κατὰ τῆς εὐσεβείας, ἵνα μὴ ἀθυμήσῃς διὰ τὸ πλῆθος καὶ τὴν δυναςείαν αὐτῶν, ἔχεις ὥσπερ ἀγκυραν ἐλπίδος τὰ ἐν τῷ πϐ'. ῥήματα. Καὶ ἐὰν βλέπων τὸν οἶκον τοῦ Θεοῦ καὶ τὰ αἰώνια αὐτοῦ σκηνώματα, τὸν πόθον ἔχῃς εἰς αὐτὰ, ὡς εἶχεν ὁ ἀποςόλος, λέγε καὶ σὺ τὸν πγ'. ψαλμόν.

Ἀπὸ καιρῦ σίτυ, καὶ οἴνυ, ÷ καὶ ἐλαίυ" αὐτῶν ἐπληθύνθησαν. καρπῦ
9. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω·
"Οτι σὺ, Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

ΨΑΛΜ.

Psalm. III. v. 1. τῷ Δαυὶδ) Ψάλμος τῷ Δαυὶδ. v. 2. ἐπανέστησαν) ἐπανίστανται. v. 4. Σὺ δὲ ἀντιλ.) Σὺ δὲ κύριε ἀντιλήπτωρ. v. 5. εἰσήκυσέ μκ) ἐπήκουσέ μκ. v. 6. (δὲ) abeſt. v. 7. συνεπιτιθεμένων) ἐπιτιθεμένων. Psalm. IV. v. 1. Ψαλμὸς τῷ Δαυίδ.) ἐν ψαλμοῖς ᾠδὴ τῷ Δαυίδ. v. 3. ματαιότητας) ματαιότητα.

ΨΑΛΜ. Ε'. V.

Εἰς τὸ τέλος ὑπὲρ τῆς κληρονομούσης, Ψαλμὸς τῷ Δαυίδ.

2. Τὰ ῥήματά μου ἐνώτισαι Κύριε,
Σύνες τὴν κραυγήν μου, 3. πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου,
Ὁ βασιλεύς μου καὶ ὁ Θεός μου.
Ὅτι πρὸς σὲ προσεύξομαι Κύριε.

4. Τὸ πρωὶ εἰσακούσῃ τῆς φωνῆς μου.
Τὸ πρωὶ παραστήσομαί σοι, καὶ ἐπόψομαι.

ἐπόψῃ μου

5. Ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ ÷ εἶ.

Οὐδὲ

Οὐ παροικήσει σοι πονηρευόμενος,

6. Οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου.
Ἐμίσησας (Κύριε) πάντας ÷ τοὺς" ἐργαζομένους τὴν ἀνομίαν,

7. Ἀπολεῖς ÷ πάντας τοὺς" λαλοῦντας τὸ ψεῦδος.
Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος.

8. Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου.
Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου.

9. Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου.
Ἕνεκα τῶν ἐχθρῶν μου,

σου· μου

Κατεύθυνον ἐνώπιόν μου τὴν ὁδόν σου.

10. Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια,
Ἡ καρδία αὐτῶν ματαία,
Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν,
Ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν.

11. Κρῖνον αὐτοὺς ὁ Θεός·
Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν
Κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν·
Ἔξωσον αὐτούς, ὅτι παρεπίκραναν σε ÷ Κύριε".

12. Καὶ εὐφρανθήτωσαν (ἐπὶ σοὶ) πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ·
Εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς·
Καὶ καυχήσονται ἐν σοὶ ÷ πάντες οἱ ἀγαπῶντες τὸ ὄνομά σου.

13. Ὅτι σὺ εὐλογήσεις δίκαιον· εὐλογεῖς
Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

ΨΑΛΜ. ς'. VI.

Εἰς τὸ τέλος ἐν ὕμνοις ὑπὲρ τῆς ὀγδόης, Ψαλμὸς τῷ Δαυίδ.

2. Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με,
Μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

3 Ἐλέησόν με Κύριε, ὅτι ἀσθενής εἰμι·
Ἴασαί με Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου,

4. Καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα·
Καὶ σὺ Κύριε ἕως πότε;

5. Ἐπίστρεψον Κύριε, ῥῦσαι τὴν ψυχήν μου,
Σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.

6. Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ÷ ὁ" μνημονεύων σου,
Ἐν ÷ δὲ" τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;

Psalm. V. v. 2. τῇ κραυγῇ μου) τῆς κραυγῆς μου. v. 4. ἐπόψῃ με) ἐπόψομαι. v. 8. τοῦ ἐλέους σου) τοῦ ἐλέους σου. v. 12. ἐν σοὶ πάντες) ἐπὶ σοὶ πάντες. v. 13. εὐλογεῖς) εὐλογήσεις. Psalm. VI. v. 1. τέλος ὑπὲρ) τέλος ἐν ὕμνοις ὑπὲρ.

7. Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου·
Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου,
Ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.
8. Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου·
Ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.
9. Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν·
Ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου,
10. Ἤκουσε Κύριος τῆς δεήσεώς μου,
Κύριος τὴν προσευχήν μου προσεδέξατο.
11. Αἰσχυνθείησαν καὶ ταραχθείησαν ※ σφόδρα" πάντες οἱ ἐχθροί μου·
Ἀποστραφείησαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθείησαν ÷ σφόδρα" διὰ τάχους.

ΨΑΛΜ. Ζ'. VII.

Ψαλμὸς τῷ Δαυὶδ, ὃν ᾖσε τῷ Κυρίῳ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενί.

2. Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα·
Σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με·
3. Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου,
Μὴ ὄντος λυτροῦμένου, μηδὲ σώζοντος.
4. Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο,
Εἰ ἔστιν ἀδικία ἐν χερσί μου,
5. Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά,
Ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός·
6. Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου καὶ καταλάβοι,
Καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου,
Καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι. ※ Διάψαλμα".
7. Ἀνάστηθι Κύριε ἐν ὀργῇ σου,
Ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν μου,
※ Καὶ" ἐξεγέρθητι ÷ Κύριε" ὁ Θεός μου ἐν προστάγματι ᾧ ἐνετείλω,
8. Καὶ συναγωγὴ λαῶν κυκλώσει σε·
Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον.
9. Κύριος κρινεῖ λαούς·
Κρῖνόν με Κύριε κατὰ τὴν δικαιοσύνην μου,
Καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί.
10. Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν·
Καὶ κατεύθυνεῖς δίκαιον,
※ Καὶ ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός.
11. Δικαία ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ,
Τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ.
12. Ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς ÷ καὶ μακρόθυμος",
Μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν.
13. Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει·
Τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό·
14. Καὶ

v. 7. ἐν τῷ στεναγμῷ) ἐν στεναγμῷ. v. 10. Ἤκουσε) εἰσήκουσε. v. 11. Ἀποστραφείησαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθείησαν) ἐπιστραφείησαν καὶ αἰσχυνθείησαν. Psalm. VII. v. 1. Ἰεμενί.) ἰεμενεί. v. 7. Καὶ ἐξεγέρθητι) Καὶ non habet. v. 9. Κρῖνόν μοι) κρίνον με.

ἐν αὐτῷ 14. Καὶ ἑαυτῷ ἡτοίμασε σκεύη θανάτε,
Τὰ βέλη αὐτῦ τοῖς καιομένοις ἐξειργάσατο.
15. Ἰδὲ ὠδίνησεν ἀδικίαν, ※ καὶ συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν·
16. Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτὸν,
Καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο·
17. Ἐπιστρέψει ὁ πόνος αὐτῦ εἰς κεφαλὴν αὐτῦ,
Καὶ ἐπὶ κορυφὴν αὐτῦ ἡ ἀδικία αὐτῦ καταβήσεται.
18. Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτῦ,
Καὶ ψαλῶ τῷ ὀνόματι Κυρίε τῦ ὑψίστε.

ΨΑΛΜ. Η'. VIII.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν, Ψαλμὸς τῷ Δαυίδ.
2. Κύριε ὁ κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σε ἐν πάσῃ τῇ γῇ·
Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σε ὑπεράνω τῶν οὐρανῶν.
3. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον
Ἕνεκα τῶν ἐχθρῶν σε,
Τῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.
4. Ὅτι ὄψομαι τοὺς οὐρανούς ※ σε, ἔργα τῶν δακτύλων σε,
Σελήνην καὶ ἀστέρας οὓς ÷ σὺ ἐθεμελίωσας·
5. Τίς ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτῦ,
Ἢ υἱὸς ἀνθρώπε, ὅτι ἐπισκέπτῃ αὐτόν;
6. Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλες·
Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν,
7. ※ Καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σε·
Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτῦ,
8. Πρόβατα καὶ βόας ἅπάσας,
Ἔτι δὲ καὶ τὰ κτήνη τῦ πεδίε,
9. Τὰ πετεινὰ τῦ οὐρανῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης,
Τὰ διαπορευόμενα τρίβους θαλασσῶν.
10. Κύριε ὁ κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σε ἐν πάσῃ τῇ γῇ.

ΨΑΛΜ. Θ'. IX.

Εἰς τὸ τέλος ὑπὲρ τῶν κρυφίων τῦ υἱῦ, ψαλμὸς τῷ Δαυίδ.
2. Ἐξομολογήσομαί ÷ σοι" Κύριε ἐν ὅλῃ καρδίᾳ με,
Διηγήσομαι πάντα τὰ θαυμάσιά σε·
3. Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοὶ,
Ψαλῶ τῷ ὀνόματί σε ὕψιστε,
4. Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν με εἰς τὰ ὀπίσω·
Ἀσθενήσουσι καὶ ἀπολοῦνται ἀπὸ προσώπε σε.
5. Ὅτι ἐποίησας τὴν κρίσιν με καὶ τὴν δίκην με·
Ἐκάθισας ἐπὶ θρόνε ÷ ὁ" κρίνων δικαιοσύνην.
6. Ἐπετίμησας ἔθνεσι, ÷ καὶ" ἀπώλετο ὁ ἀσεβής·
Τὸ ὄνομα αὐτῶν ἐξήλειψας εἰς τὸν σε αἰῶνα καὶ ÷ εἰς" τὸν αἰῶνα ÷ τῦ αἰῶνος".

v. 18. τῷ Κυρίῳ) κυρίῳ. ibid. Καὶ ψαλῶ) Καὶ abeſt. Pſalm. VIII. v. 5. τίς ἐστιν) τί ἐστιν. v. 8. ἅπάσας) πάσας. v. 10. τὸ ὄνομα) ὄνομα. Pſalm. IX. v. 6. τὸ ὄνομά σε) τὸ ὄνομα αὐτῶν.

7. Τῶ ἐχθρῶ ἐξέλειπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες·
Ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' ἤχους.
8. Καὶ ὁ Κύριος εἰς τὸν αἰῶνα μενεῖ·
Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτῦ·
9. Καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ,
Κρινεῖ λαοὺς ἐν εὐθύτητι.
10. Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι,
Βοηθὸς ἐν εὐκαιρίαις ἐν θλίψει.
11. Καὶ ἐλπισάτωσαν ἐπὶ σοὶ (πάντες) οἱ γινώσκοντες τὸ ὄνομά σε·
Ὅτι ἐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, Κύριε.
12. Ψάλατε τῷ Κυρίῳ ÷ τῷ" κατοικοῦντι ÷ ἐν" Σιών,
Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτῦ·
13. Ὅτι ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη,
φωνῆς Οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων.
14. Ἐλέησόν με Κύριε, ἴδε τὴν ταπείνωσίν μου
Ἐκ τῶν ἐχθρῶν μου,
Ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου·
15. Ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου
Ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών·
Ἀγαλλιάσομαι ἐν τῷ σωτηρίῳ σου.
16. Ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ ÷ ᾗ" ἐποίησαν·
Ἐν παγίδι ταύτῃ ᾗ ἔκρυψαν, συνελήφθη ὁ πούς αὐτῶν.
17. Γινώσκεται Κύριος κρίματα ποιῶν·
Ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. Ὠδὴ διαψάλματος.
18. Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην,
Πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ.
19. Ὅτι ἐκ εἰς τέλος ἐπιληθήσεται ὁ πτωχὸς,
Ἡ ὑπομονὴ τῶν πενήτων ἐκ ἀπολεῖται εἰς τέλος.
20. Ἀνάστηθι Κύριε, μὴ κραταιούσθω ἄνθρωπος·
Κριθήτωσαν ἔθνη ἐνώπιόν σου.
21. Κατάστησον Κύριε νομοθέτην ἐπ' αὐτούς·
Γνώτωσαν ἔθνη ÷ ὅτι" ἄνθρωποί εἰσιν. ※ Διάψαλμα".
22. Ἱνατί Κύριε ἀφέστηκας μακρόθεν,
Ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλίψει;
23. Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ, ἐμπυρίζεται ὁ πτωχός.
Συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται.
24. Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ,
Καὶ ὁ ἀδικῶν εὐλογεῖται.
25. Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλός·
Κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ ἐκ ἐκζητήσει·
Οὐκ ἔστιν ὁ Θεὸς ἐνώπιον αὐτοῦ.
26. Βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ·
Ἀναναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ·

Πάν-

v. 7. μετ' ἤχους) μετ' ἤχου. v. 11. ἐπὶ σοὶ πάντες οἱ) ἐπὶ σὲ οἱ. v. 13. τῆς φωνῆς) τῆς δεήσεως. v. 15. ἐν τῷ σωτηρίῳ) ἐπὶ τῷ σωτηρίῳ. v. 19. ἀπολεῖται εἰς τέλος) ἀπολεῖται εἰς τὸν αἰῶνα.

Πάντων τῶν ἐχθρῶν αὐτῆ καὶ κυριεύσει.

27. Εἶπε ÷ γὰρ" ἐν καρδίᾳ αὐτῆ· ἐ μὴ σαλευθῶ, ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακῆ·

28. Οὗ ἀρᾶς τὸ ςόμα αὐτῆ γέμει καὶ πικρίας καὶ δόλε,
Ὑπὸ τὴν γλῶσσαν αὐτῆ κόπος καὶ πόνος.

29. Ἐγκάθηλαι ἐν ἐνέδρᾳ μετὰ πλεσίων,
Ἐν ἀποκρύφοις ἀποκλεῖναι ἀθῶον·
Οἱ ὀφθαλμοὶ αὐτῆ εἰς τὸν πένητα ἀποβλέπεσιν.

30. Ἐνεδρεύει ἐν ἀποκρύφῳ, ὡς λέων ἐν τῇ μάνδρᾳ ÷ αὐτῆ"
Ἐνεδρεύει τῆ ἁρπᾶσαι πλωχόν.

Ἁρπάσαι — Ἁρπάσει πλωχὸν ἐν τῷ ἑλκῦσαι αὐτὸν
Ἐν τῇ παγίδι αὐτῆ. 31. Ταπεινώσει αὐτόν·
Κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν καταικυριεῦσαι τῶν πενήτων.

32. Εἶπε ÷ γὰρ" ἐν καρδίᾳ αὐτῆ· ἐπιλέλησαι ὁ Θεὸς,
Ἀπέςρεψε τὸ πρόσωπον αὐτῆ τῆ μὴ βλέπειν εἰς τέλος.

33. Ἀνάςηθι Κύριε ὁ Θεός (με), ὑψωθήτω ἡ χείρ σε· μὴ ἐπιλάθῃ τῶν πενήτων.

34. Ἕνεκεν τίνος παροξύνεν ὁ ἀσεβὴς τὸν Θεόν;
Εἶπε γὰρ ἐν καρδίᾳ αὐτῆ· ἐκ ἐκζητήσει.

35. Βλέπεις, ὅτι σὺ κόπον καὶ θυμὸν καταναοεῖς,
Τῆ παραδοῦναι αὐτοὺς εἰς χεῖράς σε·
Σοὶ (ἔν) ἐγκαλελέλειπται ὁ πλωχὸς,
Ὀρφανῷ σὺ ἦθα βοηθῶν.

36. Σύντριψον τὸν βραχίονα τῆ ἁμαρτωλῆ καὶ πονηρῆ·
Ζητηθήσεται ἡ ἁμαρτία αὐτῆ, καὶ ἐ μὴ εὑρεθῇ (δι' αὐτήν).

37. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα ÷ τῆ αἰῶνος".
Ἀπολεῖθε ἔθνη ἐκ τῆς γῆς ※ αὐτῆ.

38. Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκεσας εἰσήκεσεν
Κύριε· κύριος
Τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν
προσέχε τὸ ὦς σε· αὐτῆ

39. Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ,
Ἵνα μὴ προσθῇ ἔτι τῆ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς.

ΨΑΛΜ. Ι'. Χ.

Εἰς τὸ τέλος Ψαλμὸς τῷ Δαυίδ.
Ἐπὶ τῷ Κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ με· τὴν ψυχὴν
Μεταναξεύε ἐπὶ τὰ ὄρη ὡς ςρεθίον;
2. Ὅτι ἰδὲ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον,
Ἡτοίμασαν βέλη εἰς φαρέτραν,
Τῆ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ.
3. Ὅτι ἃ (σὺ) κατηρτίσω, (αὐτοὶ) καθεῖλον·
Ὁ ÷ δὲ" δίκαιος τί ἐποίησε;
4. Κύριος ἐν ναῷ ἁγίῳ αὐτῆ,
Κύριος ἐν ἠρανῷ ὁ θρόνος αὐτῆ·
Οἱ ὀφθαλμοὶ αὐτῆ ÷ εἰς τὸν πένητα" ἀποβλέπουσι,

Τὰ

v. 29. ἀποκτεῖναι) τῆ ἀπεκτεῖναι. v. 30. Ἐνεδρεύει τῆ ἁρπᾶσαι) ἐνεδρεύει ἐν ἀπεκρύφῳ ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ, ἐνεδρεύει τῶ ἁρπᾶσαι. v. 32. ἐν καρδίᾳ) ἐν τῇ καρδίᾳ. v. 33. (μου) abest. ibid. ἐπιλάθῃς) ἐπιλάθῃ. v. 34. οὐκ ἐκζητήσει) οὐ ζητήσει. v. 35. κόπον) πόνον. ibid. (ἔν) deest. ib. βοηθῶν) βοηθὸς. v. 36. (δι' αὐτήν) non habet. v. 38. τὸ ὦς αὐτοῦ) τὸ ὦς σου. v. 39. τῆ μεγαλ.) τῆ abest. Psalm. X. v. 1. τὴν ψυχήν) τῇ ψυχῇ. v. 3. (σὺ) abest. ibid. (αὐτοὶ) deest.

Τὰ βλέφαρα αὐτῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων.

5. Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ·
÷ Ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν.

παγίδα 6. Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας.
Πῦρ ※ καὶ θεῖον ※ καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τῦ ποτηρίυ αὐτῶν.

7. Ὅτι δίκαιος Κύριος ÷ καὶ δικαιοσύνας ἠγάπησεν·

Εὐθύτητας Εὐθύτητα εἶδε τὸ πρόσωπον αὐτῦ.

ΨΑΛΜ. ΙΑ'. XI.

Εἰς τὸ τέλος Ψαλμὸς τῷ Δαυὶδ, ὑπὲρ τῆς ὀγδόης.

2. Σῶσόν ÷ με Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος,
Ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων.

ἐλάλησεν 3. Μάταια ἐλάλησαν ἕκαστος πρὸς τὸν πλησίον αὐτῦ·
Χείλη δόλια ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ ※ ἐλάλησαν (κακά).

4. Ἐξολεθρεύσει Κύριος πάντα τὰ χείλη τὰ δόλια
Καὶ γλῶσσαν μεγαλορήμονα,

5. Τὰς εἰπόντας· τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν,

ἡμῶν Τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐσι,
Τίς ἡμῶν κύριός ἐσιν;

6. Ἀπὸ τῆς ταλαιπωρίας τῶν πτωχῶν,
Καὶ ἀπὸ τῦ στεναγμῦ τῶν πενήτων,
Νῦν ἀναστήσομαι, λέγει Κύριος·
Θήσομαι ἐν σωτηρίῳ, παῤῥησιάσομαι ἐν αὐτῷ.

7. Τὰ λόγια Κυρίυ λόγια ἁγνὰ,
Ἀργύριον πεπυρωμένον δοκίμιον τῆ γῆ,
Κεκαθαρισμένον ἑπταπλασίως.

8. Σὺ Κύριε φυλάξεις ἡμᾶς, καὶ διατηρήσεις ἡμᾶς
Ἀπὸ τῆς γενεᾶς ταύτης (καὶ) εἰς τὸν αἰῶνα.

9. Κύκλῳ οἱ ἀσεβεῖς περιπατῦσι·
Κατὰ τὸ ὕψος συ ἐπολυώρησας (πάντας) τοὺς υἱοὺς τῶν ἀνθρώπων.

ΨΑΛΜ. ΙΒ'. XII.

Εἰς τὸ τέλος Ψαλμὸς τῷ Δαυίδ.

Ἕως πότε Κύριε ἐπιλήσῃ με εἰς τέλος;
Ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν συ ἀπ' ἐμοῦ; ἀποστρέφεις

3. Ἕως τίνος θήσομαι βυλὰς ἐν ψυχῇ μυ,
Ὀδύνας ἐν καρδίᾳ μυ ἡμέρας (καὶ νυκτός);
Ἕως πότε ὑψωθήσεταί ὁ ἐχθρός μυ ἐπ' ἐμέ;

4. Ἐπίβλεψον, εἰσάκουσόν μυ Κύριε ὁ Θεός μυ;
Φώτισον τοὺς ὀφθαλμούς μυ,
Μήποτε ὑπνώσω εἰς θάνατον·

5. Μήποτε εἴπῃ ὁ ἐχθρός μυ, ἴσχυσα πρὸς αὐτόν·
Οἱ θλίβοντές με ἀγαλλιάσονται ἐὰν σαλευθῶ.

6. Ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα·
Ἀγαλ-

Ps. 5. τὴν ἀδικίαν) ἀδικίαν. Ps. 6. παγίδας) παγίδας. Ps. 7. Εὐθύτητας) εὐθύτητα. Psalm. XI. Ps. 1. Ψάλμος τῷ Δαυὶδ, ὑπὲρ τῆς ὀγδόης) transpositа. Ps. 3. (κακά.) deest. Ps. 4. Ἐξολεθρεύσει) ἐξολοθρεύσει. Ps. 9. (πάντας) abest. Psalm. XII. Ps. 2. ἀποστρέφεις) ἀποστρέψεις. Ps. 3. (καὶ νυκτός) non habet. Ps. 5. εἴπῃ) εἴποι.

Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σε·
Ἄσω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με. ÷ Καὶ ψαλῶ τῷ ὀνόματι Κυρίε τῷ ὑψίστῳ".

ΨΑΛΜ. ΙΓ'. XIII.

Εἰς τὸ τέλος Ψαλμὸς τῷ Δαυίδ.
Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεός.
Διεφθάρησαν ÷ καὶ" ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν·
Οὐκ ἔστι ποιῶν χρηστότητα, ÷ οὐκ ἔστιν ἕως ἑνός".
2. Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων,
Τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν, ÷ ἢ" ἐκζητῶν τὸν Θεόν.
3. Πάντες ἐξέκλιναν ἅμα, ἠχρειώθησαν·
Οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.
4. Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν,
Οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου;
Τὸν Κύριον οὐκ ἐπεκαλέσαντο·
ᾧ 5. Ἐκεῖ ἐδειλίασαν φόβῳ ÷ ᾧ οὐκ ἦν φόβος".
δικαίων Ὅτι ὁ Θεὸς ἐν γενεᾷ δικαίᾳ.
6. Βουλὴν πτωχοῦ κατῃσχύνατε·
Ὅτι Κύριος ἐλπὶς αὐτοῦ ἐστι.
7. Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ;
Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ,
Ἀγαλλιάσεται Ἰακὼβ, ÷ καὶ" εὐφρανθήσεται Ἰσραήλ.

ΨΑΛΜ. ΙΔ'. XIV.

Ψαλμὸς τῷ Δαυίδ.
Κύριε τίς παροικήσει ἐν τῷ σκηνώματί σου;
÷ Ἢ" τίς κατασκηνώσει ἐν ὄρει τῷ ἁγίῳ σου;
2. Πορευόμενος ἄμωμος, καὶ ἐργαζόμενος δικαιοσύνην·
Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ·
3. Ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ,
Οὐδὲ ἐποίησε τῷ πλησίον αὐτοῦ κακόν,
Καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοὺς ἐγγίσα αὐτοῦ·
4. Ἐξουδένωται ἐνώπιον αὐτοῦ (πᾶς) πονηρευόμενος,
Τοὺς δὲ Φοβουμένους Κύριον δοξάζει·
÷ Ὃ" ὀμνύων τῷ πλησίον αὐτοῦ, καὶ οὐκ ἀθετῶν·
5. Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ,
Καὶ δῶρα ἐπ' ἀθῴῳ οὐκ ἔλαβεν· ἀθώοις
Ὁ ποιῶν ταῦτα, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

ΨΑΛΜ. ΙΕ'. XV.

Στηλογραφία τῷ Δαυίδ.
Φύλαξόν με Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα.

v. 6. ἐπὶ τῷ σωτηρίῳ) ἐν τῷ σωτηρίῳ. Psalm. XIII. v. 1. διεφθάρησαν) διέφθειραν. v. 3. Inter v. 3. & 4. hæc adjicit C. Rom. τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν, ἰὸς ἀσπίδων τὰ χείλη αὐτῶν. ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει, ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα. σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν, οὐκ ἔστι φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν. Hæc omnia, ab Hexaplis abesse notat Schol. v. 4. κατεσθίοντες) κατέδοντες. ibid. ἐν βρώσει) βρώσει. v. 5. ᾧ οὐκ ἦν) ἔ ἐκ ἦν. ibid. δικαίων) δικαίᾳ. v. 7. Ἀγαλλιάσεται Ἰακὼβ καὶ εὐφρανθήσεται) ἀγαλλιάσθω Ἰακὼβ, καὶ εὐφρανθήτω. Psalm. XIV. v. 1. Ἢ τίς) καὶ τίς. ibid. ἐν ὄρει) ἐν τῷ ὄρει. v. 4. (πᾶς) deest.

2. Εἶπα τῷ Κυρίῳ· κύριός μϐ εἶ σύ·
Ὅτι τῶν ἀγαθῶν μου ὐ χρείαν ἔχεις.
3. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ ÷ αὐτϐ",
ἐθαυμάσωσε
※ πάντα" τὰ θελήματα αὐτϐ ἐν αὐτοῖς.
4. Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν,
Μετὰ ταῦτα ἐτάχυναν·
Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων,
Οὐδ' ὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μϐ.
5. Κύριος ἡ μερὶς τῆς κληρονομίας μϐ καὶ τϐ ποτηρίϐ μϐ·
Σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μϐ ἐμοί.
6. Σχοινία ἐπέπεσάν μοι ἐν τοῖς κρατίστοις·
Καὶ ÷ γὰρ" ἡ κληρονομία μϐ κρατίστη μοι ἐστίν.
7. Εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με·
Ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μϐ.
8. Προωρώμην τὸν Κύριον ἐνώπιόν μϐ διαπαντός·
Ὅτι ἐκ δεξιῶν μϐ ἐστὶν, ἵνα μὴ σαλευθῶ.
9. Διὰ τϐτο ἠυφράνθη ἡ καρδία μϐ, καὶ ἠγαλλιάσατο ἡ γλῶσά μϐ·
÷ Ἔτι δὲ" καὶ ἡ σάρξ μϐ κατασκηνώσει ἐπ' ἐλπίδι.
10. Ὅτι ὐκ ἐγκαταλείψεις τὴν ψυχήν μϐ εἰς ᾅδϐ,
Οὐδὲ δώσεις τὸν ὅσιόν σϐ ἰδεῖν διαφθοράν.
11. Ἐγνώρισάς μοι ὁδὸς ζωῆς·
Πληρώσεις με εὐφροσύνης μεθ' τϐ προσώπϐ σϐ· εὐφροσύνην
Τερπνότητες ἐν τῇ δεξιᾷ σου ÷ εἰς τέλος. τερπνότης

ΨΑΛΜ. Ιϛ'. XVI.

Προσευχὴ τϐ Δαυίδ.
Εἰσάκϐσον Κύριε δικαιοσύνης ÷ μου".
Πρόσχες τῇ δεήσει μου·
Ἐνώτισαι τὴν προσευχήν μου, ὐκ ἐν χείλεσι δολίοις.
2. Ἐκ προσώπϐ σϐ τὸ κρῖμά μϐ ἐξέλθοι·
Οἱ ὀφθαλμοί σϐ ἰδέτωσαν εὐθύτητας. μϐ
3. Ἐδοκίμασας τὴν καρδίαν μϐ, ἐπεσκέψω νυκτός·
Ἐπύρωσάς με, καὶ ὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία.
4. Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μϐ τὰ ἔργα τῶν ἀνθρώπων,
Διὰ τοὺς λόγους τῶν χειλέων σϐ ἐγὼ ἐφύλαξα ὁδὸς σκληράς.
5. Κατάρτισαι τὰ διαβήματά μϐ ἐν ταῖς τρίβοις σϐ,
Ἵνα μὴ σαλευθῶσιν τὰ διαβήματά μϐ.
6. Ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκϐσάς μϐ ὁ Θεός· εἰσήκϐσαν
Κλῖνον τὸ ὖς σϐ ἐμοὶ, ÷ καὶ" εἰσάκουσον τῶν ῥημάτων μϐ.
7. Θαυμάσωσον τὰ ἐλέη σϐ, ÷ ὁ" σώζων τοὺς ἐλπίζοντας ÷ ἐπὶ σὲ"
Ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σϐ.
8. Φύλαξόν με ὡς κόρην ὀφθαλμϐ·
Ἐν

Psalm. XV. v. 4. οὐδ' ἐ μὴ) οὐδὲ μὴ. v. 5. ἡ μέρις) μέρις. v. 10. εἰς ᾅδου) εἰς ᾅδην. v. 11. εὐφροσύνην) εὐφροσύης. ibid. τερπνότης) τερπνότητες. Psalm. XVI. v. 1. δικαιοσύνης) τῆς δικαιοσύνης. v. 5. σαλευθῶσιν) σαλευθῇ. v. 6. εἰσήκϐσεν) ἐπήκουσας.

Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με,

ἀσεβοῦς 9. Ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με.
Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον·

10. Τὸ στέαρ αὐτῶν συνέκλεισαν,
Τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν.

11. Ἐκβάλλοντές με νυνὶ περιεκύκλωσάν με,
Τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ.

12. Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν,
Καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις.

13. Ἀνάστηθι Κύριε, πρόφθασον αὐτὸν, καὶ ὑποσκέλισον αὐτόν·
Ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς

ῥομφαίαν Ῥομφαίᾳ σου, 14. ἀπὸ ἐχθρῶν τῆς χειρός σου,
Κύριε, ἀπὸ ὀλίγων ἀπὸ γῆς·
Διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν.
Καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν·
Ἐχορτάσθησαν υἱῶν, καὶ ἀφῆκαν τὰ καταλοιπα τοῖς νηπίοις αὐτῶν.

15. Ἐγὼ ÷ δὲ" ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου.
Χορτασθήσομαι ἐν τῷ ὀφθῆναί (μοι) τὴν δόξαν σου.

ΨΑΛΜ. ΙΖ'. XVII.

Εἰς τὸ τέλος τῷ παιδὶ Κυρίου τῷ Δαυὶδ, ἃ ἐλάλησε τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης, ἐν ἡμέρᾳ ἧ ἐῤῥύσατο αὐτὸν Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἐκ χειρὸς Σαὺλ· 2. καὶ εἶπεν·

Ἀγαπήσω σε Κύριε ἡ ἰσχύς μου·

3. Κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου,
Ὁ Θεός μου, βοηθός μου, (καὶ) ἐλπιῶ ἐπ' αὐτόν·
Ὑπερασπιστής μου, καὶ κέρας σωτηρίας μου, ἀντιλήπτωρ μου.

4. Αἰνῶν ἐπικαλέσομαι Κύριον,
Καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.

5. Περιέσχον με ὠδῖνες θανάτου,
Καὶ χείμαῤῥοι ἀνομίας ἐξετάραξάν με·

6. Ὠδῖνες ᾅδου περιεκύκλωσάν με,
Προέφθασάν με παγίδες θανάτου.

7. ÷ Καὶ" ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν Κύριον,
Καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα·
Ἤκουσεν ἐκ ναοῦ ÷ ἁγίου" αὐτοῦ φωνῆς μου,
Καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ.

8. Καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ·
Καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν
Καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη ÷ αὐτοῖς" (ὁ Θεός).

v. 9. ἀσεβοῦς) ἀσεβῶν. v. 11. Ἐκβάλλοντές με) ἐκβαλόντες με. v. 14. ἀπὸ ὀλίγων) ἀπολύων. ibid. υἱῶν) υἱων. v. 15. (μοι) deeſt. Pſalm. XVII. v. 2. ἡ ἰσχύς μου) ἡ deeſt. v. 3. (καὶ) abeſt. ibid. ἀντιλήπτωρ) præfigit καὶ.

9. Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ,
Καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ κατεφλόγισεν·
Ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ.

10. Καὶ ἔκλινεν οὐρανὸν, καὶ κατέβη·
Καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ.

Χερουβεὶν 11. Καὶ ἐπέβη ἐπὶ Χερουβεὶμ, καὶ ἐπετάσθη·
Ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.

12. ÷ Καὶ" ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ·
Κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ
Σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων.

13. Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον·
Χάλαζα καὶ ἄνθρακες πυρός.

14. Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ Κύριος,
Καὶ ὁ ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ·
※ χάλαζα καὶ ἄνθρακες πυρός.

15. Καὶ ἐξαπέστειλε βέλη αὐτοῦ, καὶ ἐσκόρπισεν αὐτούς·
Καὶ ἀστραπὰς ἐπλήθυνε, καὶ συνετάραξεν αὐτούς.

16. Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων,
Καὶ ἀνεκαλύφθησαν τὰ θεμέλια τῆς οἰκουμένης,
Ἀπὸ ἐπιτιμήσεώς σου Κύριε,
Ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου.

17. Ἐξαπέστειλεν ἐξ ὕψους, καὶ ἔλαβέ με·
Προσελάβετό με ἐξ ὑδάτων πολλῶν.

18. Ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν,
Καὶ ἐκ τῶν μισούντων με·
Ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ.

19. Προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μου·
Καὶ ἐγένετο Κύριος ἀντιλήμψιμά μου.

20. Καὶ ἐξήγαγέ με εἰς πλατυσμόν·
Ῥύσεταί με, ὅτι ἠθέλησέ με.

21. ÷ Καὶ" ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου,
÷ Καὶ" κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι·

22. Ὅτι ἐφύλαξα τὰς ὁδὸς Κυρίου,
Καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου·

23. Ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου,
Καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησα ἀπέστησαν
ἀπ' ἐμοῦ·

24. Καὶ ἔσομαι ἄμωμος μετ' αὐτοῦ,
Καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου.

25. Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου,
÷ Καὶ" κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι
Ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ.

26. Μετὰ ὁσίου ὁσιωθήσῃ,
Καὶ μετὰ ἀνδρὸς ἀθῴου ἀθῷος ἔσῃ,

27. ÷ Καὶ" μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ,
Καὶ μετὰ στρεβλοῦ διαστρέψεις.

28. Ὅτι σὺ λαὸν ταπεινὸν σώσεις,
Καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις.

29. Ὅτι σὺ φωτιεῖς λύχνον μου Κύριε·
Ὁ Θεός μου, φωτιεῖς τὸ σκότος μου.

30. Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου,
Καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος.

31. Ὁ

V. 11. Χερουβεὶν) Χερουβὶμ. V. 14. ὁ Κύριος) κύριος. V. 15. Ἐξαπέστειλε) præfigit Καὶ. V. 16. ἀνεκαλύφθησαν) ἀνεκαλύφθη. V. 25. τῶν χειρῶν μου, ἀνταποδώσει μοι ἐνώπιον) τῶν χειρῶν μου, ἐνώπιον.

31. Ὁ Θεός ÷ μϐ" ἄμωμος ἡ ὁδὸς αὐτῦ·
Τὰ λόγια Κυρίϐ πεπυρωμένα·
Ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν.
32. Ὅτι τίς Θεὸς πλὴν τῦ Κυρίϐ·
Καὶ τίς Θεὸς πλὴν τῦ Θεῦ ἡμῶν;
33. Ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν,
Καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μϐ·
34. Ὁ καταρτίζων τὰς πόδας μϐ ὡσεὶ ἐλάφϐς,
Καὶ ἐπὶ τὰ ὑψηλά ἱστῶν με·
35. Διδάσκων χεῖράς μϐ εἰς πόλεμον,
Καὶ ἔθϐ τόξον χαλκοῦν τοὺς βραχίονάς μϐ.
36. Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας σϐ,
μϐ Καὶ ἡ δεξιά σϐ ἀντελάβετό μϐ·
Καὶ ἡ παιδεία σϐ ἀνώρθωσέ με ÷ εἰς τέλος·
÷ Καὶ ἡ παιδεία σϐ αὐτή με διδάξει".
37. Ἐπλάτυνας τὰ διαβήματά μϐ ὑποκάτω μϐ,
Καὶ ἐκ ἠσθένησαν τὰ ἴχνη μϐ.
38. Καταδιώξω τοὺς ἐχθρές μϐ, καὶ καταλήψομαι αὐτὰς,
Καὶ ἐκ ἀποστραφήσομαι ἕως ἂν ἐκλείπωσιν·
39. Ἐκθλίψω αὐτὰς, καὶ ἃ μὴ δύνωνται στῆναι·
Πεσῦνται ὑπὸ τὰς πόδας μϐ.
40. Καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον·
Συνεπόδισας (πάντας) τὰς ἐπανισταμένας ἐπ' ἐμὲ ὑποκάτω μϐ.
41. Καὶ τὰς ἐχθρές μϐ ἔδωκάς μοι νῶτον,
Καὶ τὰς μισοῦντάς με ἐξωλέθρευσας.
42. Ἐκέκραξαν, καὶ ἐκ ἦν ὁ σώζων·
Πρὸς Κύριον, καὶ ἐκ εἰσήκουσεν αὐτῶν.
43. Καὶ λεπτυνῶ αὐτὰς ὡσεὶ χοῦν κατὰ πρόσωπον ἀνέμϐ·
Ὡς πηλὸν πλατειῶν λεανῶ αὐτές.
44. Ῥῦσαί με ἀπὸ ἀντιλογιῶν * λαῦ· ῥύσεται * λαῶν
Κατασήσεις με εἰς κεφαλὴν ἐθνῶν. ὃς
Λαὸς ὃν ἐκ ἔγνων, ἐδούλευσέ μοι· ἐπήκου-
45. Εἰς ἀκοὴν ὠτίϐ ὑπήκουσέ μϐ. σας
Οἱ υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι·
46. Υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν,
Καὶ ἐχώλαναν ἐκ τῶν τριϐῶν αὐτῶν.
47. Ζῇ Κύριος, καὶ εὐλογητὸς ὁ Θεός μϐ·
Καὶ ὑψωθήτω ὁ Θεὸς τῆς σωτηρίας μϐ·
48. Ὁ Θεὸς ὁ διδὺς ἐκδικήσεις ἐμοὶ,
Καὶ ὑποτάξας λαὺς ὑπ' ἐμέ.
49. Ὁ ῥύστης μϐ ἐξ ἐχθρῶν μϐ ὀργίλων,
Ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ ὑψώσεις με·
Ἀπὸ ἀνδρὸς ἀδίκϐ ῥῦσαί με.
50. Διὰ τῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι Κύριε·
Καὶ τῷ ὀνόματί σϐ ψαλῶ·
51. Μεγαλύνων τὰς σωτηρίας τῦ βασιλέως αὐτῦ,
Καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτῦ,
Τῷ Δαυὶδ, καὶ τῷ σπέρματι αὐτῦ ἕως αἰῶνος.

v. 34. Ὁ καταρτίζων) ὁ καταρτιζόμενος. ibid. ἐλάφους) ἐλάφου. v. 40. ἐπανισταμένας) ἐπανισταμένους. v. 41. ἐξωλέθρευσας) ἐξολόθρευσας. v. 42. εἰσήκουσεν) εἰσήκουεν. v. 43. ὡσεὶ χοῦν) ὡς χοῦν. v. 44. ῥύσεταί με ἀπὸ ἀντιλογιῶν λαῶν) ῥῦσαί με ἐξ ἀντιλ. λαῦ. ibid. ὃς ἐκ) ὃν οὐκ. v. 45. ἐπήκουσάς μϐ) ὑπήκουσέ μοι. ibid. οἱ υἱοὶ) υἱοί. v. 46. ἐκ τῶν) ἀπὸ τῶν. v. 49. ἐχθρῶν μου) μου deest. ibid. ῥῦσαί μϐ) ῥύσῃ με.

ΨΑΛΜ. ΙΗ'. XVIII.

Εἰς τὸ τέλος Ψαλμὸς τῷ Δαυίδ.
2. Οἱ ἐρανοὶ διηγοῦνται δόξαν Θεοῦ·
Ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.
ἀναγγελεῖ
3. Ἡ ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα,
Καὶ νὺξ νυκτὶ ἀναγγελεῖ γνῶσιν.
4. Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν·
5. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν,
Καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.
6. ÷ Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ·
Καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ,
Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν ÷ αὐτοῦ.
7. Ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ,
Καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ·
τὴν θέρμην
Καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ.
8. Ὁ νόμος Κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς·
Ἡ μαρτυρία Κυρίου πιστή, σοφίζουσα νήπια.
9. Τὰ δικαιώματα Κυρίου εὐθέα, εὐφραίνοντα καρδίαν·
Ἡ ἐντολὴ Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς.
10. Ὁ φόβος Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα ÷ αἰῶνος".
Τὰ κρίματα Κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό·
11. Ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν,
Καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον.
12. Καὶ ÷ γὰρ" ὁ δοῦλός σου φυλάσσει αὐτά·
Ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή.
13. Παραπτώματα τίς συνήσει;
Ἐκ τῶν κρυφίων ÷ μου''' καθάρισόν με,
14. Καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου·
Ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι, κατακυριεύσουσιν
Καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης.
15. ÷ Καὶ" ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου,
Καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου (ἐστὶν) ÷ διαπαντός",
Κύριε βοήθεί μου καὶ λυτρωτά μου.

ΨΑΛΜ. ΙΘ'. XIX.

Εἰς τὸ τέλος Ψαλμὸς τῷ Δαυίδ.
2. Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως·
Ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.
3. Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου,
Καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου·
4. Μνησθείη πάσης θυσίας σου,
Καὶ τὸ ὁλοκαύτωμά σου πιαναίτω. Διάψαλμα.
5. Δῴη

Psalm. XVIII. v. 2. ἀναγγελεῖ) ἀναγγέλλει. v. 3. Ἡ ἡμέρα) ἡμέρα. ibid. ἀναγγελεῖ) ἀναγγέλλει. v. 8. Ὁ νόμος Κυρίου) ὁ νόμος τοῦ Κυρίου. v. 14. κατακυριεύσουσιν) κατακυριεύσωσι. v. 15. (ἐστὶν) abest.

5. Δώῃ σοι (Κύριος) κατὰ τὴν καρδίαν σε,
Καὶ πᾶσαν τὴν βελήν σε πληρώσει.
6. Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σε,
Καὶ ἐν ὀνόματι Θεῦ ἡμῶν μεγαλυνθησόμεθα.
Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σε.
7. Νῦν ἔγνων ὅτι ἔσωσε Κύριος τὸν χριστὸν αὐτῦ·
Ἐπακέσεται αὐτῦ ἐξ οὐρανῦ ἁγίε αὐτῦ·
Ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτῦ.
8. Οὗτοι ἐν ἅρμασι, καὶ ἕτοι ἐν ἵπποις·
Ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίε Θεῦ ἡμῶν ἐπικαλεσόμεθα.
μεγαλυνθησόμεθα 9. Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσαν·
Ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνορθώθημεν.
10. Κύριε σῶσον τὸν βασιλέα,
Καὶ ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά ÷ σε".

ΨΑΛΜ. Κ'. XX.

Εἰς τὸ τέλος, Ψαλμὸς τῷ Δαυίδ.
2. Κύριε ἐν τῇ δυνάμει σε εὐφρανθήσεται ὁ βασιλεὺς,
Καὶ ἐπὶ τῷ σωτηρίῳ σε ἀγαλλιάσεται σφόδρα.
ψυχῆς 3. Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτῦ ἔδωκας αὐτῷ,
δέησιν Καὶ τὴν θέλησιν τῶν χειλέων αὐτῦ οὐκ ἐστέρησας αὐτόν. Διάψαλμα.
4. Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος·
Ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτῦ στέφανον ἐκ λίθε τιμίε.
5. Ζωὴν ἠτήσατό σε, καὶ ἔδωκας αὐτῷ
Μακρότητα ἡμερῶν εἰς αἰῶνα καὶ εἰς αἰῶνα ÷ αἰῶνος".
6. Μεγάλη ἡ δόξα αὐτῦ ἐν τῷ σωτηρίῳ σε·
Δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ' αὐτόν.
7. Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα ÷ αἰῶνος"·
Εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τῦ προσώπου σου.
8. Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον·
Καὶ ἐν τῷ ἐλέει τῦ ὑψίστου οὐ μὴ σαλευθῇ.
9. Εὑρεθείη ἡ χείρ σε πᾶσι τοῖς ἐχθροῖς σε·
Ἡ δεξιά σε εὕροι ÷ πάντας τὺς μισοῦντάς σε.
10. Θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τῦ προσώπε σε·
Κύριος ἐν ὀργῇ αὐτῦ συνταράξει αὐτὺς, καὶ καταφάγεται αὐτὺς πῦρ. Κύριε. σε συνταράξεις
11. Τὸν καρπὸν αὐτῶν ἀπὸ γῆς ἀπολεῖς,
Καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων·
12. Ὅτι ἔκλιναν εἰς σὲ κακὰ,
Διελογίσαντο βελὰς ἃς οὐ μὴ δύνωνται ÷ στῆναι".
13. Ὅτι θήσεις αὐτοὺς νῶτον·
Ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.
14. Ὑψώθητι Κύριε ἐν τῇ δυνάμει σου·
Ἄσομεν καὶ ψαλῦμεν τὰς δυναστείας σου.

ΨΑΛΜ.

Psalm. XIX. v. 5. (Κύριος) abeſt. ibid. πληρώσει) πληρώσαι. v. 6. ἐπὶ τῷ σωτ.) ἐν τῷ σωτηρίῳ. v. 8. ἐν ὀνόματι Θεῦ) ἐν ὀνόματι κυρίε θεοῦ. Pſalm. XX. v. 10. Κύριε) κύριος. ibid. ἐν ὀργῇ σε συνταράξεις) ἐν ὀργῇ αὐτῦ συνταράξει. v. 12. βελὰς ἃς) βελὴν ἣν. ibid. στῆναι) στῆσαι.

ΨΑΛΜ. ΚΑ'. XXI.

Εἰς τὸ τέλος ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς, Ψαλμὸς τῷ Δαυΐδ.

2. Ὁ Θεὸς ὁ Θεός μου, ÷ πρόσχες μοι", ἱνατί ἐγκατέλιπές με·
Μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου.

3. Ὁ Θεός μου, κεκράξομαι ἡμέρας (πρὸς σὲ), καὶ οὐκ εἰσακούσῃ·
Καὶ νυκτὸς, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.

ἁγίοις 4. Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος Ἰσραήλ.

5. Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν·
Ἤλπισαν, καὶ ἐρύσω αὐτές·

6. Πρὸς σὲ ἐκέκραξαν, καὶ ἐσώθησαν·
Ἐπὶ σοὶ ἤλπισαν, καὶ οὐ κατῃσχύνθησαν.

7. Ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐχὶ ἄνθρωπος,
Ὄνειδος ἀνθρώπου καὶ ἐξουθένημα λαοῦ.

8. Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με,
Ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν·

9. Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν·
Σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν.

10. Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρὸς,
Ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου·

11. Ἐπὶ σὲ ἐπερίφην ἐκ μήτρας,
Ἐκ κοιλίας μητρός μου Θεός μου εἶ σύ.
Μὴ ἀποστῇς ἀπ' ἐμοῦ· ὅτι θλῖψις ἐγγύς,

12. Ὅτι οὐκ ἔστιν ὁ βοηθῶν.

13. Περιεκύκλωσάν με μόσχοι πολλοὶ,
Ταῦροι πίονες περιέσχον με·

14. Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν,
Ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος.

15. Ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου·
Ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου.

16. Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου,
Καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου,
Καὶ εἰς χοῦν θανάτου κατήγαγές με.

17. Ὅτι ἐκύκλωσάν με κύνες ÷ πολλοί",
Συναγωγὴ πονηρευομένων περιέσχον με·
Ὤρυξαν χεῖράς μου καὶ πόδας μου·

18. Ἐξηρίθμησα πάντα τὰ ὀστᾶ μου· ἐξηρίθμησαν
Αὐτοὶ δὲ κατενόησαν καὶ ἐπίδον με.

19. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς,
Καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.

20. Σὺ δὲ Κύριε μὴ μακρύνῃς τὴν βοήθειάν μου·
Εἰς τὴν ἀντίληψίν μου πρόσχες.

21. Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου·
÷ Καὶ" ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου·

22. Σῶσόν με ἐκ στόματος λέοντος,
Καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.

23. Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου·
Ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε.

24. Οἱ φοβούμενοι Κύριον αἰνέσατε αὐτὸν,
Ἅπαν τὸ σπέρμα Ἰακὼβ δοξάσατε αὐτὸν,

Φοβη-

Psalm. XXI. v. 1. τῆς ἑωθινῆς) adjicit Ψαλμὸς τῷ Δαυΐδ. v. 4. ἐν ἁγίοις) ἐν ἁγίῳ. ibid. Ἰσραὴλ) τοῦ Ἰσραὴλ. v. 7. καὶ οὐχὶ) καὶ οὐκ. ibid. ἀνθρώπου) ἀνθρώπων. v. 9. Σωσάτω) σωσάτω. v. 16. ὡς) ὡσεὶ. v. 17. πόδας μου) μου deeſt.

Φοβηθήτωσαν αὐτὸν ἅπαν τὸ σπέρμα Ἰσραήλ·

25 Ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ,
Οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ,
Καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν ἐπήκουσέ ÷ μου".

26. Παρὰ σοῦ ὁ ἔπαινός μου ἐν ἐκκλησίᾳ μεγάλῃ·
Τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον (πάντων) τῶν φοβουμένων αὐτόν.

27. Φάγονται πένητες καὶ ἐμπλησθήσονται,
÷ Καὶ" αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες αὐτόν·
Ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα ÷ αἰῶνος".

28. Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς,
Καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν·

29. Ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ ÷ αὐτὸς" δεσπόζει τῶν ἐθνῶν.

30. Ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς,
Ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς τὴν γῆν·
Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ.

31. ÷ Καὶ" τὸ σπέρμα ÷ αὐτοῦ" δουλεύσει αὐτῷ·
Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη,

32. Καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ
Λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησε ÷ Κύριος".

ΨΑΛΜ. ΚΒ'. XXII.

Ψαλμὸς τῷ Δαυίδ.

Κύριος ποιμαίνει με, ÷ καὶ" οὐδέν ποιμανεῖ με ὑστερήσει.

2. Εἰς τόπον χλόης ÷ ἐκεῖ" με κατεσκήνωσεν·
Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με.

3. Τὴν ψυχήν μου ἐπέστρεψεν·
Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης
Ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.

4. Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου,
Οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ·
Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου αὐταί με παρεκάλεσαν.

5. Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν
Ἐξεναντίας τῶν θλιβόντων με·
Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου,
÷ Καὶ" τὸ ποτήριόν μου μεθύσκον ὡς σὺ κράτιστον.

6. Καὶ τὸ ἔλεός ÷ σου" καταδιώξεταί με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου·
※ Καὶ ÷ τὸ" κατοικεῖν με ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν.

ΨΑΛΜ. ΚΓ'. XXIII.

Ψαλμὸς τῷ Δαυὶδ ÷ τῆς μιᾶς σαββάτου".

Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς,

Ἡ οἰκου-

V. 25. ἐπήκουσέ μου) εἰσήκουσέ μου. V. 26. (πάντων) abeſt. v. 28. πέρα) πέρατα. V. 31. σπέρμα αὐτοῦ) σπέρμα σου. V. 32. Κύριος) ὁ κύριος, αὐτά με) αὐταί με. Pſalm. XXII. v. 1. ποιμανεῖ) ποιμαίνει. V. 4.

Ἡ οἰκουμένη καὶ ÷ πάντες" οἱ κατοικοῦντες ἐν αὐτῇ·

2. Αὐτὸς ※ γὰρ ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν,
Καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.

3. Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίε;
Καὶ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;

4. Ἀθῶος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ,
Ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχήν με,
Καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ ÷ τῷ πλησίον.

÷ 5. Οὗτος" λήψεται εὐλογίαν παρὰ Κυρίε,
Καὶ ἐλεημοσύνην παρὰ Θεοῦ σωτῆρος αὐτοῦ·

6. Αὕτη ἡ γενεὰ ζητόντων αὐτὸν,
Ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ.
Διάψαλμα.

7. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν,
Καὶ ἐπάρθητε πύλαι αἰώνιοι·
Καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.

8. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;
Κύριος κραταιὸς καὶ δυνατὸς,
Κύριος δυνατὸς ἐν πολέμῳ.

9. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν,
Καὶ ἐπάρθητε πύλαι αἰώνιοι·
Καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.

10. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;
Κύριος τῶν δυνάμεων αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. ※ Διάψαλμα.

ΨΑΛΜ. ΚΔ'. XXIV.

ΨΑλμὸς τῷ Δαυίδ.
Πρὸς σὲ Κύριε ἦρα τὴν ψυχήν μου· 2. ὁ Θεός μου,
Ἐπὶ σοὶ πέποιθα· μὴ καταισχυνθείην,
Μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου.

3. Καὶ ÷ γὰρ" πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν·
Αἰσχυνθήτωσαν ÷ πάντες" οἱ ἀνομοῦντες διακενῆς.

4. Τὰς ὁδούς σου Κύριε γνώρισόν μοι,
÷ Καὶ" τὰς τρίβους σου δίδαξόν με·

5. Ὁδήγησόν με ἐν τῇ ἀληθείᾳ σου,
Καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου·
÷ Καὶ" σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.

6. Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε,
Καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν.

7. Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς·
Κατὰ τὸ ἔλεός σου μνήσθητί μου
※ σὺ
Ἕνεκα τῆς χρηστότητός σου, Κύριε.

8. Χρηστὸς καὶ εὐθὺς ὁ Κύριος·
Διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.

9. Ὁδηγήσει πραεῖς ἐν κρίσει·
Διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.

10. Πᾶσαι αἱ ὁδοὶ Κυρίε ἔλεος καὶ ἀλήθεια,

Τοῖς

Psalm. XXIII. v. 4. ψυχήν μου) ψυχὴν αὐτοῦ. ibid. τῷ πλησίον) addit αὐτοῦ. v. 6. in fine *Rom.* adjicit διάψαλμα. v. 10. αὐτός ἐστιν ὁ βασ.) αὐτός ἐστιν ἔτος ὁ βασιλεύς. Psalm. XXIV. v. 3. πάντες poſter. loco abeſt à *C. Rom.* v. 5. ἐν τῇ ἀληθείᾳ) ἐπὶ τὴν ἀληθειαν. v. 7. Ἕνεκα) ἕνεκεν. v. 8. εὐθὺς) εὐθὴς.

Τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ
καὶ τὰ μαρτύρια αὐτοῦ.
11. Ἕνεκα τοῦ ὀνόματός σου Κύριε
Καὶ ἱλάσῃ τῇ ἁμαρτίᾳ μου· πολλὴ
γάρ ἐστι.
12. Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν
Κύριον;
Νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο·
13. Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται,
Καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει
γῆν.
14. Κραταίωμα Κύριος τῶν φοβουμένων
αὐτόν,
(Καὶ τὸ ὄνομα Κυρίου τῶν ἐπικαλουμένων αὐτόν·)
Καὶ ἡ διαθήκη αὐτοῦ τοῦ δηλῶσαι
αὐτοῖς.
15. Οἱ ὀφθαλμοί μου διαπαντὸς πρὸς
τὸν Κύριον·
Ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς
πόδας μου.
16. Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με·
Ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ.
17. Αἱ θλίψεις τῆς καρδίας μου ἐπλατύνθησαν.
Ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.
18. Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν
κόπον μου,
Καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.
19. Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν,
Καὶ μῖσος ἄδικον ἐμίσησάν με.
20. Φύλαξον τὴν ψυχήν μου, καὶ ῥῦσαί με·
Μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.
21. Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι,
ὅτι ὑπέμεινά σε (Κύριε).
22. Λύτρωσαι ὁ Θεὸς τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

ἐπληθύνθησαν

ΨΑΛΜ. ΚΕ′. XXV.

Τοῦ Δαυίδ.
Κρῖνόν με Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην·
Καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων οὐ μὴ ἀσθενήσω.
2. Δοκίμασόν με Κύριε, καὶ πείρασόν με·
Πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου.
3. Ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μου ἐστι, σου
Καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου.
4. Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, ματαιότητας
Καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω·
5. Ἐμίσησα ἐκκλησίαν πονηρευομένων,
Καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω.
6. Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου,
Καὶ κυκλώσω τὸ θυσιαστήριόν σου Κύριε·
7. Τοῦ ἀκοῦσαι φωνὴν αἰνέσεως,
Καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου.
8. Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου,
Καὶ τόπον σκηνώματος δόξης σου.
9. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου,

V. 14. (Καὶ τὸ ὄνομα Κυρίου τῶν ἐπικαλουμένων αὐτόν·) hæc absunt ab Ed. *Rom.* Psalm. XXV.
V. 1. ἀσθενήσω) σαλευθῶ. V. 3. ὀφθαλμῶν σου) ὀφθ. μου. V. 4. ματαιότητας) ματαιότητος.
V. 7. φωνὴν) φωνῆς.

Καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου·
10. Ὧν ἐν χερσὶν αἱ ἀνομίαι,
Ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων.
11. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην·
Λύτρωσαί με (Κύριε), καὶ ἐλέησόν με.
12. Ὁ (γὰρ) πούς μου ἔστη ἐν εὐθύτητι·
Ἐν ἐκκλησίαις εὐλογήσω ÷ σε" Κύριε.

ΨΑΛΜ. Κϛ'. XXVI.

Τῷ Δαυὶδ, ÷ πρὸ τοῦ χρισθῆναι".
Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι;
Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω;
2. Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας, τοῦ φαγεῖν τὰς σάρκας μου,
Οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν καὶ ἔπεσαν.
3. Ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου·
Ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω.
4. Μίαν ἠτησάμην παρὰ Κυρίου, ταύτην ἐκζητήσω·
Τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου,
Τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίου, καὶ ἐπισκέπτεσθαι τὸν ναὸν (τὸν ἅγιον) αὐτοῦ.
5. Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ ἐν ἡμέρᾳ κακῶν (μου),
Ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ, ἐν πέτρᾳ ὕψωσέ με·
6. Καὶ νῦν (ἰδοὺ) ὕψωσε (Κύριος) τὴν κεφαλήν μου ἐπ' ἐχθρούς μου·
Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν ἀλαλαγμοῦ,
Ἄσομαι καὶ ψαλῶ τῷ Κυρίῳ.
7. Εἰσάκουσον Κύριε τῆς φωνῆς μου, ἧς ἐκέκραξα ÷ πρὸς σέ"·
Ἐλέησόν με, καὶ εἰσάκουσόν μου· 8. σοὶ εἶπεν ἡ καρδία μου.
Ἐξεζήτησε τὸ πρόσωπόν * μου, ἐξεζήτησα. * σου
Τὸ πρόσωπόν σου Κύριε ζητήσω.
9. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ,
Μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου·
Βοηθός μου γενοῦ, μὴ ἀποσκορακίσῃς με, ἐγκαταλίπῃς
Καὶ μὴ * ἐγκαταλίπῃς με ὁ Θεὸς ὁ σωτήρ μου· * ὑπερίδῃς
10. Ὅτι ὁ πατήρ μου καὶ ἡ μητήρ μου ἐγκατέλιπόν με,
Ὁ δὲ Κύριος προσελάβετό με.
11. Νομοθέτησόν με Κύριε τῇ ὁδῷ σου, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ ἕνεκα τῶν ἐχθρῶν μου.
12. Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με·
Ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.
13. Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων.
14. Ὑπόμεινον τὸν Κύριον·
Ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον. μου

ΨΑΛΜ.

v. 10. αἱ ἀνομίαι) ἀνομίαι. v. 11. (Κύριε) abest. v. 12. (γὰρ) non habet. Psalm. XXVI. v. 1. τῷ Δαυὶδ) τοῦ Δαυὶδ. v. 4. τὸ κατοικεῖν) τοῦ κατοικεῖν. ibid. (τὸν ἅγιον) abest. v. 6. (Κύριος) deficit. v. 7. πρὸς σέ.) non habet. v. 11. τῇ ὁδῷ) ἐν τῇ ὁδῷ. v. 14. ἡ καρδία μου) ἡ καρδία σου.

ΨΑΛΜ. ΚΖ'. XXVII.

Τῷ Δαυὶδ.

Πρὸς σὲ Κύριε κεκράξομαι, ὁ Θεός μου· μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ,

※ Μήποτε παρασιωπήσῃς ἀπ' ἐμοῦ",

Καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

2. Εἰσάκουσον τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ δέεσθαί με πρὸς σὲ,

ἧς ἐκέκραξα

Ἐν τῷ αἴρειν με χεῖράς μου πρὸς ναὸν ἅγιόν σου.

3. Μὴ συνελκύσῃς με μετὰ ἁμαρτωλῶν (τὴν ψυχήν μου),

Καὶ μετὰ ἐργαζομένων τὴν ἀδικίαν ÷ μὴ συναπολέσῃς με",

Τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν,

Κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν.

4. Δὸς αὐτοῖς κατὰ τὰ ἔργα αὐτῶν,

Καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν·

Κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς,

Ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς.

5. Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα Κυρίου,

Καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ·

Καθελεῖς αὐτοὺς, καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς.

6. Εὐλογητὸς Κύριος, ὅτι εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.

7. Κύριος βοηθός μου καὶ ὑπερασπιστής μου·

Ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην,

Καὶ ἀνέθαλεν ἡ σάρξ μου·

Καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ·

8. Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ,

Καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ χριστοῦ αὐτοῦ ἐστι.

9. Σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου·

Καὶ ποίμανον αὐτοὺς, καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

ΨΑΛΜ. ΚΗ'. XXVIII.

Ψαλμὸς τῷ Δαυὶδ, ÷ ἐξοδίου σκηνῆς". ÷

Ἐνέγκατε τῷ Κυρίῳ ÷ υἱοὶ Θεοῦ,

Ἐνέγκατε τῷ Κυρίῳ" υἱοὺς κριῶν· ÷

Ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν.

2. Ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ·

Προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ ÷ αὐτοῦ".

3. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων.

Ὁ Θεὸς τῆς δόξης ἐβρόντησε·

Κύριος ἐπὶ ὑδάτων πολλῶν.

4. Φωνὴ Κυρίου ἐν ἰσχύι·

Φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ.

5. Φωνὴ Κυρίου συντρίβοντος κέδρους,

Καὶ συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου,

6. Καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τοῦ Λιβάνου· τὸν Λίβανον

Καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων.

7. Φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρός.

Psalm. XXVII. v. 1. κεκράξομαι) ἐκέκραξα. ibid. ἀπ' ἐμοῦ) ἐπ' ἐμοὶ utroque loco. v. 2. ἧς ἐκέκραξα) ἐν τῷ δέεσθαί με. ibid. πρὸς ναὸν) εἰς ναὸν. v. 3. τὴν ἀδικίαν) ἀδικίαν. v. 4. χειρῶν δὸς) χειρῶν αὐτῶν δὸς.

8. Φωνὴ Κυρίε συσσείοντος ἔρημον·
Συσσείσει Κύριος τὴν ἔρημον Κάδης.
9. Φωνὴ Κυρίε καταρτιζομένε ἐλάφες,
Καὶ ἀποκαλύψει δρυμές·
Καὶ ἐν τῷ ναῷ αὐτε πᾶς τις λέγει δόξαν.
10. Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ.
Καὶ καθιεῖται Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα.
11. Κύριος ἰσχὺν τῷ λαῷ αὐτε δώσει·
Κύριος εὐλογήσει τὸν λαὸν αὐτε ἐν εἰρήνῃ.

ΨΑΛΜ. ΚΘ'. XXIX.

ΨΑλμὸς ᾠδῆς τῆ ἐγκαινισμῆ τῆ οἴκου τῷ Δαυίδ.
2. Ὑψώσω σε Κύριε, ὅτι ὑπέλαβές με,
Καὶ ἐκ ἠυφρανας τοὺς ἐχθρές με ἐπ' ἐμοί.
3. Κύριε ὁ Θεός με ἐκέκραξα πρὸς σὲ, καὶ ἰάσω με·
4. Κύριε ἀνήγαγες ἐξ ᾅδε τὴν ψυχήν με,
Ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.
5. Ψάλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτε,
Καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτε·
6. Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτε,
Καὶ ζωὴ ἐν τῷ θελήματι αὐτε·
Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς,
Καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις.
7. Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ με, ὲ μὴ σαλευθῷ εἰς τὸν αἰῶνα·
με 8. Κύριε ἐν τῷ θελήματί σε παρέχε τῷ κάλλει με δύναμιν·
Ἀπέστρεψας (δὲ) τὸ πρόσωπόν σε, καὶ ἐγενήθην ταραγμένος.
9. Πρὸς σὲ Κύριε κεκράξομαι, καὶ πρὸς τὸν Θεόν ÷ με" δεηθήσομαι.
10. Τίς ὠφέλεια ἐν τῷ αἵματί με, ἐν τῷ καταβῆναί με εἰς διαφθοράν;
Μὴ ἐξομολογήσεταί σοι χὲς,
Ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σε;
11. Ἤκουσε Κύριος, καὶ ἠλέησέ με·
Κύριος ἐγενήθη βοηθός με.
12. Ἔστρεψας τὸν κοπετόν με εἰς χορὸν χαρᾶν ἐμοὶ,
Διέρρηξας τὸν σάκκον με, καὶ περιέζωσάς με εὐφροσύνην,
13. Ὅπως ἂν ψάλῃ σοι ἡ δόξα ÷ με", καὶ ὲ μὴ κατανυγῶ·
Κύριε ὁ Θεός με εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι.

ΨΑΛΜ. Λ'. XXX.

ΕΙς τὸ τέλος, Ψαλμὸς τῷ Δαυὶδ, (ἐκστάσεως).
2. Ἐπὶ σοὶ Κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα·
Ἐν τῇ δικαιοσύνῃ σε ῥῦσαί με, (καὶ ἐξελε με).
3. Κλῖνον πρὸς μὲ τὸ ἓς σε, τάχυνον τε ἐξελέσθαι με·
Γενε μοι εἰς Θεὸν ὑπερασπιςὴν,
Καὶ εἰς οἶκον καταφυγῆς, τε σῶσαί με.
4. Ὅτι κραταίωσίς με καὶ καταφυγή με εἶ σύ·
Καὶ ἕνεκεν τε ὀνόματός σε ὁδηγήσεις με, καὶ διαθρέψεις με.
5. Ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι·

Ὅτι

Psalm. XXIX. v. 1. Ψάλμος) Εἰς τὸ τέλος ψάλμος. ibid. τῷ Δαυὶδ) τε Δαυὶδ. v. 2. ἐπ' ἐμοὶ) ἐπ' ἐμέ. v. 8. θελήματί με) θελήματί σε. Psalm. XXX. v. 4. κραταίωσις) κραταίωμα.

Ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου (Κύριε).
6. Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου·
Ἐλυτρώσω με Κύριε ὁ Θεὸς τῆς ἀληθείας.
7. Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διακενῆς·
Ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἤλπισα.
8. Ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου·
Ὅτι ἐφείδες τὴν ταπείνωσίν μου,
Ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου·
9. Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθροῦ,
Ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου·
10. Ἐλέησόν με Κύριε, ὅτι θλίβομαι·
Ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου,
Ἡ ψυχή μου, καὶ ἡ γαστήρ μου.
11. Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου,
Καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς·
Ἠσθένησεν ἐν πλουσίᾳ ἡ ἰσχύς μου,
Καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν.
12. Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος,
Καὶ τοῖς γείτοσί μου σφόδρα,
Καὶ φόβος τοῖς γνωστοῖς μου·
Οἱ θεωροῦντές με ἔξω, ἔφυγον ἀπ' ἐμοῦ.
13. Ἐπελήθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας·
Ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός.
14. Ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν·
Ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ' ἐμὲ,
Τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο.
15. Ἐγὼ δὲ ἐπὶ σοὶ Κύριε ἤλπισα· εἶπα, σὺ εἶ ὁ Θεός μου.
16. Ἐν ταῖς χερσί σου οἱ καιροί μου· κλῆροι
Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου,
Καὶ ἐκ τῶν καταδιωκόντων με.
17. Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου·
Σῶσόν με ἐν τῷ ἐλέει σου.
18. Κύριε μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε·
Αἰσχυνθείησαν ἀσεβεῖς, καὶ κατασχεθείησαν εἰς ᾅδου.
19. Ἀλαλα γενηθήτω τὰ χείλη τὰ δόλια,
Τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν,
Ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει.
20. Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου ÷ Κύριε",
Ἧς ἔκρυψας τοῖς φοβουμένοις σε,
Ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σοὶ
Ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων·
21. (Καὶ) κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου
Ἀπὸ ταραχῆς ἀνθρώπων, σκεπάσεις αὐτοὺς
Ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν.
22. Εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάτωσε τὸ ἔλεος αὐτοῦ ✕ ἐμοὶ ἐν πόλει περιοχῆς.
23. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου·
Ἀπέρριμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου·
Διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου, εἰσήκουσεν
Ἐν τῷ κεκραγέναι με πρὸς σέ.

Ἀγα-

v. 14. ἐπισυναχθῆναι) συναχθῆναι. v. 15. Κύριε ἤλπισα) transposita. v. 18. ἀσεβεῖς) οἱ ἀσεβεῖς. v. 20. ἐπὶ σοὶ) ἐπὶ σὲ. v. 21. (Καὶ) deest. v. 23. εἰσήκουσεν τῆς) εἰσήκουσας Κύριε τῆς.

24. Ἀγαπήσατε τὸν Κύριον πάντες οἱ ὅσιοι αὐτοῦ·
÷ "Οτι" ἀληθείας ἐκζητεῖ ὁ Κύριος,
Καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν.

25. Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν,
Πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον.

ΨΑΛΜ. ΛΑ'. XXXI.

ΨΑλμὸς) τῷ Δαυὶδ, συνέσεως.
Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι,
Καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.
ᾧ 2. Μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν,
πνεύματι Οὐδέ ἐστιν ἐν τῷ πνεύματι αὐτοῦ δόλος.
3. "Οτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου,
Ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν·
4. "Οτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου,
Ἐστράφην εἰς ταλαιπωρίαν ※ μου, ἐν τῷ παγῆναί μοι ἄκανθαν.
※ Διάψαλμα.
ἀνομίαν 5. Τὴν ἁμαρτίαν μου ἐγνώρισά ※ σοι,
ἁμαρτίαν Καὶ τὴν ἀνομίαν μου οὐκ ἐκάλυψα·
Εἶπα, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ·
Καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς
καρδίας ἁμαρτίας μου. Διάψαλμα.
6. Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ
Πᾶς ὅσιος ἐν καιρῷ εὐθέτῳ·
Πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι.
7. Σὺ μοῦ εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με.
Τὸ ἀγαλλίαμά μου λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με. Διάψαλμα.
8. Συνετιῶ σε καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ·
Ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου.
9. Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις·
Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξεις,
Τῶν μὴ ἐγγιζόντων πρὸς σέ.
10. Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ·
Τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει.
11. Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε δίκαιοι,
Καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

ΨΑΛΜ. ΛΒ'. XXXII.

ΨΑλμὸς τῷ Δαυὶδ".
Ἀγαλλιᾶσθε δίκαιοι ἐν τῷ Κυρίῳ·
Τοῖς εὐθέσι πρέπει ἡ αἴνεσις.
2. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ἐν κιθάρᾳ,
Ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ·
3. Ἄσατε αὐτῷ ᾆσμα καινὸν,
Καλῶς ψάλατε ἐν ἀλαλαγμῷ.
4. "Οτι εὐθὺς ὁ λόγος τοῦ Κυρίου,
Καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει·
5. Ἀγα-

v. 24. ὁ Κύριος) Κύριος. Psalm. XXXI. v. 1. Ψαλμὸς τῷ Δαυὶδ) Συνέσεως τῷ Δαυὶδ. v. 2. ᾧ οὐ μὴ) ᾧ οὐ μὴ. v. 4. παγῆναί μοι) ἐμπαγῆναι. ibid. à fine *Rom.* adjicit Διάψαλμα. v. 5. ἀνομίαν) ἁμαρτίαν. ibid. ἁμαρτίαν) ἀνομίαν. v. 7. *Rom.* in fine addit Διάψαλμα. v. 9. Ἐν κημῷ καὶ χαλινῷ) Ἐν χαλινῷ καὶ κημῷ. ibid. ἄγξεις) ἄγξαι. Psalm. XXXII. v. 1. Ψαλμὸς) abest. ibid. ἡ αἴνεσις) αἴνεσις. v. 4. εὐθὺς) εὐθὴς.

5. Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν (ὁ Κύριος),
Τῆς ἐλέους Κυρίου πλήρης ἡ γῆ.
6. Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν,
Καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.
7. Συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης,
Τιθεὶς ἐν θησαυροῖς ἀβύσσους.
8. Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ,
Ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.
9. Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν·
Αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.
10. Κύριος διασκεδάζει βουλὰς ἐθνῶν,
Ἀθετεῖ ÷ δὲ" λογισμοὺς λαῶν,
÷ Καὶ ἀθετεῖ βουλὰς ἀρχόντων".
11. Ἡ ÷ δὲ" βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει,
Λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.
12. Μακάριον τὸ ἔθνος ᾧ ÷ ἐστι" Κύριος ὁ Θεὸς αὐτοῦ,
Λαὸς ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ.
13. Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος,
Εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων·
14. Ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ
Ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν·
15. Ὁ πλάσας καταμόνας τὰς καρδίας αὐτῶν,
Ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν.
16. Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν,
Καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος ÷ αὐτοῦ".
17. Ψευδὴς ἵππος εἰς σωτηρίαν,
Ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται.
18. Ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν,
Τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ·
19. Ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν,
Καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ.
20. Ἡ ψυχὴ ἡμῶν ὑπομενεῖ τῷ Κυρίῳ,
÷ Ὅτι" βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστι·
21. Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν,
Καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν.
22. Γένοιτο Κύριε" τὸ ἔλεός σου ἐφ' ἡμᾶς,
καθάπερ ἠλπίσαμεν ἐπὶ σοί.

ΨΑΛΜ. ΛΓ'. XXXIII.

Τῷ Δαυὶδ, ὁπότε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτὸν, καὶ ἀπῆλθεν.

2. Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ,
Διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου·
3. Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου·
Ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.
4. Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοὶ,
Καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τοαυτό.
5. Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου,

v. 5. (ὁ Κύριος) deest. v. 6. Κυρίου) τοῦ Κυρίου. v. 11. εἰς γενεὰν καὶ γενεὰν) ἀπὸ γενεῶν εἰς γενεάς. v. 22. Κύριε τὸ ἔλεός σου) transposita. ibid. ἐπὶ σοί.) ἐπὶ σέ. Psalm. XXXIII. v. 4. ὑψώσωμεν) ὑψώσωμεν.

Καὶ ἐκ πασῶν τῶν θλίψεών μὲ ἐῤῥύσατό με.

6. Προσέλθατε πρὸς αὐτὸν καὶ φωτίθητε,
Καὶ τὰ πρόσωπα ὑμῶν ὲ μὴ καταισχυνθῇ.

7. Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν ÷ αὐτοῦ",
Καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.

8. Παρεμβαλεῖ ἄγγελος Κυρίε κύκλῳ τῶν φοβεμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς.

αὐτόν

9. Γεύσαθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος·
Μακάριος ἀνὴρ, ὃς ἐλπίζει ἐπ' αὐτόν.

10. Φοβήθητε τὸν Κύριον ÷ πάντες" οἱ ἅγιοι αὐτοῦ·
Ὅτι ὲκ ἔστιν ὑστέρημα τοῖς φοβεμένοις αὐτόν.

11. Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν·
Οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον ὲκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. ÷ Διάψαλμα".

12. Δεῦτε τέκνα, ἀκούσατέ μου, Φόβον Κυρίε διδάξω ὑμᾶς.

13. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν,
Ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς;

14. Παῦσον τὴν γλῶσσάν σε ἀπὸ κακοῦ,
Καὶ χείλη σε τοῦ μὴ λαλῆσαι δόλον·

15. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν·
Ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν.

16. Ὀφθαλμοὶ Κυρίε ἐπὶ δικαίους,
Καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν·

17. Πρόσωπον ÷ δὲ" Κυρίε ἐπὶ ποιοῦντας κακὰ,
Τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

18. Ἐκέκραξαν ÷ οἱ δίκαιοι", καὶ ὁ Κύριος εἰσήκουσεν ÷ αὐτῶν",
Καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐῤῥύσατο αὐτούς.

19. Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν,
Καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.

20. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων·
Καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος.

21. Φυλάσσει ÷ Κύριος" πάντα τὰ ὀστᾶ αὐτῶν·
Ἓν ἐξ αὐτῶν ὲ συντριβήσεται.

22. Θάνατος ἁμαρτωλῶν πονηρὸς,
Καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι·

23. Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ,
Καὶ ὲ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν.

ΨΑΛΜ. ΛΔ'. XXXIV.

ΨΑλμὸς) τῷ Δαυίδ.
Δίκασον Κύριε τοὺς ἀδικοῦντάς με·
Πολέμησον τοὺς πολεμοῦντάς με.

2. Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς βοήθειάν μου·

3. Ἔκχεον ῥομφαίαν (σου), καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με·

Εἶπον

v. 5. θλίψεών με) παροικιῶν μου. v. 8. ῥύσεται αὐτόν.) ῥύσεται αὐτούς. v. 21. Κύριος) deest. Psalm. XXXIV. v. 1. (Ψαλμὸς) deest. v. 2. με) μοι. v. 3. (σε) abest.

Εἶπον τῇ ψυχῇ μου, σωτηρία σου εἰ-
μὶ ἐγώ.

4. Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ
ζητοῦντες τὴν ψυχήν μου·
Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ
καταισχυνθήτωσαν
Οἱ λογιζόμενοί μοι κακά.

5. Γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσω-
πον ἀνέμου,
Καὶ ἄγγελος Κυρίου ἐκθλίβων
÷ αὐτούς".

6. Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ
ὀλίσθημα,
Καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτούς.

7. Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν
παγίδος αὐτῶν·
Μάτην ὠνείδισαν τὴν ψυχήν μου.

αὐτοῖς * γινώσκουσιν † ἔκρυψαν

8. Ἐλθάτω αὐτῷ παγὶς, ἣν οὐ * γινώσκει·
Καὶ ἡ θήρα ἣν † ἔκρυψεν, συλλαβέτω
αὐτὸν,
÷ Καὶ" ἐν τῇ παγίδι πεσεῖται ἐν
αὐτῇ.

9. Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ
τῷ Κυρίῳ,
Τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ.

10. Πάντα τὰ ὀστᾶ μου ἐροῦσι· Κύριε (Κύ-
ριε) τίς ὅμοιός σοι;
Ῥυόμενος πτωχὸν ἐκ στερεωτέρων αὐτοῦ,
Καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν δι-
αρπαζόντων αὐτόν.

11. Ἀναστάντες μάρτυρες ἄδικοι, ἃ οὐκ
ἐγίνωσκον, ἠρώτων με.

12. Ἀνταποδίδοσάν μοι πονηρὰ ἀντὶ ἀ-
γαθῶν,
Καὶ ἀτεκνίαν τῇ ψυχῇ μου.

13. Ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν
μοι, ἐνεδυόμην σάκκον,
(Καὶ) ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυ-
χήν μου,
Καὶ ἡ προσευχή μου εἰς κόλπον μου
ἀποστραφήτω·

14. Ὡς πλησίον, ὡς ἀδελφὸν ἡμέτερον
ἔτως εὐηρέστουν·
Ὡς πενθῶν καὶ σκυθρωπάζων ἔτως
ἐταπεινούμην.

15. Καὶ κατ' ἐμοῦ ηὐφράνθησαν καὶ συ-
νήχθησαν·
Συνήχθησαν ἐπ' ἐμὲ μάστιγες, καὶ
οὐκ ἔγνων"
Διεχύθησαν καὶ οὐ κατενύγησαν.

16. Ἐπείρασάν με, ἐξεμυκτήρισάν με
μυκτηρισμὸν,
Ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν·

17. Κύριε πότε ἐπόψῃ;
Ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ
τῆς κακουργίας αὐτῶν,
Ἀπὸ λεόντων τὴν μονογενῆ μου.

18. Ἐξομολογήσομαί σοι ἐν ἐκκλησίᾳ
πολλῇ,
Ἐν λαῷ βαρεῖ αἰνέσω σε.

19. Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνον-
τές μοι ἀδίκως,
Οἱ μισοῦντές με δωρεὰν, καὶ διανεύον-
τες ὀφθαλμοῖς.

 20. Ὅτι

Ibid. εἰμὶ ἐγώ.) transpoſita. v. 4. Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν) αἰσχυνθείησαν καὶ ἐντραπείησαν. ibid. Ἀποστραφήτωσαν) ἀποστραφείησαν. ib. καταισχυνθήτωσαν) καταισχυνθείησαν. v. 5. χνοῦς) χνόος. v. 8. Ἐλθάτω) ἐλθέτω. ibid. συλλαβέτω αὐτὸν) συλλ. αὐτὸς. ib. πεσεῖται) πεσοῦνται. v. 10. (Κύριε) abeſt. ibid. ἐκ στερεωτέρων) ἐκ χειρὸς στερεωτέρων. v. 11. ἠρώτων με) ἐπηρώτων με. v. 12. Ἀνταποδίδοσαν) ἀνταπεδίδοσαν. ibid. ἀγαθῶν) καλῶν. v. 13. ἀποστραφήτω) ἀποστραφήσεται. v. 18. σοι ἐν) σοι καὶ ἐν. v. 19. ἀδίκως) ματαίως. ibid. μισοῦντες) addit με.

20. Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν,
Καὶ ἐπ' ὀργῇ ※ γῆς λαλοῦντες, δόλους
διελογίζοντο·
21. Καὶ ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα
αὐτῶν,
Εἶπον· εὖγε εὖγε, εἶδον οἱ ὀφθαλ-
μοὶ ἡμῶν.
22. Εἶδες Κύριε, μὴ παρασιωπήσῃς·
Κύριε μὴ ἀποστῇς ἀπ' ἐμοῦ.
23. Ἐξεγέρθητι (Κύριε), καὶ πρόσχες
τῇ κρίσει μου,
Ὁ Θεός μου καὶ ὁ Κύριός μου εἰς τὴν
δίκην μου.
μοι 24. Κρῖνόν με (Κύριε) κατὰ τὴν δικαιο-
σύνην σου
Κύριε ὁ Θεός μου, καὶ μὴ ἐπιχαρείη-
σάν μοι.
25. Μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν, εὖ-
γε εὖγε τῇ ψυχῇ ἡμῶν·
Μηδὲ εἴποισαν, κατεπίομεν αὐτόν.
26. Αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα
οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου·
Ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν
Οἱ μεγαλορημονοῦντες ἐπ' ἐμέ.
27. Ἀγαλλιάσοιντο καὶ εὐφρανθείησαν
(ἐπὶ σοὶ)
Οἱ θέλοντες τὴν δικαιοσύνην μου·
Καὶ εἰπάτωσαν διαπαντὸς, μεγα-
λυνθήτω ὁ Κύριος,
Οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου
αὐτοῦ.
28. Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν
δικαιοσύνην σου,
Ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

ΨΑΛΜ. ΛΕ'. XXXV.

Εἰς τὸ τέλος τῷ δούλῳ Κυρίου τῷ Δαυὶδ (ψαλμός).
2. Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ·
Οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν
ὀφθαλμῶν αὐτοῦ.
3. Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ,
Τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ μι-
σῆσαι.
4. Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνο-
μία καὶ δόλος·
Οὐκ ἠβουλήθη συνιέναι τοῦ ἀγαθῦναι.
5. Ἀνομίαν διελογίσατο ἐπὶ τῆς κοίτης
αὐτοῦ·
Παρέστη ÷ πάσῃ ὁδῷ οὐκ ἀγαθῇ,
Κακίᾳ ÷ δὲ οὐ προσώχθισε.
6. Κύριε ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου,
÷ Καὶ ἡ ἀλήθειά σου ἕως τῶν νε-
φελῶν·
7. Ἡ δικαιοσύνη σου ὡς ὄρη Θεοῦ,
Τὰ κρίματά σου ἄβυσσος πολλή·
Ἀνθρώπους καὶ κτήνη σώσεις Κύριε.
8. Ὡς ἐπληθύνας τὸ ἔλεός σου ὁ Θεός·
Οἱ δὲ (οἱ) υἱοὶ τῶν ἀνθρώπων ἐν σκέ-
πῃ τῶν πτερύγων σου ἐλπιοῦσι·
9. Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου,
Καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς σου
ποτιεῖς αὐτούς.
10. Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς·
Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.
11. Παράτεινον τὸ ἔλεός σου τοῖς γινώ-
σκουσί σε,

Καὶ

V. 20. ἐπ' ὀργῇ) ἐπ' ὀργῆ. V. 21. Εἶπον) ἔπαιν. V. 24. Κρῖνόν μοι) κρῖνόν με. V. 27. μηδὲ εἴποισαν) μηδὲ εἴποιεν. V. 26. μεγαλορημονοῦντες) μεγαλορρημοῦντες. V. 27. Ἀγαλλιάσοιντο) ἀγαλλιάσαιντο. ibid. (ἐπὶ σοὶ) deficit. ib. μεγαλυνθήτω) μεγαλυνθείη. Pſalm. XXXV. v. 1. Εἰς τὸ τέλος τῷ Δαυὶδ Ψαλμός.) Εἰς τὸ τέλος τῷ δούλῳ Κυρίου τῷ Δαυὶδ. V. 5. διελογίσατο) ἐλογίσατο. ibid. Κακίᾳ δὲ) τῇ δὲ κακίᾳ. V. 7. σου ἄβυσσος) σου ὡσεὶ ἄβυσσος. V. 8. (οἱ) abeſt.

Καὶ τὴν δικαιοσύνην σε τοῖς εὐθέσι τῇ καρδίᾳ.

12. Μὴ ἐλθάτω μοι πῆς ὑπερηφανίας,
σαλεύσει Καὶ χεὶρ ἁμαρτωλῆ μὴ σαλεύσαι με.

13. Ἐκεῖ ἔπεσαν (πάντες) οἱ ἐργαζόμενοι τὴν ἀνομίαν·
Ἐξώσθησαν, καὶ ἐ μὴ δύνωνται στῆναι.

ΨΑΛΜ. Λϛ'. XXXVI.

(Εἰς τὸ τέλος, Ψαλμὸς) τῷ Δαυίδ.

Μὴ παραζήλε ἐν πονηρευομένοις,
Μηδὲ ζήλε τὲς ποιῆντας τὴν ἀνομίαν·

2. Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται,
Καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσῆνται.

3. Ἔλπισον ἐπὶ Κύριον, καὶ ποίει χρηστότητα,
÷ Καὶ κατασκήνε τὴν γῆν, καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλέτῳ αὐτῆς.

δῴη 4. Κατατρύφησον τῆ Κυρίᾳ, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σε.

5. Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σε,
Καὶ ἔλπισον ἐπ' αὐτὸν, καὶ αὐτὸς ποιήσει·

6. Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σε,
Καὶ τὸ κρῖμά σε ὡς μεσημβρίαν.

7. Ὑποτάγηθι τῷ Κυρίῳ, καὶ ἱκέτευσον αὐτόν·
Μὴ παραζήλε ἐν τῷ κατευοδεμένῳ ἐν τῇ ὁδῷ αὐτῆ,
παρανομίαν Ἐν ἀνθρώπῳ ποιῆντι παρανομίας.

8. Παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν·
Μὴ παραζήλε, ὥσε πονηρεύεθαι.

9. Ὅτι οἱ πονηρευόμενοι ἐξολεθρευθήσονται·
Οἱ δὲ ὑπομένοντες τὸν Κύριον, αὐτοὶ κληρονομήσουσι γῆν.

10. Καὶ ἔτι ὀλίγον, καὶ ἐ μὴ ὑπάρξει ὁ ἁμαρτωλὸς,
Καὶ ζητήσεις τὸν τόπον αὐτῆ,
Καὶ ἐ μὴ εὕρῃς·

11. Οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν,
Καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης (ἐπ' αὐτῆς).

12. Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον,
Καὶ βρύξει ἐπ' αὐτὸν τοὺς ὀδόντας αὐτῆ·

13. Ὁ ÷ δὲ Κύριος ἐκγελάσεται αὐτὸν,
Ὅτι προβλέπει ὅτι ἥξει ἡ ἡμέρα αὐτῆ.

14. Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοὶ,
Ἐνέτειναν τόξον αὐτῶν τῆ καταβαλεῖν πλωχὸν καὶ πένητα,
Τῆ σφάξαι τὲς εὐθεῖς τῇ καρδίᾳ·

15. Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὴν καρδίαν αὐτῶν,
Καὶ τὰ τόξα αὐτῶν συντριβείη.

16. Κρεῖττον ὀλίγον τῷ δικαίῳ
Ὑπὲρ πλῆτον ἁμαρτωλῶν πολύν.

17. Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται·
Ὑποστηρίζει δὲ τὲς δικαίους ὁ Κύριος.

18. Γινώσκει Κύριος τὰς ὁδὲς τῶν ἀμώμων,
Καὶ ἡ κληρονομία αὐτῶν εἰς αἰῶνα ἔσται·

v. 12. ἐλθάτω) ἐλθέτω. ibid. ἁμαρτωλῆ μὴ σαλεύσει) ἁμαρτωλῶν μὴ σαλεύσαι. v. 13. ἔπεσαν) ἔπεσον. Pſalm. XXXVI. v. 1. (Εἰς τὸ τέλος, Ψαλμὸς) deſunt. v. 4. δῴη σοι) δώσει σοι. v. 7. παρανομίαν) παρανομίας. v. 9. γῆν) τὴν γῆν. v. 10. ὑπάρξει ὁ ἁμάρτ.) ὑπαρξῃ ἁμαρτωλὸς. v. 11. (ἐπ' αὐτῆς) non habet. v. 18. εἰς αἰῶνα) εἰς τὸν αἰῶνα.

19. Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ,
Καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται.
20. Ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται·
Οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι,
Ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον.
21. Δανείζεται ὁ ἁμαρτωλὸς, καὶ οὐκ ἀποτίσει·
Ὁ δὲ δίκαιος οἰκτίρει, καὶ δίδωσιν.
22. Ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν·
Οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολεθρευθήσονται.
23. Παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται,
Καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει (σφόδρα)·
24. Ὅταν πέσῃ οὐ καταραχθήσεται,
Ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ.
25. Νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα,
Καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον,
Οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους·
26. Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει (ὁ δίκαιος),
Καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ÷ ἔσαι".
27. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθὸν,
Καὶ κατασκήνωσον εἰς αἰῶνα ÷ αἰῶνος".
28. Ὅτι Κύριος ἀγαπᾷ κρίσιν,
Καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ,
Εἰς τὸν αἰῶνα φυλαχθήσονται.
÷ Ἄνομοι δὲ ἐκδικηθήσονται",
ἐκδιωχθήσονται Καὶ σπέρμα ἀσεβῶν ἐξολεθρευθήσεται.
29. Δίκαιοι ÷ δὲ" κληρονομήσουσι γῆν,
Καὶ κατασκηνώσουσιν εἰς αἰῶνα ÷ αἰῶνος" ἐπ' αὐτῆς.
30. Στόμα δικαίου μελετήσει σοφίαν,
Καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν·
31. Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ,
÷ Καὶ" οὐ μὴ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ.
32. Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον,
Καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν·
33. Ὁ ÷ δὲ" Κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ,
Οὐδ' οὐ μὴ καταδικάσηται αὐτὸν, ὅταν κρίνεται ÷ αὐτῷ".
34. Ὑπόμεινον τὸν Κύριον, καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ,
Καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι γῆν·
Ἐν τῷ ἐξολεθρεύεσθαι ἁμαρτωλοὺς, ὄψῃ.
35. Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ Λιβάνου·
36. Καὶ παρῆλθον καὶ ἰδοὺ οὐκ ἦν,
Καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ÷ ὁ τόπος αὐτοῦ".
37. Φύλαξαι ἀκακίαν, καὶ ἴδε εὐθύτητα·
Ὅτι ἔστιν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ.
38. Οἱ δὲ παράνομοι ἐξολεθρευθήσονται ἐπιτοαυτό·
Τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολεθρευθήσονται.
39. Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου,
÷ Καὶ

v. 21. δίδωσιν) διδοῖ. v. 23. (σφόδρα) abeſt. v. 26. (ὁ δίκαιος) deeſt. v. 28. Ἄνομοι δὲ ἐκδιωχθήσονται) ἄμωμοι ἐκδικηθήσονται. v. 33. Οὐδ' οὐ μὴ) οὐδὲ μὴ. ibid. καταδικάσηται αὐτὸν κρίνεται) καταδικάσαι αὐτὸν, ὅταν κρίνηται. v. 34. γῆν) τὴν γῆν. ibid. ὄψῃ) ὄψει.

÷ Καὶ" ὑπεραπιστὴς αὐτῶν ἐστιν ἐν καιρῷ θλίψεως·

40. Καὶ βοηθήσει αὐτοῖς Κύριος, καὶ ῥύσεται αὐτούς,

÷ Καὶ" ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν,

Καὶ σώσει αὐτούς, ὅτι ἤλπισαν ἐπ' αὐτόν.

ΨΑΛΜ. ΛΖ'. XXXVII.

ἀμνησιν ΨΑλμὸς τῷ Δαυὶδ, εἰς ἀνάμνησιν ÷ περὶ τοῦ Σαββάτου".

2. Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με,

Μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

3. Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι,

Καὶ ἐπεστήρισας ἐπ' ἐμὲ τὴν χεῖρά σου·

4. Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου,

Οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.

5. Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου,

Ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ.

6. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου,

Ἀπὸ προσώπου τῆς ἀφροσύνης μου·

7. Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους,

Ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην·

8. Ὅτι αἱ ψύαι μου ἐπλήθησαν ἐμπαιγμάτων,

Καὶ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.

9. Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα·

Ὠρυόμην ἀπὸ στεναγμῆς τῆς καρδίας μου.

10. Κύριε ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου,

Καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἐκρύβη.

11. Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου,

Καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ.

12. Οἱ φίλοι μου καὶ οἱ πλησίον μου

Ἐξεναντίας μου ἤγγισαν καὶ ἔστησαν,

Καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν·

13. Καὶ ἐξεβιάσαντο οἱ ζητοῦντες τὴν ψυχήν μου,

Καὶ οἱ ζητοῦντες τὰ κακά μοι, ἐλάλησαν ματαιότητας,

Καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.

14. Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον,

Καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ·

15. Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων,

Καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.

16. Ὅτι ἐπὶ σοὶ Κύριε ἤλπισα,

Σὺ εἰσακούσῃ Κύριε ὁ Θεός μου.

17. Ὅτι εἶπα, μήποτε ἐπιχαρῶσί μοι ÷ οἱ ἐχθροί μου".

Καὶ

Psalm. XXXVII. v. 1. εἰς ἄμνησιν περὶ τοῦ σαβ.) εἰς ἀνάμνησιν περὶ σαββάτου. v. 3. ἐπεστήρισας) ἐπεστήριξας. v. 4. ἐν τοῖς ὀστέοις) τοῖς ὀστέοις. v. 5. φορτίον) addit βαρὺ. v. 8. αἱ ψύαι) ἡ ψυχή. ibid. ἐπλήθησαν ἐμπαιγμάτων) ἐπλήθη ἐμπαιγμῶν. v. 10. Κύριε ἐναντίον) καὶ ἐναντίον. ibid. ἀπὸ σοῦ οὐκ ἐκρύβη) οὐκ ἀπεκρύβη ἀπὸ σοῦ. v. 11. μου καὶ αὐτὸ οὐκ ἔστι) μου οὐκ ἔστι. v. 12. ἀπὸ μακρόθεν) ἀπὸ deeſt. v. 13. ἐξεβιάσαντο) ἐξεβιάζοντο.

Καὶ ἐν τῷ σαλευθῆναι πόδας μου,
ἐπ' ἐμὲ ἐμεγαλορημόνησαν.
18. Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος,
Καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου (ἐστὶν)
διαπαντός.
19. Ὅτι τὴν ἀνομίαν μου (ἐγὼ) ἀναγγελῶ,
÷ Καὶ" μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.
20. Οἱ δὲ ἐχθροί μου ζῶσι, καὶ κεκραταίωνται ÷ ὑπὲρ ἐμὲ",
Καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως·
21. Οἱ ἀνταποδιδόντες (μοι) κακὰ ἀντὶ ἀγαθῶν
Ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.
δικαιοσύνην
22. Μὴ ἐγκαταλίπῃς με Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ·
23. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

ΨΑΛΜ. ΛΗ'. XXXVIII.

Ἰδιθὰμ

Εἰς τὸ τέλος, τῷ Ἰδιθὰν ᾠδὴ τῷ Δαυίδ.
2. Εἶπα, Φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν (με) ἐν γλώσσῃ μου·
Ἔθεμην τῷ στόματί μου Φυλακήν,
Ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου.
3. Ἐκωφώθην ÷ καὶ" ἐταπεινώθην, ÷ καὶ" ἐσίγησα ἐξ ἀγαθῶν,
Καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη.
4. Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου,
÷ Καὶ" ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ·
Ἐλάλησα ἐν γλώσσῃ μου.
5. Γνώρισόν μοι Κύριε τὸ πέρας μου,
Καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν,
Ἵνα γνῶ τί ὑστερῶ ἐγώ.
6. Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου,
Καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου·
Πλὴν τὰ σύμπαντα ματαιότης
Πᾶς ἄνθρωπος ζῶν. Διάψαλμα
7. Μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος,
Πλὴν μάτην ταράσσεται·
Θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά.
8. Καὶ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ ὁ Κύριος;
÷ Καὶ" ἡ ὑπόστασίς μου παρὰ σοί ἐστιν. σου
9. Ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με·
Ὀνειδος ἄφρονι ἔδωκάς με.
10. Ἐκωφώθην ÷ καὶ" οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ ἐποίησάς (με).
11. Ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου·
Ἀπὸ (γὰρ) τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον.
12. Ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον,
Καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ·
Πλὴν μάτην πᾶς ἄνθρωπος. Διάψαλμα.
13. Εἰσάκουσον τῆς προσευχῆς μου Κύριε,
Καὶ

v. 18. (ἐστὶν) abest. v. 19. (ἐγὼ) deest. v. 20. μισοῦντες) addit με. v. 21. (μοι) non habet. Psalm. XXXVIII. v. 1. Ἰδιθὰμ) Ἰδιθὰν. v. 2. (με) abest. v. 5. ἡμερῶν τίς) ἡμερῶν μου τίς. v. 6. παλαιστὰς) παλαιάς. ibid. ἡ ὑπόστασις) ἡ deest. v. 7. συνάξει) συνάξει. v. 8. παρὰ σοὶ) παρὰ σοί. ibid. a fine addit C. Rom. διάψαλμα. v. 10. σὺ ἐποίησάς με) σὺ εἶ ὁ ποιήσας με. v. 11. (γὰρ) abest. v. 12. μάτην πᾶς ἄνθρωπος.) μάτην ταράσσεται πᾶς ἄνθρ. διάψαλμα.

Καὶ τῆς δεήσεώς μϐ ἐνώτισαι,
Τῶν δακρύων μϐ μὴ παρασιωπήσης·
Ὅτι πάροικος ἐγώ εἰμι παρὰ σοὶ
Καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μϐ.
14. Ἄνες μοι ἵνα ἀναψύξω, πρὸ τοῦ με ἀπελθεῖν, καὶ ἐκέτι ϐ μὴ ὑπάρξω.

ΨΑΛΜ. ΛΘ'. XXXIX.

ΕΙς τὸ τέλος, Ψαλμὸς τῷ Δαυίδ.
2. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέχε μοι,
Καὶ εἰσήκουσε τῆς δεήσεώς μϐ·
3. Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας,
ὕλεως ÷ Καὶ" ἀπὸ πηλοῦ ἰλύος,
Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μϐ,
Καὶ κατηύθυνε τὰ διαϐήματά μϐ·
4. Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μϐ ᾆσμα καινὸν, ὕμνον τῷ Θεῷ ἡμῶν.
Ὄψονται πολλοὶ καὶ φοϐηθήσονται,
Καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον.
5. Μακάριος ἀνὴρ οὗ ἐστι τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ,
Καὶ οὐκ ἐνέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς.
6. Πολλὰ ἐποίησας σὺ Κύριε ὁ Θεός μϐ τὰ θαυμάσιά σϐ,
Καὶ τοῖς διαλογισμοῖς σϐ οὐκ ἔστι τις ὁμοιωθήσεταί σοι.
Ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν.
7. Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας,
Σῶμα ÷ δὲ" κατηρτίσω μοι·

Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ᾔτησας. ἐζήτησας
8. Τότε εἶπον, ἰδοὺ ἥκω·
Ἐν κεφαλίδι ϐιϐλίου γέγραπταί περὶ ἐμοῦ·
9. Τοῦ ποιῆσαί τὸ θέλημά σϐ ὁ Θεός μϐ ἠϐουλήθην,
Καὶ τὸν νόμον σϐ ἐν μέσῳ τῆς κοιλίας μϐ.
10. Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ,
Ἰδοὺ τὰ χείλη μϐ οὐ μὴ κωλύσω·
Κύριε σὺ ἔγνως.
11. Τὴν δικαιοσύνην σϐ οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μϐ,
Τὴν ἀλήθειάν σϐ καὶ τὸ σωτήριόν σϐ εἶπα,
Οὐκ ἔκρυψα τὸ ἔλεός σϐ καὶ τὴν ἀλήθειάν σϐ
Ἀπὸ συναγωγῆς πολλῆς.
12. Σὺ ÷ δὲ" Κύριε μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σϐ ἀπ' ἐμοῦ·
Τὸ ἔλεός σϐ καὶ ἡ ἀλήθειά σϐ διὰ παντὸς ἀντιλάϐοιντό μϐ.
13. Ὅτι περιέσχον με κακὰ, ὧν οὐκ ἔστιν ἀριθμός·
Κατέλαϐόν με αἱ ἀνομίαι μϐ," καὶ οὐκ ἠδυνήθην τοῦ βλέπειν·
Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μϐ,
Καὶ ἡ καρδία μϐ ἐγκατέλειπέ με.
14. Εὐδόκησον Κύριε τοῦ ῥύσασθαί με·
Κύριε εἰς τὸ ϐοηθῆσαί μοι πρόσχες. σπεῦσον
15. Καταισχυνθείησαν καὶ ἐντραπείησαν

V. 13. παρὰ σοὶ) ἐν τῇ γῇ. V. 14. ἐκέτι οὐ μὴ) ἐκέτι μὴ. Psalm. XXXIX. V. 1. Ψαλμὸς τῷ Δαυίδ) transposita. V. 3. ὕλεως) ἰλύος. V. 5. ἐνέβλεψεν) ἐπέβλεψεν. V. 6. ὁμοιωθήσεται) addit σοὶ. V. 7. Ὁλοκαυτώματα) ὁλοκαύτωμα. ibid. ἐκ ἐζήτησας) οὐκ ᾔτησας. V. 9. τῆς κοιλίας μϐ) τῆς καρδίας μϐ. V. 11. δικαιοσύνην σϐ) δικ. μου. V. 12. ἀντιλάϐοιντο) ἀντελάϐοντο. V. 13. ἠδυνήθην) ἠδυνάσθην. V. 14. σπεῦσον) πρόσχες.

ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου,
τοῦ ἐξάραι αὐτήν·
Ἀποστραφείησαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθείησαν οἱ θέλοντές μοι κακά.
16. Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν
Οἱ λέγοντές μοι, εὖγε, εὖγε.
17. Ἀγαλλιάσοιντο καὶ εὐφρανθείησαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, (Κύριε).
÷ Καὶ εἰπάτωσαν διαπαντὸς, μεγαλυνθήτω ὁ Κύριος,
Οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.
18. Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης, ὁ Κύριος φροντιεῖ μου·
Βοηθός μου καὶ ὑπερασπιστής μου εἶ σὺ,
Ὁ Θεός μου μὴ χρονίσῃς.

ΨΑΛΜ. Μ'. XL.

Εἰς τὸ τέλος, Ψαλμὸς τῷ Δαυίδ.
2. Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν ÷ καὶ πένητα",
Ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος·
3. Κύριος διαφυλάξαι αὐτὸν, καὶ ζῆσαι αὐτὸν, καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ,
Καὶ μὴ παραδῷῃ αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ·
4. Κύριος βοηθήσει αὐτῷ ἐπὶ κλίνης ὀδύνης ÷ αὐτοῦ".
Ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀῤῥωστίᾳ αὐτοῦ.
5. Ἐγὼ εἶπα· Κύριε ἐλέησόν με,
Ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.
6. Οἱ ἐχθροί μου εἶπαν κακά μοι·
Πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ;
7. Καὶ εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάταια ἐλάλει·
Ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν ἑαυτῷ·
Ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει.
8. Ἐπὶ τὸ αὐτὸ κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου,
Κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι·
9. Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ·
÷ Μὴ" ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι.
10. Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα,
Ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.
11. Σὺ δὲ Κύριε ἐλέησόν με, καὶ ἀνάστησόν με,
Καὶ ἀνταποδώσω αὐτοῖς.
12. Ἐν τούτῳ ἔγνων, ὅτι ἐθέλησάς με,
Ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμέ.
13. Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου,
Καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα.
14. Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος, καὶ εἰς τὸν αἰῶνα· γένοιτο γένοιτο.

ΨΑΛΜ.

v. 15. καταισχυνθείησαν posteriore loco) ἐντραπείησαν. v. 17. Ἀγαλλιάσοιντο) ἀγαλλιάσαιντο. v. 18. πτωχός εἰμι) εἰμὶ deest. ibid. καὶ πένης) καὶ πένης εἰμὶ. ib. ὁ Κύριος) κύριος. Psalm. XL. v. 3. διαφυλάξαι) φυλάξαι. ibid. παραδῷῃ αὐτὸν εἰς χ. ἐχθρῶν) παραδοῖ αὐτὸν εἰς χεῖρας ἐχθρῶν. v. 4. βοηθήσει) βοηθήσαι. v. 7. Καὶ εἰσεπ.) Καὶ εἰ εἰσεπορεύετο.

ΨΑΛΜ. ΜΑ'. XLI.

εἰς σύνεσιν

Εἰς τὸ τέλος, συνέσεως τοῖς υἱοῖς Κορὲ, (Ψαλμὸς τῷ Δαυίδ).

2. Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων,
Οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός·

3. Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν ※ τὸν ἰσχυρὸν" τὸν ζῶντα·
Πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;

4. Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτὸς,
Ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάστην ἡμέραν· ποῦ ἐστιν ὁ Θεός σου;

5. Ταῦτα ἐμνήσθην, καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου·
Ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ,
Ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως, ἤχου ἑορτάζοντος.

ἠχοῦς

6. Ἱνατί περίλυπος εἶ ἡ ψυχή μου;
Καὶ ÷ ἱνατί" συνταράσσεις με;
Ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ※ ἔτι ἐξομολογήσομαι αὐτῷ,
Σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου.

7. Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη·
Διὰ τοῦτο μνησθήσομαί σου (Κύριε) ἐκ γῆς Ἰορδάνου
Καὶ Ἑρμωνιείμ, ἀπὸ ὄρους μικροῦ.

8. Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταρακτῶν σου·
Πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.

9. Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ·
Καὶ νυκτὸς ᾠδὴ αὐτοῦ παρ' ἐμοὶ,
Προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου.

10. Ἐρῶ τῷ Θεῷ· ἀντιλήπτωρ μου, διατί με ἐπελάθου;
Καὶ ἱνατί σκυθρωπάζων πορεύομαι,
Ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν (με),

11. Ἐν τῷ καταθλᾶσαι τὰ ὀστᾶ μου.
Ὠνείδιζόν με οἱ θλίβοντές με,
Ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑκάστην ἡμέραν· ποῦ ἐστιν ὁ Θεός σου;

ἐχθροί μου

12. Ἱνατί περίλυπος εἶ ἡ ψυχή μου;
Καὶ ἱνατί συνταράσσεις με;
Ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ※ ἔτι ἐξομολογήσομαι αὐτῷ,
Σωτήριον τοῦ προσώπου μου; ※ καὶ" ὁ Θεός μου.

ΨΑΛΜ. ΜΒ'. XLII.

Εἰς τὸ τέλος, συνέσεως τοῖς υἱοῖς Κορὲ,) ÷ Ψαλμὸς τῷ Δαυίδ".

Κρῖνόν με ὁ Θεὸς, καὶ δίκασον τὴν δίκην μου ἐξ ἔθνους ὁσίου·
Ἀπὸ ἀνθρώπου ἀδίκου καὶ δολίου ῥῦσαί με.

μοι

2. Ὅτι σὺ ὁ Θεὸς κραταίωμά μου, ἱνατί ἀπώσω με;
Καὶ ἱνατί σκυθρωπάζων πορεύομαι,
Ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν (με);

3. Ἔξα-

Pſalm. XLI. v. 1. (Ψαλμὸς τῷ Δαυίδ) abſunt. v. 3. τὸν ἰσχυρὸν) deeſt. v. 5. ἠχοῦς ἑορτάζοντος) ἦχος ἑορταζόντων. v. 6. καὶ ὁ Θεός μου) καὶ abeſt. v. 7. (Κύριε) abeſt. v. 9. νυκτὸς ᾠδὴ αὐτοῦ παρ' ἐμοὶ) νυκτὸς δηλώσει παρ' ἐμοί. v. 10. ἀντιλήπτωρ μου) addit ἐμοῦ. ibid. Καὶ ἱνατί) ἱνατί. v. 11. καταθλᾶσαι) καταθλᾶσθαι. ibid. Ὠνείδιζόν με οἱ ἐχθροί με) ὠνείδισάν με οἱ θλίβοντές με. v. 12. Σωτήριον) ἡ σωτηρία. Pſalm. XLII. v. 1. (Εἰς τὸ τέλος, συνέσεως τοῖς υἱοῖς Κορὲ) abſunt à Cod. Rom. ibid. Κρῖνόν μοι) κρῖνόν με. v. 2. Ὅτι σὺ ὁ) ὅτι σὺ εἶ ὁ.

3. Ἐξαπόστειλον τὸ φῶς σε καὶ τὴν ἀλήθειάν σε·
Αὐτά με ὡδήγησαν καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σε,
Καὶ εἰς τὰ σκηνώματά σε.
4. Καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τῦ Θεῦ,
Πρὸς τὸν Θεὸν τὸν εὐφραίνοντα τὴν νεότητά με·
Ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ ὁ Θεὸς, ὁ Θεός με.
5. Ἱνατί περίλυπος εἶ ἡ ψυχή με; Καὶ ἱνατί συνταράσσεις με;
Ἔλπισον ἐπὶ τὸν Θεὸν, ὅτι ※ ἔτι ἐξομολογήσομαι αὐτῷ,
Σωτήριον τῦ προσώπε με, ※ καὶ" ὁ Θεός με.

ΨΑΛΜ. ΜΓ'. XLIII.

Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ ÷ εἰς" σύνεσιν (Ψαλμός).
2. Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν,
Οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν
Ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν,
Ἐν ἡμέραις ἀρχαίαις.
3. Ἡ χείρ σε ἔθνη ἐξωλέθρευσε, Καὶ κατεφύτευσας αὐτές·
Ἐκάκωσας λαὸς, καὶ ἐξέβαλες αὐτές.
4. Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν,
Καὶ ὁ βραχίων αὐτῶν ἐκ ἔσωσεν αὐτές·
Ἀλλ' ἡ δεξιά σε, καὶ ὁ βραχίων σε,
Καὶ ὁ φωτισμὸς τῦ προσώπε σε, ὅτι εὐδόκησας ἐν αὐτοῖς.
5. Σὺ εἶ αὐτὸς ὁ βασιλεύς με ÷ καὶ" ὁ Θεός ÷ με",
Ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ.
6. Ἐν σοὶ τὺς ἐχθρὺς ἡμῶν κερατιῦμεν,
÷ Καὶ" ἐν τῷ ὀνόματί σε ἐξουδενώσομεν τὺς ἐπανισταμένυς ἡμῖν.
7. Οὐ γὰρ ἐπὶ τῷ τόξῳ με ἐλπιῶ,
Καὶ ἡ ῥομφαία με ὐ σώσει με·
8. Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς,
Καὶ τὺς μισῦντας ἡμᾶς κατήχυνας.
9. Ἐν τῷ Θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν,
Καὶ ÷ ἐν" τῷ ὀνόματί σε ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα. Διάψαλμα.
10. Νυνὶ δὲ ἀπώσω καὶ κατήχυνας ἡμᾶς,
Καὶ ὐκ ἐξελεύσῃ ÷ ὁ Θεὸς" ἐν ταῖς δυνάμεσιν ἡμῶν.
11. Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τὺς ἐχθρὺς ἡμῶν,
Καὶ οἱ μισῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς.
12. Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως,
Καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς.
13. Ἀπέδω τὸν λαόν σε ἄνευ τιμῆς,
Καὶ ὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλαγμασιν αὐτῶν. (ἀλαλάγμασιν ἡμῶν)
14. Ἔθε ἡμᾶς εἰς ὄνειδος τοῖς γείτοσιν ἡμῶν,
Μυκτηρισμὸν καὶ καταγέλωτα τοῖς κύκλῳ ἡμῶν, (χλευασμὸν)
(Καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς)·
15. Ἔθε

v. 4. ὁ Θεός με) ὁ Θεὸς ὁ Θεός με. v. 5. καὶ ὁ Θεός με.) καὶ abest. Psalm. XLIII. v. 1. Κορὲ) addit εἰς σύνεσιν. v. 6. ἐπανισταμένους) ἐπανισταμένες. v. 9. à fine *Rom.* addit Διάψαλμα. v. 10. ὁ Θεὸς) abest. v. 13. ἀλαλ. ἡμῶν) ἀλαλάγμασιν αὐτῶν. v. 14. εἰς ὄνειδος) ὄνειδος. ibid. χλευασμὸν) καταγέλωτα. ib. Καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς) hæc non habet *Rom.*

15. Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι,
Κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς.
16. Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατενώπιόν μου ÷ ἐστὶ,
Καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με,
17. Ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦντος,
Ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος.
18. Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου,
Καὶ οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου,
19. ÷ Καὶ" οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν·
Καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου.
20. Ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως,
Καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου.
21. Εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ Θεοῦ ἡμῶν,
Καὶ ÷ εἰ" διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον,
22. Οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα;
Αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας.
23. Ὅτι ἕνεκέν σου θανατούμεθα ὅλην τὴν ἡμέραν,
Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.
24. Ἐξεγέρθητι, ἱνατί ὑπνοῖς Κύριε;
Ἀνάστηθι, ÷ καὶ" μὴ ἀπώσῃ εἰς τέλος.
25. Ἱνατί πρόσωπόν σου ἀποστρέφεις;
Ἐπιλανθάνῃ τῆς πλώχειας ἡμῶν καὶ τῆς θλίψεως ἡμῶν;
26. Ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν,
Ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν.
27. Ἀνάστα ÷ Κύριε, βοήθησον ἡμῖν,
Καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.

ΨΑΛΜ. ΜΔ'. XLIV.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν, ᾠδὴ (τοῦ Δαυὶδ) ὑπὲρ τοῦ ἀγαπητοῦ.

2. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθὸν,
Λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ·
Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.
3. Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων,
Ἐξεχύθη χάρις ἐν χείλεσί σου·
Διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα.
4. Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν ÷ σου", δυνατὲ
Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου·
5. Καὶ ἔντεινον, (καὶ) κατευοδοῦ, ÷ καὶ" βασίλευε
Ἕνεκεν ἀληθείας καὶ πραΰτητος ÷ καὶ δικαιοσύνης"·
※ Καὶ" ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.
6. Τὰ βέλη σου ἠκονημένα, (δυνατέ)·
Λαοὶ ὑποκάτω σου πεσοῦνται
Ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως.
7. Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·

V. 16. κατενώπιον) κατεναντίον. V. 17. καταλαλοῦντος) παραλαλοῦντος. V. 21. ἐπελαθόμεθα) adjicit τοῦ ὀνόματος. V. 23. ἕνεκέν σου) ἕνεκά σου. V. 25. πρόσωπον) τὸ πρόσωπον. Pſalm. XLIV. V. 1. τοῦ Δαυὶδ ὑπὲρ τοῦ ἀγ.) Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων τοῖς υἱοῖς κορὲ εἰς σύνεσιν, ᾠδὴ ὑπὲρ τοῦ ἠγαπητοῦ. V. 2. Ἐξηρεύξατο) Ἐξηρεύξατο. V. 7. εἰς τὸν αἰῶνα τοῦ αἰῶνος) εἰς αἰῶνα αἰῶνος.

Ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σε.
8. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀδικίαν·
Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σε
Ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σε.
9. Σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σε,
Ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν ἠυφράνάν σε.
βασιλέως 10. Θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σε·
Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σε,
÷ Ἐν ἱματισμῷ διαχρύσῳ ÷ περιβεβλημένη πεποικιλμένη".
11. Ἄκουσον θύγατερ καὶ ἴδε καὶ κλῖνον τὸ ὦς σε,
Καὶ ἐπιλάθε τοῦ λαοῦ σε καὶ τοῦ οἴκου τοῦ πατρός σε,
12. Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σε·
Ὅτι αὐτός ÷ ἐστιν" ὁ κύριός σε.
13. ※ Καὶ" προσκυνήσουσιν αὐτῷ" ※ καὶ θυγατέρες Τύρου ἐν δώροις·
Τὸ πρόσωπόν σε λιτανεύσουσιν οἱ πλέσιοι τοῦ λαοῦ.
τῆς 14. Πᾶσα ἡ δόξα αὐτῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν·
Ἐν χρυσωτοῖς χρυσοῖς περιβεβλημένη πεποικιλμένη.
15. Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς,
αὐτοῦ Οἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι·
16. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει,
Ἀχθήσονται εἰς ναὸν βασιλέως.
17. Ἀντὶ τῶν πατέρων σε ἐγενήθησάν (σοι) υἱοί σε·
Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. μνηθήσονται
18. (Καὶ) μνηθήσομαι τοῦ ὀνόματός σε ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ·
Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα,
Καὶ εἰς τὸν αἰῶνα ÷ τοῦ αἰῶνος".

ΨΑΛΜ. ΜΕ'. XLV.

Εἰς τὸ τέλος υἱοῖς Κορὲ ὑπὲρ τῶν κρυφίων (τοῦ Δαυὶδ) Ψαλμός.
2. Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις,
Βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα.
3. Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν,
Καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.
4. Ἠχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν,
Ἐταράχθη τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ. Διάψαλμα.
5. Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ·
Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος.
6. Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, οὐ σαλευθήσεται·
Βοηθήσει αὐτῇ ὁ Θεὸς τῷ προσώπῳ πρωΐ. τὸ πρὸς πρωΐ
7. Ἐτα-

v. 8. ἀδικίαν) ἀνομίαν. v. 10. βασιλέως) βασιλέων. v. 12. Καὶ ἐπιθυμήσει) ὅτι ἐπεθύμησεν. v. 13. τοῦ λαοῦ) addit τῆς γῆς. v. 14. τῆς θυγατρὸς) αὐτῆς θυγατρὸς. ibid. ἔσωθεν) ἐσεβών. v. 15. ὀπίσω αὐτοῦ) ὀπίσω αὐτῆς. ibid. Οἱ πλησίον) αἱ πλησίον. v. 18. (Καὶ) abeſt. Pſalm. XLV. v. 1. ita legitur in Ed. Rom. Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν κορὲ ὑπὲρ τῶν κρυφίων ψαλμός. v. 4. Ἐταράχθη) ἐταράχθησαν. v. 6. τὸ πρὸς πρωΐ) τῷ προσώπῳ. ibid. πρωΐ.) deeſt.

7. Ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι·
Ἔδωκε φωνὴν αὐτῦ (ὁ ὕψιστος) ἐσαλεύθη ἡ γῆ.
8. Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν,
Ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ· Διάψαλμα.
Θεῦ 9. Δεῦτε καὶ ἴδατε τὰ ἔργα τῦ Κυρίε,
Ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς·
10. Ἀνταναιρῶν πολέμες μέχρι τῶν περάτων τῆς γῆς,
Τόξον συνθρίψει καὶ συγκλάσει ὅπλον,
÷ Καὶ" θυρεὸς κατακαύσει ἐν πυρί.
11. Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ
÷ εἰμι" ὁ Θεός·
Ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.
12. Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν,
Ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.
※ Διάψαλμα.

ΨΑΛΜ. Μς'. XLVI.

Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν Κορὲ Ψαλμὸς (τῷ Δαυὶδ).
2. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας·
Ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.
3. Ὅτι Κύριος ὕψιστος, Φοβερός·
Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.
4. Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν·
5. Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτῦ,
Τὴν καλλονὴν Ἰακὼβ, ἣν ἠγάπησε. Διάψαλμα.
6. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ,
Κύριος ἐν φωνῇ σάλπιγγος.
7. Ψάλατε τῷ Θεῷ ÷ ἡμῶν", ψάλατε·
Ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε.
8. Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός.
Ψάλατε συνετῶς. 9. Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ (πάντα) τὰ ἔθνη·
Ὁ Θεὸς κάθηται ἐπὶ θρόνε ἁγίε αὐτῦ.
10. Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τῦ Θεῦ Ἀβραάμ·
Ὅτι τῷ Θεῷ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.

ΨΑΛΜ. ΜΖ'. XLVII.

Εἰς τὸ τέλος) Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κορὲ (τῷ Δαυὶδ).
2. Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα,
Ἐν πόλει τῦ Θεῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτῦ,
3. Εὐρίζῳ, ἀγαλλιάματι πάσῃ τῇ γῇ. Εὐρίζων
Ὄρη Σιὼν τὰ πλευρὰ τῦ Βορρᾶ·
Ἡ πόλις τῦ βασιλέως τῦ μεγάλε.
4. Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς.
5. Ὅτι ἰδὲ οἱ βασιλεῖς (τῆς γῆς) συνήχθησαν, διῆλθοσαν ἐπιτοαυτό·
6. Αὐτοὶ ἰδόντες ἔτως, ἐθαύμασαν· ἰδόντες
Ἐταράχθησαν, ἐσαλεύθησαν· 7. τρόμος ἐπελάβετο αὐτῶν· ὑπελάβετο
Ἐκεῖ ὠδῖνες ὡς τικτέσης.
8. Ἐν

v. 7. (ὁ ὕψιστος) deeſt. v. 9. ἴδατε) ἴδετε. ibid. τοῦ Θεοῦ) τοῦ Κυρίου. v. 10. Ἀνταναιρῶν) ἀνταναιρῶν. Pſalm. XLVI. v. 1. Ed. *Rom.* Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν Κορὲ Ψαλμός. v. 5. ἑαυτοῦ) αὐτοῦ. ibid. Ed. *Rom.* à fine addit διάψαλμα. v. 9. (πάντα) abeſt. Pſalm. XLVII. v. 1. Ed. *Rom.* Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς κορὲ δευτέρᾳ σαββάτου. v. 3. πάσῃ τῇ γῇ) πάσης τῆς γῆς. v. 5. (τῆς γῆς) in textu quidem Ed. *Rom.* hæc verba habentur ; ſed in notis proſcribuntur. ibid. διῆλθοσαν) ἦλθοσαν. v. 6. ἰδόντες) ἰδόντες. v. 7. ὑπελάβετο) ἐπελάβετο.

συντρίψει 8. Ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσεῖς.

9. Καθάπερ ἠκούσαμεν, ἔτως εἴδαμεν
Ἐν πόλει Κυρίε τῶν δυνάμεων,
Ἐν πόλει τοῦ Θεοῦ ἡμῶν·
Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. Διάψαλμα.

10. Ὑπελάβομεν ὁ Θεὸς τὸ ἔλεός σε ἐν μέσῳ τοῦ ναοῦ σε.

λαοῦ 11. Κατὰ τὸ ὄνομά σε ὁ Θεὸς, ἔτως ÷ καὶ" ἡ αἴνεσίς σε ἐπὶ τὰ πέρατα τῆς γῆς·
Δικαιοσύνης πλήρης ἡ δεξιά σε.

12. Εὐφρανθήτω τὸ ὄρος Σιὼν,
÷ Καὶ" ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας,
Ἕνεκεν τῶν κριμάτων σε ÷ Κύριε".

13. Κυκλώσατε Σιὼν καὶ περιλάβετε αὐτὴν,
Διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς·

14. Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς,
÷ Καὶ" καταδιέλεσθε βάρεις αὐτῆς
Ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν.

15. Ὅτι ἔτός ἐστιν ὁ Θεὸς ὁ Θεὸς ἡμῶν εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα ÷ τοῦ αἰῶνος"·
Αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.

ΨΑΛΜ. ΜΗ'. XLVIII.

Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ Ψαλμὸς (τῷ Δαυίδ).

2. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη,
Ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην·

3. Οἵτε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων,
Ἐπὶ τοαυτὸ πλούσιος καὶ πένης.

4. Τὸ στόμα μου λαλήσει σοφίαν,
Καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

5. Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου,
Ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου.

6. Ἱνατί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ,
Ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με,

7. Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν,
Καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι.

8. Ἀδελφὸς ὐ λυτρῶται· λυτρώσεται ἄνθρωπος;
Οὐ δώσει τῷ Θεῷ ἐξίλασμα αὐτοῦ,

9. Καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ·
Καὶ ἐκόπασεν εἰς τὸν αἰῶνα. 10. Καὶ ἐκοπίασεν ζήσεται ※ ἔτι εἰς τέλος,
(Ὅτι) ὐκ ὄψεται καταφθοράν.

11. Ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας,
Ἐπὶ τοαυτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται,
Καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν.

12. ÷ Καὶ" οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα·
Σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν,
Ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν ÷ αὐτῶν".

13. Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν ὐ συνῆκε,
Παρασυνεβλήθη τοῖς κτήνεσι ÷ τοῖς ἀνοήτοις", καὶ ὡμοιώθη ÷ αὐτοῖς":

14. Αὕτη

v. 8. συντρίψει) συντρίψεις. ibid. Θαρσεῖς.) Θαρσίς. v. 9. ἔτως ἴδαμεν) οὕτως καὶ εἴδομεν. ibid. à fine Ed. *Rom.* addit διάψαλμα. v. 12. Σιὼν, Καὶ ἀγαλλ..) καὶ abeſt. ibid. ἕνεκεν) ἕνεκα. Pſalm. XLVIII. v. 1. Ed. *Rom.* Εἰς τὸ τέλος τοῖς υἱοῖς κορὲ ψαλμός. v. 8. λυτρῶται) λυτρᾶται. ibid. αὐτοῦ) ἑαυτοῦ.

14. Αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς.
Καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσιν. Διάψαλμα.
15. Ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο,
Θάνατος ποιμανεῖ αὐτούς·
καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωΐ,
Καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ
Ἐκ τῆς δόξης αὐτῶν (ἐξώσθησαν).
16. Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με. Διάψαλμα.
17. Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος,
Ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ·
18. Ὅτι ἐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα,
Οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ.
19. Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται·
Ἐξομολογήσεταί σοι ὅταν ἀγαθύνῃς αὐτῷ.
20. Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ·
Ἕως αἰῶνος ἐκ ὄψεται φῶς.
21. Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν ἐ συνῆκε,
Παρασυνεβλήθη τοῖς κτήνεσι ÷ τοῖς ἀνοήτοις", καὶ ὡμοιώθη ÷ αὐτοῖς".

ΨΑΛΜ. ΜΘ'. XLIX.

Δαυὶδ Εἰς τὸ τέλος), Ψαλμὸς τῷ Ἀσάφ.
Θεὸς θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν,
Ἀπὸ ἀνατολῶν ἡλίου (καὶ) μέχρι δυσμῶν.
2. Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος ÷ αὐτοῦ"
3. Ὁ Θεὸς ἐμφανῶς ἥξει,
Ὁ Θεὸς ἡμῶν, καὶ ἐ παρασιωπήσεται·
Πῦρ ἐναντίον αὐτοῦ καυθήσεται,
Καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα.
4. Προσκαλέσεται τὸν οὐρανὸν ἄνω,
Καὶ τὴν γῆν, τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ.
5. Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ,
Τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις.
6. Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ·
Ὅτι Θεὸς κριτής ἐστι. Διάψαλμα.
7. Ἄκουσον λαός μου, καὶ λαλήσω σοι·
Ἰσραὴλ, καὶ διαμαρτύρομαί σοι·
Ὁ Θεὸς ὁ Θεός σου εἰμὶ ἐγώ.
8. Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε,
Τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μου ἐστὶ διαπαντός·
9. Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόχους,
Οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους.
10. Ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ ἀγροῦ,
Κτήνη ἐν τοῖς ὄρεσι ÷ καὶ" βόες·
11. Ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ,
Καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν.
12. Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω·
Ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς.
13. Μὴ φάγωμαι κρέα ταύρων;
Ἢ αἷμα τράγων πίωμαι;

v. 14. εὐδοκήσουσιν) εὐλογήσουσιν. v. 15. κατακυριεύσουσιν) κατακυριεύσουσιν. ibid. (ἐξώσθησαν) abest. v. 16. à fine addit Ed. Rom. Διάψαλμα. v. 17. Ἢ ὅταν) καὶ ὅταν. v. 21. Καὶ ἄνθρωπος) καὶ deest. Psalm. XLIX. v. 1. (Εἰς τὸ τέλος) abest. ibid. τῷ Δαυίδ.) τῷ ἀσάφ. ib. (καὶ) abest. v. 4. τοῦ διακρῖναι) διακρῖναι. v. 10. τοῦ ἀγροῦ) τοῦ δρυμοῦ. v. 13. Φάγωμαι) Φάγομαι. ibid. πίωμαι) πίομαι.

14. Θῦσον τῷ Θεῷ ÷ θυσίαν" αἰνέσεως,
Καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σε·
15. ※ Καί" ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς (σε),
÷ Καὶ" ἐξελοῦμαί σε, καὶ δοξάσεις με. (Διάψαλμα).
16. Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός·
Ἵνατί σὺ ἐκδιηγῇ τὰ δικαιώματά με,
Καὶ ἀναλαμβάνεις τὴν διαθήκην με διὰ ἐπὶ στόματός σε;"
17. Σὺ δὲ ἐμίσησας παιδείαν,
Καὶ ἐξέβαλες τοὺς λόγους με εἰς τὰ ὀπίσω.
18. Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ,
Καὶ μετὰ μοιχῶν τὴν μερίδα σε ÷ ἐτίθεις".
19. Τὸ στόμα σε ἐπλεόνασε κακίαν,
Καὶ ἡ γλῶσσά σε περιέπλεκε δολιότητα·
20. Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σε κατελάλεις,
Καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σε ἐτίθεις σκάνδαλον.
21. Ταῦτα ἐποίησας, καὶ ἐσίγησα,
Ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος·
Ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σε.
22. Σύνετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ,
Μήποτε ἁρπάσῃ, καὶ μὴ ᾖ ὁ ῥυόμενος.
23. Θυσία αἰνέσεως δοξάσει με·
Καὶ ἐκεῖ ὁδὸς ᾗ δείξω αὐτῷ τὸ σωτήριον Θεοῦ.

ΨΑΛΜ. Ν'. L.

Εἰς τὸ τέλος, Ψαλμὸς τῷ Δαυὶδ,
2. ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην, ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεέ.
3. Ἐλέησόν με ὁ Θεὸς κατὰ ÷ τὸ μέγα" ἔλεός σε,
÷ Καὶ" κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σε ἐξάλειψον τὸ ἀνόμημά με.
4. Ἐπιπλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας με,
Καὶ ἀπὸ τῆς ἁμαρτίας με καθάρισόν με·
5. Ὅτι τὴν ἀνομίαν με ἐγὼ γινώσκω,
Καὶ ἡ ἁμαρτία με ἐνώπιόν με ἐστὶ διαπαντός.
6. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σε ἐποίησα·
Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σε, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
7. Ἰδὲ ÷ γὰρ" ἐν ἀνομίαις συνελήφθην,
Καὶ ἐν ἁμαρτίαις ἐκίσησέ με ἡ μήτης με.
8. Ἰδὲ γὰρ ἀλήθειαν ἠγάπησας·
Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας ÷ σε" ἐδήλωσάς μοι.
9. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι·
Πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
10. Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην·
Ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα.
11. Ἀπόστρεψον τὸ πρόσωπόν σε ἀπὸ τῶν ἁμαρτιῶν με,

Καὶ

v. 15. (σε) abeſt. v. 16. ἐκδιηγῇ) διηγῇ. v. 19. Καὶ ἡ γλῶσσά σε περιέπλεκε δολιότητα.) ab his verbis in MS. *Alex.* inſignis hiatus eſt, usque ad Pſalm. LXXIX. v. 11. verba: τὰς κέδρους τοῦ Θεοῦ. quem ex Ed. *Rom.* ſupplevit Clariſs. *Grabe.* Videsis *Prolegom.* Cap. I. §. 6.

Καὶ πάσας τὰς ἀνομίας μὲ ἐξάλειψον.

12. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς,
Καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μὲ.

13. Μὴ ἀποβρίψῃς με ἀπὸ τῦ προσώπυ συ,
Καὶ τὸ πνεῦμα τὸ ἅγιόν συ μὴ ἀνταναίλῃς ἀπ' ἐμῦ.

14. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τῦ σωτηρίυ συ,
Καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

15. Διδάξω ἀνόμυς τὰς ὁδάς συ,
Καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψυσι.

16. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μυ.
Ἀγαλλιάσεται ἡ γλῶσσά μυ τὴν δικαιοσύνην συ.

17. Κύριε τὰ χείλη μυ ἀνοίξεις, καὶ τὸ στόμα μυ ἀναγγελεῖ τὴν αἴνεσίν συ.

18. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· Ὁλοκαυτώματα ὐκ εὐδοκήσεις.

19. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον·
Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς ὐκ ἐξεδενώσῃ.

ἐξεδενώσει

20. Ἀγάθυνον ÷ Κύριε" ἐν τῇ εὐδοκίᾳ συ τὴν Σιών,
÷ Καὶ" οἰκοδομηθήτω τὰ τείχη Ἱερυσαλήμ·

21. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, Ἀναφορὰν καὶ ὁλοκαυτώματα·
Τότε ἀνοίσυσιν ἐπὶ τὸ θυσιαστήριόν συ μόσχυς.

ΨΑΛΜ. ΝΑ'. LI.

Εἰς τὸ τέλος, συνέσεως τῷ Δαυὶδ, 2. ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδυμαῖον καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ, καὶ εἰπεῖν αὐτῷ· ἦλθε Δαυὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ.

3. Τί ἐγκαυχᾷ ἐν κακίᾳ ÷ ὁ" δυνατὸς; Ἀνομίαν ὅλην τὴν ἡμέραν,

4. Ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά συ· Ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον.

5. Ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, Ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην. Διάψαλμα.

6. Ἠγάπησας πάντα τὰ ῥήματα καταποντισμῦ, γλῶσσαν δολίαν.

7. Διὰ τῦτο ὁ Θεὸς καθέλοι σε εἰς τέλος· Ἐκτίλαι σε καὶ μεταναστεῦσαί σε ἀπὸ σκηνώματος,
Καὶ τὸ ῥίζωμά συ ἐκ γῆς ζώντων. Διάψαλμα.

8. Καὶ ὄψονται δίκαιοι, καὶ φοβηθήσονται, Καὶ ἐπ' αὐτὸν γελάσονται, ÷ καὶ ἐροῦσιν":

9. Ἰδὺ ἄνθρωπος, ὃς ὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτῦ,
Ἀλλ' ἐπήλπισεν ἐπὶ τὸ πλῆθος τῦ πλύτυ αὐτῦ,
÷ Καὶ" ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτῦ.

10. Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τῦ Θεῦ·
Ἤλπισα ἐπὶ τὸ ἔλεος τῦ Θεῦ εἰς τὸν αἰῶνα,
Καὶ εἰς τὸν αἰῶνα ÷ τῦ αἰῶνος".

11. Ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας·

Καὶ ὑπομενῶ τὸ ὄνομά σε, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σε.

ΨΑΛΜ. ΝΒ'. LII.

ΕΙς τὸ τέλος, ὑπὲρ Μαελὲθ, συνέσεως τῷ Δαυίδ.

2. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός·

Διέφθειραν καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις,
Οὐκ ἔστι ποιῶν ἀγαθόν·

3. Ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων,
Τοῦ ἰδεῖν, εἰ ἔστι συνιῶν, ÷ ἢ" ἐκζητῶν τὸν Θεόν.

4. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν·
Οὐκ ἔστι ποιῶν ἀγαθὸν, οὐκ ἔστιν ἕως ἑνός.

5. Οὐχὶ γνώσονται ÷ πάντες" οἱ ἐργαζόμενοι τὴν ἀνομίαν,
Οἱ κατεσθίοντες τὸν λαόν με βρώσει ἄρτου;
Τὸν Θεὸν οὐκ ἐπεκαλέσαντο.

6. Ἐκεῖ ἐφοβήθησαν φόβον, οὗ οὐκ ἦν φόβος·
Ὅτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων·
Κατησχύνθησαν, ὅτι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς.

7. Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ;
Κύριον Ἐν τῷ ἀποστρέψαι τὸν Θεὸν τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ,
Ἀγαλλιάσεται Ἰακὼβ, ÷ καὶ" εὐφρανθήσεται Ἰσραήλ.

ΨΑΛΜ. ΝΓ'. LIII.

ΕΙς τὸ τέλος, ἐν ὕμνοις συνέσεως τῷ Δαυὶδ, 2. ἐν τῷ ἐλθεῖν τοὺς Ζειφαίους, καὶ εἰπεῖν τῷ Σαοὺλ· οὐκ ἰδοὺ Δαυὶδ κέκρυπται παρ' ἡμῖν;

3. Ὁ Θεὸς ἐν τῷ ὀνόματί σε σῶσόν με,
Καὶ ἐν τῇ δυνάμει σε κρῖνόν με.

4. Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου,
Ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου·

5. Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμὲ,
Καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου·
Οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν. Διάψαλμα.

6. Ἰδοὺ ÷ γὰρ" ὁ Θεὸς βοηθεῖ μοι,
÷ Καὶ" ὁ Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου·

7. Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου·
Ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς.

8. Ἑκουσίως θύσω σοι,
Ἐξομολογήσομαι τῷ ὀνόματί σου Κύριε, ὅτι ἀγαθόν·

9. Ὅτι ἐκ πάσης θλίψεως ἐρρύσω με,
Καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

ΨΑΛΜ. ΝΔ'. LIV.

ΕΙς τὸ τέλος ἐν ὕμνοις συνέσεως τῷ Δαυίδ.

2. Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου,
Καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου·

3. Πρόσχες μοι, καὶ εἰσάκουσόν μου·
Ἐλυπήθην ἐν τῇ ἀδολεχίᾳ μου, καὶ ἐταράχθην

4. Ἀπὸ φωνῆς ἐχθροῦ, ÷ καὶ" ἀπὸ θλίψεως ἁμαρτωλοῦ·

Ὅτι

Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν,
Καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.
5. Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοὶ,
Καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ·
6. Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ, καὶ
ἐκάλυψέ με σκότος.
7. Καὶ εἶπα· τίς δώσει μοι πτέρυγας
ὡσεὶ περιστερᾶς;
Καὶ πετασθήσομαι, καὶ καταπαύσω.
8. Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. ※ Διάψαλμα".
9. Προσεδεχόμην τὸν σώζοντά με
Ἀπὸ ὀλιγοψυχίας καὶ καταιγίδος.
10. Καταπόντισον, Κύριε (καὶ) καταδίελε τὰς γλώσσας αὐτῶν·
Ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει.
11. Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν
ἐπὶ τὰ τείχη αὐτῆς·
Καὶ ἀνομία καὶ πόνος ἐν μέσῳ αὐτῆς,
12. καὶ ἀδικία·
Καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος.
13. Ὅτι εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν·
Καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ.
14. Σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου,
15. Ὃς ἐπὶ τοαυτὸ ἐγλύκανας ἐδέσμαλα·
Ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ.
16. Ἐλθέτω θάναλος ἐπ' αὐτὸς, ÷ καὶ" καταβήτωσαν εἰς ᾅδου ζῶντες·
Ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν, ἐν μέσῳ αὐτῶν.
17. Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέ μου.
18. Ἑσπέρας καὶ πρωὶ καὶ μεσημβρίας διηγήσομαι, καὶ ἀπαγγελῶ,
Καὶ εἰσακούσεται τῆς φωνῆς μου.
19. Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι·
Ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί.
20. Εἰσακούσεται ὁ Θεὸς, καὶ ταπεινώσει αὐτὸς ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. Διάψαλμα.
Οὐ γάρ ἐστιν αὐτοῖς ἀνταλλαγμα, καὶ οὐκ ἐφοβήθησαν τὸν Θεόν.
21. Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι·
Ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ.
22. Διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ,
Καὶ ἤγγισεν ἡ καρδία αὐτοῦ·
Ἠπαλύνθησαν οἱ λόγοι αὐτοῦ ὑπὲρ ἔλαιον,
Καὶ αὐτοί εἰσι βολίδες.
23. Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει·
Οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ.
24. Σὺ δὲ ὁ Θεὸς καταξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς·
Ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν·
Ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σὲ ÷ Κύριε".

ΨΑΛΜ. ΝΕ'. LV.

Εἰς τὸ τέλος ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου, τῷ Δαυὶδ εἰς στηλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ.

2. Ἐλέησόν με ὁ Θεὸς, ὅτι κατεπάτησέ με ἄνθρωπος·

Ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με.
3. Κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν·
Ὅτι πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους.
4. Ἡμέρας φοβηθήσομαι, ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ.
σοί
5. Ἐν τῷ Θεῷ ἐπαινέσω τὸς λόγους μου·
Ἐπὶ τῷ Θεῷ ἤλπισα, ὐ φοβηθήσομαι τί ποιήσει μοι σάρξ.
6. Ὅλην τὴν ἡμέραν τὸς λόγους μου ἐβδελύσσοντο·
Κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν.
7. Παροικήσουσι καὶ κατακρύψουσιν·
Αὐτοὶ τὴν πτέρναν μου φυλάξουσι,
ὑπέμειναν Καθάπερ ὑπέμειναν τὴν ψυχήν μου.
τῇ ψυχῇ 8. Ὑπὲρ τοῦ μηδενὸς σώσεις αὐτούς,
Ἐν ὀργῇ λαοὺς καταάξεις, ὁ Θεός.
9. Τὴν ζωήν μου ἐξήγγειλα·
Σοὶ Σὺ ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου,
ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου.
10. Τότε ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω,
Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί ÷ σε".
Ἰδοὺ ἔγνων ὅτι Θεός μου εἶ σύ.
11. Ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα·
Ἐπὶ τῷ Κυρίῳ αἰνέσω λόγον.
12. Ἐπὶ τῷ Θεῷ ἤλπισα, ὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.
13. Ἐν ἐμοὶ ὁ Θεός αἱ εὐχαί ※ σου,
αἰνέσεώς ÷ ἃς" ἀποδώσω αἰνέσεις σοι·
σου 14. Ὅτι ἐῤῥύσω τὴν ψυχήν μου ἐκ θανάτου,
Καὶ τοὺς πόδας μου ἐξ ὀλισθήματος,
Τοῦ εὐαρεστῆσαι ἐνώπιον τοῦ Θεοῦ ἐν
Φωτὶ ζώντων.

ΨΑΛΜ. Νς'. LVI.

Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαυὶδ εἰς στηλογραφίαν, ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον.

2. Ἐλέησόν με ὁ Θεὸς, ἐλέησόν με·
Ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου,
Καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου
ἐλπιῶ,
Ἕως ὗ παρέλθῃ ἡ ἀνομία.
3. Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν ὕψιστον,
Τὸν Θεὸν τὸν εὐεργετήσαντά με.
Διάψαλμα.
4. Ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέ με,
Ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦντάς με·
Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ,
5. ÷ Καὶ ἐῤῥύσατο" τὴν ψυχήν μου ἐκ μέσου σκύμνων.
Ἐκοιμήθην τεταραγμένος·
Υἱοὶ ἀνθρώπων οἱ ὀδόντες αὐτῶν ὅπλον καὶ βέλη,
Καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα.
6. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς,
÷ Καὶ" ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.
7. Παγίδα ἡτοίμασαν τοῖς ποσί μου, Παγίδας
÷ Καὶ" κατέκαμψαν τὴν ψυχήν μου·
Ὤρυξαν πρὸ προσώπου μου βόθρον,
÷ καὶ" ἐνέπεσαν εἰς αὐτόν. Διάψαλμα.
8. Ἑτοίμη ἡ καρδία μου ὁ Θεὸς,
Ἑτοίμη ἡ καρδία μου· ᾄσομαι καὶ ψαλῶ.
9. Ἐξεγέρθητι ἡ δόξα μου,
Ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα·
Ἐξεγερθήσομαι ὄρθρου.

10. Ἐξο-

10. Ἐξομολογήσομαί σοι ἐν λαοῖς Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν·
11. Ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου,
Καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.
12. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς, ÷ Καὶ" ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

ΨΑΛΜ. ΝΖ'. LVII.

Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαυὶδ εἰς στηλογραφίαν.
2. Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε,
Εὐθεῖα κρίνετε οἱ υἱοὶ τῶν ἀνθρώπων;
3. Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ·
Ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσιν.
4. Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας,
Ἐπλανήθησαν ἀπὸ γαστρὸς, ἐλάλησαν ψεύδη.
5. Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως,
Ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς·
6. Ἥτις οὐκ εἰσακούσεται φωνὴν ἐπᾳδόντων, Φαρμάκου τε φαρμακευομένου παρὰ σοφοῦ.
7. Ὁ Θεὸς συνέτριψε τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν·
Τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ Κύριος.
8. Ἐξουδενωθήσονται ὡς ὕδωρ διαπορευόμενον·
Ἐντενεῖ τὸ τόξον αὐτοῦ, ἕως ἂν ἀσθενήσωσιν.
9. Ὡσεὶ κηρὸς ὁ τακεὶς ἀνταναιρεθήσονται·
Ἔπεσε πῦρ, καὶ οὐκ εἶδον τὸν ἥλιον.
10. Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον,
Ὡσεὶ ζῶντας ὡσεὶ ἐν ὀργῇ καταπίεται αὐτάς. ὑμᾶς
11. Εὐφρανθήσεται δίκαιος ὅταν ἴδῃ ἐκδίκησιν (ἀσεβῶν)·
Τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ.
12. Καὶ ἐρεῖ ἄνθρωπος· εἰ ἄρα ἐστὶ καρπὸς τῷ δικαίῳ,
Ἄρα ἐστὶν ὁ Θεὸς κρίνων ÷ αὐτὸς" ἐν τῇ γῇ.

ΨΑΛΜ. ΝΗ'. LVIII.

Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαυὶδ εἰς στηλογραφίαν, ὁπότε ἀπέστειλε Σαοὺλ, καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ, τοῦ θανατῶσαι αὐτόν.
2. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ Θεὸς,
Καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με·
3. Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν,
Καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με.
4. Ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου,
Ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί·
Οὔτε ἡ ἀνομία μου, οὔτε ἡ ἁμαρτία μου, Κύριε.
5. Ἄνευ ἀνομίας ἔδραμον καὶ κατεύθυναν· καὶ εὐθύνα
Ἐξεγέρθητι εἰς συνάντησίν μου, καὶ ἴδε.
6. Καὶ σὺ Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ Θεὸς τοῦ Ἰσραὴλ,
Πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη·
Μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. Διάψαλμα.

7. Ἐπι-

7. Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν.
8. Ἰδοὺ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν,
÷ Καὶ" ῥομφαῖα ἐν τοῖς χείλεσιν αὐτῶν· ὅτι τίς ἤκουσε;
9. Καὶ σὺ Κύριε ἐκγελάσῃ αὐτούς, Ἐξουδενώσεις πάντα τὰ ἔθνη.
10. Τὸ κράτος μου πρὸς σὲ φυλάξω· Ὅτι σὺ ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ.
11. Ὁ Θεός μου τὸ ἔλεος αὐτοῦ προφθάσει με·
Ὁ Θεός μου δείξει μοι ἐν τοῖς ἐχθροῖς μου.
12. Μὴ ἀποκτείνῃς αὐτούς, μήποτε ἐπιλάθωνται τοῦ λαοῦ μου.
νόμε σε
Διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου,
Καὶ κατάγαγε αὐτούς, ὁ ὑπερασπιστής μου Κύριε,
13. Ἁμαρτίαν στόματος αὐτῶν, λόγον χειλέων αὐτῶν·
Καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν,
Καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται 14. ἐν συντελείᾳ,
συντέλειαι
Ἐν ὀργῇ συντελείας, καὶ οὐκ ἔσονται·
Καὶ γνώσονται ὅτι ὁ Θεὸς τοῦ Ἰακὼβ δεσπόζει τῶν περάτων τῆς γῆς. Διάψαλμα.
15. Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν·
16. Αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν· ἐὰν δὲ μὴ χορτασθῶσι, καὶ γογγύσουσιν.
17. Ἐγὼ δὲ ᾄσομαι τὴν δύναμίν σου, τῇ δυνάμει
Καὶ ἀγαλλιάσομαι τοπρωὶ τὸ ἔλεός σου·
Ὅτι ἐγενήθης ἀντιλήπτωρ μου,
Καὶ καταφυγή μου ἐν ἡμέρᾳ θλίψεώς μου.
18. Βοηθός μου σοὶ ψαλῶ·
Ὅτι ὁ Θεός (μου) ἀντιλήπτωρ μου εἶ,
Ὁ Θεός μου τὸ ἔλεός μου.

ΨΑΛΜ. ΝΘ'. LIX.

Εἰς τὸ τέλος, τοῖς ἀλλοιωθησομένοις ἔτι, εἰς στηλογραφίαν τῷ Δαυὶδ εἰς διδαχὴν, 2. ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν
Συρίας καὶ τὴν Συρίαν Σοβὰλ, καὶ ἐπέστρεψεν Ἰωὰβ, καὶ ἐπάταξε τὸν Ἐδὼμ ἐν τῇ φάραγγι τῶν ἁλῶν δώ- τὴν φάραγγα
δεκα χιλιάδας.
3. Ὁ Θεὸς ἀπώσω ἡμᾶς, ÷ καὶ" καθεῖλες ἡμᾶς,
Ὠργίσθης, ÷ καὶ" ὠκλείρησας ἡμᾶς.
4. Συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν·
Ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη.
5. Ἐδείξας τῷ λαῷ σου σκληρά·
Ἐπότισας ἡμᾶς οἶνον κατανύξεως.
6. Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν,
Τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου. Διάψαλμα.
7. Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου,
Σῶσον τῇ δεξιᾷ σου, καὶ ἐπάκουσόν μου.
8. Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ·
Ἀγαλλιάσομαι ÷ καὶ" διαμεριῶ Σίκιμα,
Καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.

9. Ἐμός

9. Ἐμός ἐστι Γαλαάδ, καὶ ἐμός ÷ ἐστὶ Μανασσῆ,
Καὶ Ἐφραὶμ κραταίωσις τῆς κεφαλῆς μου·
Ἰούδας βασιλεύς μου.
10. Μωαὰβ λέβης τῆς ἐλπίδος μου·
Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου·
Ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.
11. Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς;
Τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας.
12. Οὐχὶ σὺ ὁ Θεὸς ὁ ἀπωσάμενος ἡμᾶς;
Καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν;
13. Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως·
Καὶ ματαία σωτηρία ἀνθρώπου.
14. Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν·
Καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.

ΨΑΛΜ. Ξ'. LX.

Εἰς τὸ τέλος, ἐν ὕμνοις τῷ Δαυίδ.
2. Εἰσάκουσον ὁ Θεὸς τῆς δεήσεώς μου,
Πρόσχες τῇ προσευχῇ μου·
3. Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα, ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου.
Ἐν πέτρᾳ ὕψωσάς με·
Ὡδήγησάς με, 4. ὅτι ἐγενήθης ἐλπίς μου,
Πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ.
5. Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας·
Σκεπασθήσομαι ἐν σκέπῃ τῶν πτερύγων σου. Διάψαλμα.
προσευχῶν 6. Ὅτι σὺ ὁ Θεὸς εἰσήκουσας τῶν εὐχῶν μου·
Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου.
7. Ἡμέρας ἐφ' ἡμέρας βασιλέως προθήσεις·
Τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς.
8. Διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεοῦ·
Ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει αὐτῶν;
9. Οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς τὸν αἰῶνα ÷ τοῦ αἰῶνος",
Τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας.

ΨΑΛΜ. ΞΑ'. LXI.

Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθὰν, Ψαλμὸς τῷ Δαυίδ.
2. Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου;
Παρ' αὐτοῦ γὰρ τὸ σωτήριόν μου.
3. Καὶ γὰρ αὐτὸς Θεός μου καὶ σωτήρ μου,
Ἀντιλήπτωρ μου· ὃ μὴ σαλευθῶ ἐπὶ πλεῖον.
4. Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον;
Φονεύετε πάντες ὑμεῖς,
Ὡς τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὠσμένῳ.
5. Πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι·
Ἐθέλουσιν ἐν δίψει·
Τῷ στόματι αὐτῶν εὐλόγουν, καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο. Διάψαλμα.
6. Πλὴν τῷ Θεῷ ὑποτάγηθι ἡ ψυχή μου·
Ὅτι παρ' αὐτοῦ ἡ ὑπομονή μου.
7. Ὅτι αὐτὸς Θεός μου καὶ σωτήρ μου,
Ἀντιλήπτωρ μου· ὃ μὴ μεταναστεύσω.

8. Ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν με καὶ ἡ δόξα με.
Ὁ Θεὸς τῆς βοηθείας με, καὶ ἡ ἐλπὶς με ἐπὶ τῷ Θεῷ.
9. Ἐλπίσατε ἐπ' αὐτὸν πᾶσα συναγωγὴ λαοῦ·
Ἐκχέετε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν·
Ὅτι ὁ Θεὸς βοηθὸς ἡμῶν. Διάψαλμα.
10. Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων·
Ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι·
Αὐτοὶ ἐκ ματαιότητος ἐπιτοαυτό.
11. Μὴ ἐλπίζετε ἐπ' ἀδικίαν,
ἁρπάγ- Καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε·
ματα Πλοῦτος ἐὰν ῥέῃ, μὴ προσίθεσθε καρδίαν.
12. Ἅπαξ ἐλάλησεν ὁ Θεὸς, δύο ταῦτα ἤκουσα·
Ὅτι τὸ κράτος τοῦ Θεοῦ,
σοῦ 13. Καὶ σοὶ Κύριε τὸ ἔλεος·
Ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

ΨΑΛΜ. ΞΒ'. LXII.

Ἰδουμαίας Ψαλμὸς τῷ Δαυὶδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰδουμαίας.
2. Ὁ Θεὸς ὁ Θεός μου πρὸς σὲ ὀρθρίζω·
Ἐδίψησέ σοι ἡ ψυχή μου,
Ποσαπλῶς σοι ἡ σάρξ μου,
Ἐν ※ γῇ" ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.
3. Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι,
Τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.
4. Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς·
Τὰ χείλη μου ἐπαινέσουσί σε.
5. Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου·
Ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.
6. Ὡσεὶ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου·
Καὶ χείλει ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου. χείλη ὀνόματί σου
7. Εἰ ἐμνημονεύον σου ἐπὶ τῆς στρωμνῆς μου,
Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ·
8. Ὅτι ἐγενήθης βοηθός μου,
Καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
9. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου·
Ἐμοῦ ἀντελάβετο ἡ δεξιά σου.
10. Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου·
Εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς·
11. Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας·
Μερίδες ἀλωπέκων ἔσονται.
12. Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ·
Ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ,
Ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

ΨΑΛΜ. ΞΓ'. LXIII.

Εἰς τὸ τέλος, Ψαλμὸς τῷ Δαυίδ.
2. Εἰσάκουσον ὁ Θεὸς τῆς προσευχῆς μου, ἐν τῷ δεήσθαί με (πρὸς σέ)·
Ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.
3. Ἐσκέπασάς με ἀπὸ συστροφῆς πονηρευομένων,
Ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν·
4. Οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν,
Ἐνέτειναν τόξον αὐτῶν, πρᾶγμα πικρὸν,
5. Τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον·

Ἐξά-

Ἐξάπινα κατατοξεύσουσιν αὐτὸν, καὶ
οὐ φοβηθήσονται.
6. Ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν·
Διηγήσαντο τοῦ κρύψαι παγίδας,
Εἶπαν· τίς ὄψεται αὐτάς;
7. Ἐξηρεύνησαν ἀνομίαν·
Ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσει·
Προσελεύσεται ἄνθρωπος καὶ καρδία
βαθεῖα,
8. Καὶ ὑψωθήσεται ὁ Θεός.
Βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ
αὐτῶν,
ἐξουθένησαν αὐτὸν 9. Καὶ ἐξηυθένησαν ἐπ' αὐτὰς αἱ γλῶσσαι
αὐτῶν.
Ἐταράχθησαν πάντες οἱ θεωροῦντες
αὐτὰς,
10. Καὶ ἐφοβήθη πᾶς ἄνθρωπος·
Καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ Θεοῦ,
Καὶ τὰ ποιήματα αὐτοῦ συνῆκαν.
11. Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ,
Καὶ ἐλπιεῖ ἐπ' αὐτόν·
Καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς
τῇ καρδίᾳ.

ΨΑΛΜ. ΞΔ'. LXIV.

Εἰς τὸ τέλος, Ψαλμὸς τῷ Δαυὶδ
※ ᾠδή.
2. Σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιὼν,
Καὶ σοὶ ἀποδοθήσεται εὐχή.
3. Εἰσάκουσον προσευχῆς ÷ μου· πρὸς
σὲ πᾶσα σὰρξ ἥξει.
ἀνόμων 4. Λόγοι ἀνομιῶν ὑπερεδυνάμωσαν ἡμᾶς·
τὰς ἀσε- Καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ.
βείας 5. Μακάριος ὃν ἐξελέξω καὶ προσελάβου,
Κατασκηνώσει ÷ ἐν" ταῖς αὐλαῖς σου·
Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ
οἴκου σου·
Ἅγιος ὁ ναός σου, 6. θαυμαστὸς ἐν
δικαιοσύνῃ.
Ἐπάκουσον ἡμῶν ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν,
Ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς
γῆς,
Καὶ τῶν ἐν θαλάσσῃ μακράν·
7. Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύι σου,
Περιεζωσμένος ἐν δυνάμει·
8. Ὁ συνταράσσων τὸ κῦτος τῆς θα-
λάσσης,
Ἦχος κυμάτων αὐτῆς.
Ταραχθήσονται τὰ ἔθνη, 9. καὶ φο-
βηθήσονται.
Οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν
σημείων σου·
Ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις·
10. Ἐπεσκέψω τὴν γῆν καὶ ἐμέθυσας
αὐτὴν,
Ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν·
Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδά-
των·
Ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι
οὕτως ἡ ἑτοιμασία.
11. Τὰς αὐλακας αὐτῆς μέθυσον, Τὰς
Πλήθυνον τὰ γενήματα αὐτῆς·
Ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσε-
ται ἀνατέλλουσα.
12. Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ
τῆς χρηστότητός σου,
Καὶ τὰ πεδία σου πλησθήσονται πιό-
τητος·
13. Πιανθήσεται τὰ ὡραῖα τῆς ἐρήμου, ὄρη
Καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώ-
σονται.
14. Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων,
Καὶ αἱ κοιλάδες πλησθήσονται σίτου·
Κεκράξονται, καὶ γὰρ ὑμνήσουσιν.

ΨΑΛΜ. ΞΕ'. LXV.

Εἰς τὸ τέλος, ᾠδὴ Ψαλμῷ ÷ ἀναστάσεως".
Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ.
2. Ψάλατε (δὴ) τῷ ὀνόματι αὐτοῦ,
Δότε δόξαν αἰνέσει αὐτοῦ.
3. Εἴπατε τῷ Θεῷ· ὡς φοβεραὶ τὰ ἔργα σου;
Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.
4. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι·
Ψαλάτωσαν τῷ ὀνόματί σου. Διάψαλμα.
5. Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ,
Φοβερὸς ÷ ἐν" βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων.
6. ÷ Ὃ" μετατρέφων τὴν θάλασσαν εἰς ξηράν,
Ἐν ποταμῷ διελεύσονται ποδί·
Ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ.
7. Τῷ δεσπόζοντι ἐν τῇ δυνάμει αὐτοῦ τοῦ αἰῶνος·
Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν·
Οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς. Διάψαλμα.
8. Εὐλογεῖτε ἔθνη τὸν Θεὸν ἡμῶν,
Καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ·
9. Τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωήν,
Καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου.
10. Ὅτι ἐδοκίμασας ἡμᾶς ὁ Θεὸς,
Ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον.
11. Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα·
Ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν.
12. Ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν·
Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος,
Καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.
13. Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν·
Ἀποδώσω σοι τὰς εὐχάς μου, 14. ἃς διέστειλε τὰ χείλη μου,
Καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου·
15. Ὁλοκαυτώματα μεμυελωμένα ἀνοίσω σοι,
Μετὰ θυμιάματος (καὶ) κριῶν·
Ἀνοίσω ÷ σοι" βόας μετὰ χιμάρων. Διάψαλμα,
16. Δεῦτε ἀκούσατε, καὶ διηγήσομαι,
Πάντες οἱ φοβούμενοι τὸν Θεὸν,
Ὅσα ἐποίησε τῇ ψυχῇ μου.
17. Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα,
Καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου.
18. Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου;
μὴ εἰσακούσατο Κύριος·
19. Διὰ τοῦτο εἰσήκουσέ (μου) ὁ Θεὸς,
Προσέχε τῇ φωνῇ τῆς δεήσεώς μου. προσευχῆς
20. Εὐλογητὸς ὁ Θεὸς, ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου
Καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ.

ΨΑΛΜ. Ξς'. LXVI.

Εἰς τὸ τέλος ἐν ὕμνοις", Ψαλμὸς ᾠδῆς ÷ τῷ Δαυίδ".
2. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς·
Ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς. Διάψαλμα.
3. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου,

Ἐν

Ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σε.
4. Ἐξομολογησάθωσάν σοι λαοὶ ὁ Θεός·
Ἐξομολογησάθωσάν σοι λαοὶ πάντες.
5. Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη·
Ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι,
Καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις. Διάψαλμα.
6. Ἐξομολογησάθωσάν σοι λαοὶ ὁ Θεός·
Ἐξομολογησάθωσάν σοι λαοὶ πάντες.
7. Γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς·
Εὐλογήσαι ἡμᾶς ὁ Θεὸς ὁ Θεὸς ἡμῶν,
8. Εὐλογῆσαι ἡμᾶς ὁ Θεός·
Καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

ΨΑΛΜ. ΞΖ'. LXVII.

Εἰς τὸ τέλος, τῷ Δαυὶδ Ψαλμὸς ᾠδῆς.
2. Ἀναστήτω ὁ Θεὸς, ÷ καὶ" διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ,
÷ Καὶ" φυγέτωσαν οἱ μισοῦντες αὐτὸν ἀπὸ προσώπου αὐτοῦ.
3. Ὡς ἐκλείπει καπνὸς, ἐκλιπέτωσαν·
Ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς,
÷ Οὕτως" ἀπόλοιντο οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ.
4. Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν·
Ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ,
Καὶ τερφθήτωσαν ἐν εὐφροσύνῃ.
5. Ἄσατε τῷ Θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ·
Ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος ὄνομα αὐτῷ·
Καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ.
6. ÷ Ταραχθήσονται ἀπὸ προσώπου αὐτοῦ",
Τοῦ πατρὸς τῶν ὀρφανῶν, καὶ κριτοῦ τῶν χηρῶν·
Ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ.
7. Ὁ Θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ,
Ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ,
Ὁμοίως τοὺς παραπικραίνοντας τοὺς κατοικοῦντας ἐν τάφοις.
8. Ὁ Θεὸς ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου,
Ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ· Διάψαλμα. τὸν ἔρημον
9. Γῆ ἐσείσθη, καὶ ÷ γὰρ" οἱ οὐρανοὶ ἔσταξαν
Ἀπὸ προσώπου τοῦ Θεοῦ, τοῦτο Σιναΐ,
※ Ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ".
10. Βροχὴν ἑκούσιον ἀφορίσεις ὁ Θεὸς τῇ κληρονομίᾳ σου·
Καὶ ἠσθένησε, σὺ ÷ δὲ" κατηρτίσω αὐτήν.
11. Τὰ ζῶά σου κατοικοῦσιν ἐν αὐτῇ·
Ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ ὁ Θεός.
12. Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ,
13. Ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ ※ τοῦ ἀγαπητοῦ",
Καὶ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα.
14. Ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων,
Πτέρυγες περιστερᾶς περιηργυρωμέναι,
Καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου.
15. Ἐν τῷ διασκέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς,
Χιονωθήσονται ἐν Σελμών.
16. Ὄρος τοῦ Θεοῦ ὄρος πῖον·

Ὄρος τετυρωμένον, ὄρος πίον.

17. Ἱνατί ὑπολαμβάνετε ὄρη τετυρωμένα;
Τὸ ὄρος ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ·
Καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος.

18. Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων·
Κύριος ἐν αὐτοῖς ἐν Σινὰ ἐν τῷ ἁγίῳ.

19. Ἀναβὰς εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν·
Ἔλαβες δόματα ἐν ἀνθρώποις,
ἀνθρώπῳ, Καὶ γὰρ ἀπειθοῦντες, τοῦ κατασκηνῶσαι.

20. Κύριος ὁ Θεὸς εὐλογητὸς,
Εὐλογητὸς (Κύριος) ἡμέραν καθ' ἡμέραν·
(Καὶ) κατευοδώσει ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν. Διάψαλμα.

21. Ὁ Θεὸς ἡμῶν ὁ Θεὸς τοῦ σώζειν·
Καὶ τοῦ Κυρίου ※ κυρίᾳ αἱ διέξοδοι τοῦ θανάτου.

22. Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ,
Κορυφὴν θριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν.

23. Εἶπε Κύριος· ἐκ Βασὰν ἐπιστρέψω,
Ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης·

24. Ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι,
Ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ.

25. Ἐθεωρήθησαν αἱ πορεῖαί σου ὁ Θεὸς,
Αἱ πορεῖαι τοῦ Θεοῦ μου τοῦ βασιλέως μου ÷ τοῦ" ἐν τῷ ἁγίῳ·

26. Προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων,
Ἐν μέσῳ νεανίδων τυμπανιστριῶν.

27. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν,
Τὸν κύριον ἐκ πηγῶν Ἰσραήλ.

28. Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει,
Ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν,
Ἄρχοντες Ζαβουλὼν, ἄρχοντες Νεφθαλί.

29. Ἔντειλαι ὁ Θεὸς τῇ δυνάμει σου·
Δυνάμωσον ὁ Θεὸς τοῦτο, ὃ κατηρτίσω ἐν ἡμῖν.

30. Ἀπὸ τοῦ ναοῦ σου ἐπὶ Ἰερουσαλὴμ
Σοὶ οἴσουσι βασιλεῖς δῶρα.

31. Ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου·
Ἡ συναγωγὴ τῶν ταύρων ἐν τοῖς δαμάλεσι τῶν λαῶν,
÷ Τοῦ" μὴ ἀποκλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ·
Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα.

32. Ἥξουσι πρέσβεις ἐξ Αἰγύπτου·
Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ.

33. Αἱ βασιλεῖαι τῆς γῆς ᾄσατε τῷ Θεῷ,
Ψάλατε τῷ κυρίῳ. Διάψαλμα.

34. ÷ ψάλατε τῷ Θεῷ", τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς·
Ἰδοὺ δώσει ἐν τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως.

35. Δότε δόξαν τῷ Θεῷ·
Ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ,
Καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις.

36. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ὁσίοις αὐτοῦ·
Ὁ Θεὸς Ἰσραὴλ αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ ÷ αὐτοῦ".
Εὐλογητὸς ὁ Θεός.

ΨΑΛΜ. ΞΗ'. LXVIII.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων τῷ Δαυίδ.

2. Σῶσόν με ὁ Θεὸς, ὅτι εἰσῆλθοσαν ὕδατα ἕως ψυχῆς μου.

3. Ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις·
Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με.

4. Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου·
Ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου.

5. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν·
Ἐκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως·
ἃ οὐκ ἥρπασα, τότε ἀπετίννυον.

6. Ὁ Θεὸς σὺ ἔγνως τὴν ἀφροσύνην μου,
Καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἐκρύβησαν.

7. Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε κύριε, Κύριε τῶν δυνάμεων·
Μὴ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε ὁ Θεὸς τοῦ Ἰσραήλ.

8. Ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμόν,
Ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου·

9. Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου,
Καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου·

10. Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με,
Καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ.

συνέκαμψα 11. Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου.
Καὶ ἐγενήθη εἰς ὀνειδισμούς ἐμοί·

12. Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον,
Καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν.

13. Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλῃ,
Καὶ ÷ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες τὸν οἶνον.

14. Ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σὲ Κύριε·
Καιρὸς εὐδοκίας, ὁ Θεός·
Ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου,
Ἐν ἀληθείᾳ τῆς σωτηρίας σου.

15. Σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ·
Ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων. τοῦ βάθους

16. Μή με καταποντισάτω καταιγὶς ὕδατος,
Μηδὲ καταπιέτω με βυθὸς,
Μηδὲ συνεχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.

17. Εἰσάκουσόν μου Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου·
Κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ.

18. Καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου·
Ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου.

19. Πρόσχες τῇ ψυχῇ μου, ÷ καὶ λύτρωσαι αὐτήν·
Ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με.

20. Σὺ (γὰρ) γινώσκεις τὸν ὀνειδισμόν μου, καὶ τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου·
Ἐναντίον σου πάντες οἱ θλίβοντές με.

21. Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν·

Καὶ

Καὶ ὑπέμεινα συλλυπέμενον, καὶ οὐκ ὑπῆρξε,

παρακαλέσαντας Καὶ παρακαλέσαντας, καὶ οὐχ εὗρον.

22. Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν,
Καὶ εἰς τὴν δίψαν μου ἐπότισαν με ὄξος.

23. Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα,
Καὶ εἰς ἀνταπόδοσιν, καὶ εἰς σκάνδαλον·

24. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν,
Καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον.

25. Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου,
Καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς.

26. Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη,
÷ Καὶ" ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ÷ ὁ" κατοικῶν·

27. Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν,

τραυμάτων μου Καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυματιῶν σου προσέθηκαν.

28. Πρόσθες ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν,
Καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου·

29. Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων,
Καὶ μετὰ δικαίων μὴ γραφήτωσαν.

30. Πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ·
(Καὶ) ἡ σωτηρία (τοῦ πρόσωπόν) σου ὁ Θεὸς ἀντιλάβοιτό μου.

ἀντελάβετο

31. Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς,
Καὶ μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει·

32. Καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον,
Κέρατα ἐκφέροντα καὶ ὁπλάς.

33. Ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν·
Ἐκζητήσατε τὸν Θεὸν, καὶ ζήσεται ἡ ζήσεσθε ψυχὴ ὑμῶν.

34. Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ Κύριος,
Καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν.

35. Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ,
Θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτοῖς.

36. Ὅτι ὁ Θεὸς σώσει τὴν Σιών,
Καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας,
Καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτήν·

37. Καὶ τὸ σπέρμα τῶν δούλων αὐτοῦ κατάξουσιν αὐτήν,
Καὶ οἱ ἀγαπῶντες τὸ ὄνομα αὐτοῦ κατασκηνώσουσιν ἐν αὐτῇ.

ΨΑΛΜ. ΞΘ'. LXIX.

Εἰς τὸ τέλος, τῷ Δαυὶδ εἰς ἀνάμνησιν, ÷ εἰς τὸ σῶσαί με Κύριον".

2. Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου ÷ πρόσχες"·
※ Κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.

3. Αἰσχυνθείησαν καὶ ἐντραπείησαν οἱ ζητοῦντες τὴν ψυχήν μου.
Ἀποστραφείησαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθείησαν οἱ βουλόμενοί μοι κακά·

4. Ἀποστραφείησαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές ÷ μοι", εὖγε εὖγε.

5. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε·

Καὶ

Καὶ λεγέτωσαν διαπαντὸς, μεγαλυνθήτω ὁ Θεὸς,
Οἱ ἀγαπῶντες τὸ σωτήριόν σε.

6. Ἐγὼ δὲ πτωχὸς καὶ πένης,
Ὁ Θεὸς βοήθησόν μοι·
Βοηθός με καὶ ῥύστης με ÷ εἶ" σὺ,
Κύριε μὴ χρονίσῃς.

ΨΑΛΜ. Ο'. LXX.

÷ ÷ Τῷ Δαυὶδ, υἱῶν Ἰωναδὰβ καὶ τῶν πρώτων αἰχμαλωτισθέντων".

Ἐπὶ σοὶ Κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.

2. Ἐν τῇ δικαιοσύνῃ σε ῥῦσαί με, καὶ ἐξελοῦ με·
Κλῖνον πρὸς μὲ τὸ οὖς σε, καὶ σῶσόν με.

3. Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν,
Καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με·
Ὅτι πετρέωμά με καὶ καταφυγή με εἶ σύ.

4. Ὁ Θεός με ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ,
Ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος·

5. Ὅτι σὺ εἶ ἡ ὑπομονή με Κύριε,
Κύριε ἡ ἐλπίς με ἐκ νεότητός με.

6. Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρὸς,
Ἐκ κοιλίας μητρός με σύ με εἶ σκεπαστής·
Ἐν σοὶ ἡ ὕμνησίς με διαπαντός.

7. Ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς·
Καὶ σὺ βοηθὸς κραταιός.

8. Πληρωθήτω τὸ στόμα με αἰνέσεως,
÷ Ὅπως ὑμνήσω τὴν δόξαν" σε,
Ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σε.

9. Μὴ ἀποῤῥίψῃς με εἰς καιρὸν γήρως·
Ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν με, μὴ ἐγκαταλίπῃς με.

10. Ὅτι εἶπαν οἱ ἐχθροί με ἐμοὶ,
Καὶ οἱ φυλάσσοντες τὴν ψυχήν με ἐβουλεύσαντο ἐπὶ τὸ αὐτό,

11. Λέγοντες· ὁ Θεὸς ἐγκατέλιπεν αὐτὸν,
Καταδιώξατε καὶ καταλάβετε αὐτὸν,
Ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος.

12. Ὁ Θεὸς μὴ μακρύνῃς ἀπ' ἐμοῦ·
Ὁ Θεός με εἰς τὴν βοήθειάν με πρόσχες.

13. Αἰσχυνθήτωσαν ÷ καὶ" ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν με·
Περιβαλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι.

14. Ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ.
Καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σε·

15. Τὸ στόμα με ἐξαγγελεῖ τὴν δικαιοσύνην σε,
Ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σε,
Ὅτι οὐκ ἔγνων γραμματείας. πραγματείας

16. Εἰσελεύσομαι ἐν δυναστείᾳ Κυρίε·
Κύριε μνησθήσομαι τῆς δικαιοσύνης σε μόνε.

17. Ἐδίδαξάς με ὁ Θεὸς ἐκ νεότητός με,
Καὶ μέχρι νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σε·

18. Καὶ ἕως γήρως καὶ πρεσβείε ὁ Θεὸς μὴ ἐγκαταλίπῃς με,
Ἕως ἂν ἀπαγγείλω τὸν βραχίονά σε, πάσῃ τῇ γενεᾷ τῇ ἐρχομένῃ
Τὴν δυναστείαν σε 19. καὶ τὴν δικαιοσύνην σε,
Ὁ Θεὸς, ἕως ὑψίστων, ἃ ἐποίησας μεγαλεῖα.
Ὁ Θεὸς τίς ὅμοιός σοι;

20. Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακάς;
÷ Καὶ ἐπιστρέψας ἐζωοποίησάς με,
Καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.

δικαιοσύνην σε 21. Ἐπλεόνασας τὴν μεγαλωσύνην με,
Καὶ ἐπιστρέψας παρεκάλεσάς με,
(Καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με).

22. Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν σκεύει ψαλμοῦ τὴν ἀλήθειάν σε ὁ Θεὸς,
Ψαλῶ σοι ἐν κιθάρᾳ ὁ ἅγιος τοῦ Ἰσραήλ.

23. Ἀγαλλιάσονται τὰ χείλη μου ὅταν ψάλω σοι,
Καὶ ἡ ψυχή μου ἣν ἐλυτρώσω.

24. Ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου,
Ὅταν αἰσχυνθῶσι καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι.

ΨΑΛΜ. ΟΑ'. LXXI.

Εἰς Σαλωμών.
Ὁ Θεὸς τὸ κρῖμά σου τῷ βασιλεῖ δὸς,
Καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως·

2. Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ,
Καὶ τοὺς πτωχούς σου ἐν κρίσει.

3. Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ (σου) καὶ οἱ βουνοί.

4. Ἐν δικαιοσύνῃ κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ,
÷ Καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων,
Καὶ ταπεινώσει συκοφάντην.

5. Καὶ συμπαραμενεῖ τῷ ἡλίῳ.
Καὶ πρὸ τῆς σελήνης γενεᾶς γενεῶν.

6. Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον,
÷ Καὶ ὡσεὶ σταγόνες στάζουσαι ἐπὶ τὴν γῆν.

7. Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη
Καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη.

8. Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης,
Καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης.

9. Ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες,
Καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι.

10. Βασιλεῖς Θαρσὶς καὶ αἱ νῆσοι δῶρα προσοίσουσι,
Βασιλεῖς Ἀράβων καὶ Σαβὰ δῶρα προσάξουσι·

11. Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς,
Πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ.

12. Ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου,
Καὶ πένητα ᾧ οὐκ ὑπῆρχε βοηθός·

13. Φείσεται πτωχοῦ καὶ πένητος,
Καὶ ψυχὰς πενήτων σώσει·

14. Ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν,
Καὶ ἔντιμον τὸ ὄνομα αὐτῶν ἐνώπιον αὐτοῦ.

15. Καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας·
Καὶ προσεύξονται περὶ αὐτοῦ διαπαντὸς,
Ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν.

16. Ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ' ἄκρων τῶν ὀρέων,

Ὑπε-

Ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ·
Καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.
17. Ἔστω τὸ ὄνομα αὐτοῦ ÷ εὐλογημένον" εἰς τοὺς αἰῶνας,
Πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ·
Καὶ εὐλογηθήσονται ἐν αὐτῷ ÷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς",
Πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν.
18. Εὐλογητὸς Κύριος ὁ Θεὸς, ὁ Θεὸς τοῦ Ἰσραὴλ,
Ὁ ποιῶν θαυμάσια μόνος,
19. Καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης αὐτοῦ
Εἰς τὸν αἰῶνα (καὶ εἰς αἰῶνα τοῦ αἰῶνος)·
Καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ· γένοιτο, γένοιτο.
Ἐξέλιπον οἱ ὕμνοι Δαυὶδ, τοῦ υἱοῦ Ἰεσσαί.

ΨΑΛΜ. ΟΒ'. LXXII.

ΨΑλμὸς τῷ Ἀσάφ.
Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραὴλ, τοῖς εὐθέσι καρδίᾳ.
2. Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες·
Παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου.
3. Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις,
Εἰρήνην ἁμαρτωλῶν θεωρῶν·
4. Ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν,
Καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν·
5. Ἐν κόποις ἀνθρώπων οὐκ εἰσὶ,
Καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται.
6. Διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία·
Περιεβάλοντο ἀδικίαν καὶ ἀσέβειαν αὐτῶν,
7. Ἐξελεύσεται ÷ ὡς" ἐκ στέατος ἡ ἀδικία αὐτῶν· Ἐξελεύσεται
Διῆλθον εἰς διάθεσιν καρδίας.
8. Διενοήθησαν καὶ ἐλάλησαν ἐν πονηρίᾳ.
Ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν·
9. Ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν,
Καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς.
10. Διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα·
Καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς,
11. Καὶ εἶπαν· πῶς ἔγνω ὁ Θεός;
Καὶ εἰ ἔστι γνῶσις ἐν τῷ ὑψίστῳ;
12. Ἰδοὺ ἔτοι οἱ ἁμαρτωλοὶ καὶ εὐθηνοῦντες
Εἰς τὸν αἰῶνα, κατέσχον πλοῦτον.
13. ÷ Καὶ εἶπα"· ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου,
Καὶ ἐνιψάμην ἐν ἀθώοις τὰς χεῖράς μου·
14. Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν,
Καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωΐας.
15. Εἰ ἔλεγον, διηγήσομαι οὕτως·
Ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκα.
16. Καὶ ὑπέλαβον τοῦ γνῶναι·
Τοῦτο κόπος ἐστὶν ἐναντίον μου,
17. Ἕως εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ·
Συνῶ εἰς τὰ ἔσχατα αὐτῶν.
18. Πλὴν διὰ τὰς δολιότητας ἔθου αὐτοῖς.
Κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι.
19. Πῶς ἐγένοντο εἰς ἐρήμωσιν;

Ἐξάπινα ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν.
20. Ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου,
Κύριε ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.
ηὐφράνθη 21. Ὅτι ἐξεκαύθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν·
22. Κἀγὼ ἐξουδενωμένος, καὶ οὐκ ἔγνων,
Κτηνώδης ἐγενόμην παρὰ σοί.
23. Κἀγὼ διαπαντὸς μετὰ σοῦ,
Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου·
24. Ἐν τῇ βουλῇ σου ὡδήγησάς με,
Καὶ μετὰ δόξης προσελάβου με.
25. Τί ÷ γάρ" μοι ὑπάρχει ἐν τῷ οὐρανῷ;
Καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς;
26. Ἐξέλιπεν ἡ καρδία μου καὶ ἡ σάρξ μου·
Ὁ Θεὸς τῆς καρδίας μου, καὶ ἡ μερίς μου ὁ Θεὸς εἰς τὸν αἰῶνα.
27. Ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται·
Ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ.
28. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι,
Τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου,
πάσας τὰς αἰνέσεις Τοῦ ἐξαγγεῖλαι πάντα τὰ ἀπαγγέλματα σου,
÷ Ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών".

ΨΑΛΜ. ΟΓ'. LXXIII.

Συνέσεως τῷ Ἀσάφ.
Ἱνατί ἀπώσω ὁ Θεὸς εἰς τέλος;
Ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;
2. Μνήσθητι τῆς συναγωγῆς σου ἧς ἐκτήσω ἀπ' ἀρχῆς·
Ἐλυτρώσω ῥάβδον κληρονομίας σου,
Ὄρος Σιὼν τοῦτο ὃ κατεσκήνωσας ἐν αὐτῷ.
3. Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος,
Ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ (σου). τοῖς ἁγίοις
4. ÷ Καὶ" ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου·
Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα, 5. ÷ καὶ οὐκ" ἔγνωσαν,
Ὡς εἰς τὴν ἔξοδον ὑπεράνω. εἴσοδον
÷ Ὡς" ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν 6. τὰς θύρας αὐτῆς ἐπιτοαυτό·
Ἐν πελέκει καὶ λαξευτηρίῳ κατέβαλον ÷ αὐτήν".
7. Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου·
Εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου.
8. Εἶπαν ἐν τῇ καρδίᾳ αὐτῶν ἡ συγγένεια αὐτῶν ἐπιτοαυτό·
(Δεῦτε) κατακαύσωμεν πάσας τὰς ἑορτὰς * τοῦ Θεοῦ ἀπὸ τῆς γῆς. καὶ παύσωμεν * κυρίε
9. Τὰ σημεῖα ἡμῶν οὐκ εἴδομεν·
Οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι.
10. Ἕως πότε ὁ Θεὸς ἐνειδιεῖ ὁ ἐχθρός;
Παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος;
11. Ἱνατί ἀποστρέφεις τὴν χεῖρά σου
Καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος;
12. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος·
Εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.
13. Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν·

(Σὺ)

(Σὺ) συνέτριψας τὰς κεφαλὰς τῶν
δρακόντων ἐπὶ τῦ ὕδατος·

συνέτριψας 14. Σὺ συνέθλασας τὰς κεφαλὰς τῦ δράκοντος,
Ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς
Αἰθίοψι.

15. Σὺ διέρρηξας πηγὰς καὶ χειμάρρους·
Ἠθάμ ※ Σὺ ἐξήρανας ποταμὸς Ἠθάν".

16. Σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ·
ἥλιον καὶ σελήνην. Σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον.

17. Σὺ ἐποίησας πάντα τὰ ὅρια τῆς γῆς·
ἐποίησας Θέρος καὶ ἔαρ σὺ ἔπλασας αὐτά.

18. Μνήσθητι ταύτης (τῆς κλίσεώς σε)·
Ἐχθρὸς ὠνείδισε τὸν Κύριον,
Καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σε.

19. Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν
ἐξομολογεμένην σοι·
Τῶν ψυχῶν τῶν πενήτων σε μὴ ἐπιλάθῃ εἰς τέλος.

20. Ἐπίβλεψον εἰς τὴν διαθήκην ÷ σε".
Ὅτι ἐπληρώθησαν οἱ ἐσκοτωμένοι τῆς
γῆς οἴκων ἀνομιῶν.

21. Μὴ ἀποστραφήτω τεταπεινωμένος
(καὶ) κατηχυμμένος·
Πτωχὸς καὶ πένης αἰνέσουσι τὸ ὄνομά σε.

22. Ἀνάστα ὁ Θεὸς, δίκασον τὴν δίκην σε·
Μνήσθητι τῶν ὀνειδισμῶν σε, ÷ τῶν"
ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν.

ἱκετῶν ἀναβαίη 23. Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν ἐχθρῶν σε·
Ἡ ὑπερηφανία τῶν μισέντων σε ἀνέβη
διαπαντὸς (πρὸς σέ).

ΨΑΛΜ. ΟΔ'. LXXIV.

Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, ψαλμὸς ᾠδῆς τῷ Ἀσαὰφ.

2. Ἐξομολογησόμεθά σοι ὁ Θεὸς,
Ἐξομολογησόμεθα καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σε·
Διηγήσομαι (πάντα) τὰ θαυμάσιά σε.

3. Ὅταν λάβω καιρὸν,
Ἐγὼ εὐθύτητας κρινῶ.

4. Ἐτάκη ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες αὐτὴν,
Ἐγὼ ἐστερέωσα τὰς στύλας αὐτῆς.
Διάψαλμα.

παρανομεῖτε 5. Εἶπα τοῖς παρανομοῦσι, μὴ παρανομεῖτε·
Καὶ τοῖς ἁμαρτάνουσι, μὴ ὑψῦτε κέρας,

6. Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν,
÷ Μὴ" λαλεῖτε κατὰ τῦ Θεῦ ἀδικίαν·

7. Ὅτι οὔτε ἀπὸ ἐξόδων, οὔτε ἀπὸ δυσμῶν, οὔτε ἀπὸ ἐρήμων ὀρέων.

8. Ὅτι ὁ Θεὸς κριτής ἐστι·
Τοῦτον ταπεινοῖ, καὶ τοῦτον ὑψοῖ.

9. Ὅτι ποτήριον ἐν χειρὶ Κυρίε, οἴνε ἀκράτε πλῆρες κεράσματος,
Καὶ ἔκλινεν ἐκ τούτε ÷ εἰς τοῦτο".
Πλὴν ὁ τρυγίας αὐτῦ οὐκ ἐξεκενώθη,
Πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς.

ἀγαλλιάσομαι 10. Ἐγὼ δὲ ἀπαγγελῶ εἰς τὸν αἰῶνα,
Ψαλῶ τῷ Θεῷ Ἰακώβ·

11. Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συγκλάσω,
÷ Καὶ" ὑψωθήσεται τὰ κέρατα τῦ δικαίε.

ΨΑΛΜ. ΟΕ'. LXXV.

Εἰς τὸ τέλος, ἐν ὕμνοις ψαλμὸς τῷ Ἀσαὰφ, ᾠδὴ ÷ πρὸς τὸν Ἀσσύριον".

2. Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός·
Ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτῦ.

3. Καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτῦ,
Καὶ τὸ κατοικητήριον αὐτῦ ἐν Σιών·
4. Ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων,
Ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον.
Διάψαλμα.
5. Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων.
6. Ἐταράχθησαν ÷ πάντες" οἱ ἀσύνετοι τῇ καρδίᾳ·
Ὑπνωσαν ὕπνον αὐτῶν, καὶ ὐχ εὗρον ὐδὲν
Πάντες οἱ ἄνδρες τῦ πλύτυ ταῖς χερσὶν αὐτῶν.
7. Ἀπὸ ἐπιτιμήσεώς συ, ὁ Θεὸς Ἰακώβ,
Ἐνύσαξαν οἱ ἐπιβεβηκότες τὺς ἵππους.
8. Σὺ φοβερὸς εἶ,
τῆς ὀργῆς Καὶ τίς ἀντιςήσεταί σοι, ἀπὸ τότε ἡ ὀργή συ,
9. Ἐκ τῦ ὐρανῦ ἠκύτισας κρίσιν,
Γῆ ἐφοβήθη καὶ ἡσύχασεν·
10. Ἐν τῷ ἀναςῆναι εἰς κρίσιν τὸν Θεὸν,
τῇ καρδίᾳ Τῦ σῶσαι πάντας τὺς πραεῖς τῆς γῆς.
Διάψαλμα.
11. Ὅτι ἐνθύμιον ἀνθρώπυ ἐξομολογήσεταί σοι·
÷ Καὶ" ἐγκατάλειμμα ἐνθυμίυ ἑορτάσει σοι.
12. Εὔξαθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν·
Πάντες οἱ κύκλῳ αὐτῦ οἴσυσι δῶρα
πνεύματα 13. Τῷ φοβερῷ καὶ ἀφαιρεμένῳ πνεῦμα ἀρχόντων,
Φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

ΨΑΛΜ. Ος'. LXXVI.

ΕΙς τὸ τέλος, ὑπὲρ Ἰδιθύν, Ψαλμὸς τῷ Ἀσάφ.
2. Φωνῇ μυ πρὸς Κύριον ἐκέκραξα,
(Καὶ) τῇ φωνῇ μυ πρὸς τὸν Θεὸν, καὶ ἡ φωνή
προσέσχε μοι.
3. Ἐν ἡμέρᾳ θλίψεώς μυ τὸν Θεὸν ἐξεζήτησα·
Ταῖς χερσί μυ νυκτὸς ἐναντίον αὐτῦ,
καὶ ὐκ ἠπατήθην.
Ἀπηνήναλο παρακληθῆναι ἡ ψυχή μυ·
4. Ἐμνήσθην τῦ Θεῦ καὶ εὐφράνθην.
Ἠδολέχησα, καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μυ. Διάψαλμα.
5. Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μυ· πάντες
οἱ ἐχθροὶ
Ἐταράχθην καὶ ὐκ ἐλάλησα.
6. Διελογισάμην ἡμέρας ἀρχαίας,
÷ Καὶ" ἔτη αἰώνια 7. ἐμνήσθην,
÷ καὶ" ἐμελέτησα·
Νυκτὸς μετὰ τῆς καρδίας μυ ἠδολέχευ, καὶ ἔσκαλλον τὸ πνεῦμά μυ·
8. Μὴ εἰς τὺς αἰῶνας ἀπώσεται Κύριος;
Καὶ ὐ προσθήσει τῦ εὐδοκῆσαι ἔτι;
9. Ἢ εἰς τέλος ἀποκόψει τὸ ἔλεος αὐτῦ;
× συνετέλεσε ῥῆμα ἀπὸ γενεᾶς εἰς καὶ
γενεάν; γενεᾶς
10. Ἢ ἐπιλήσεται τῦ οἰκτειρῆσαι ὁ Θεός;
Ἢ συνέξει ἐν τῇ ὀργῇ ÷ αὐτῦ" τὺς οἰκτιρμὺς αὐτῦ. Διάψαλμα.
11. Καὶ εἶπα, ÷ νῦν" ἠρξάμην·
Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τῦ ὑψίςυ.
12. Ἐμνήσθην τῶν ἔργων Κυρίυ·
Ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων συ,
13. Καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις συ,
Καὶ ἐν τοῖς ἐπιτηδεύμασί συ ἀδολεχήσω.
14. Ὁ Θεὸς ἐν τῷ ἁγίῳ ἡ ὁδός συ·
Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ÷ ἡμῶν";
15 Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια·
Ἐγνώ-

Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σε.
16. Ἐλυτρώσω ἐν τῷ βραχίονί ÷ σε τὸν λαόν σε,
Τὲς υἱὲς Ἰακὼϐ καὶ Ἰωσήφ. Διάψαλμα.
17. Εἴδοσάν σε ὕδατα ὁ Θεὸς,
Εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν·
Καὶ ἐταράχθησαν ἄβυσσοι, 18. πλῆθος ἤχες ὑδάτων·
Φωνὴν ἔδωκαν αἱ νεφέλαι, καὶ γὰρ τὰ βέλη σε διαπορεύονται.
19. Φωνὴ τῆς βροντῆς σε ἐν τῷ τροχῷ,
Ἔφαναν αἱ ἀστραπαί σε τῇ οἰκεμένῃ·
Ἐσαλεύθη καὶ ἔτρεμος ἐγενήθη ἡ γῆ.
20. Ἐν τῇ θαλάσῃ ἡ ὁδός σε,
Καὶ αἱ τρίϐοι σε ἐν ὕδασι πολλοῖς,
Καὶ τὰ ἴχνη σε ἀ γνωθήσονται.
21. Ὡδήγησας ὡς πρόϐατα τὸν λαόν σε
Ἐν χειρὶ Μωυσῆ καὶ Ἀαρών.

ΨΑΛΜ. ΟΖ'. LXXVII.

ΣΥνέσεως τῷ Ἀσάφ.
Προσέχετε λαός με τὸν νόμον με,
Κλίνατε τὸ ὦς ὑμῶν εἰς τὰ ῥήματα τῦ στόματός με·
2. Ἀνοίξω ἐν παραϐολαῖς τὸ στόμα με,
Φθέγξομαι προϐλήματα ἀπ' ἀρχῆς·
3. Ὅσα ἠκέσαμεν καὶ ἔγνωμεν αὐτὰ,
Καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν·
4. Οὐκ ἐκρύϐη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν,
Ἀπαγγέλλοντες τὰς αἰνέσεις Κυρίε,
Καὶ τὰς δυναστείας αὐτῦ, καὶ τὰ θαυμάσια αὐτῦ ἃ ἐποίησε.
5. Καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακὼϐ,
Καὶ νόμον ἔθετο ἐν Ἰσραήλ·
Ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡμῶν, Τῦ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν· Ὃν αὐτὸν
6. Ὅπως ἂν γνῷ γενεὰ ἑτέρα, υἱοὶ οἱ τεχθησόμενοι,
÷ Καὶ ἀναστήσονται καὶ ἀπαγγελῦσιν (αὐτὰ) τοῖς υἱοῖς αὐτῶν·
7. Ἵνα θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα αὐτῶν,
Καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τῦ Θεῦ,
Καὶ τὰς ἐντολὰς αὐτῦ ἐκζητήσωσιν·
8. Ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν,
Γενεὰ σκολιὰ καὶ παραπικραίνουσα,
Γενεὰ ἥτις ἀ κατεύθυνε τὴν καρδίαν αὐτῆς, ἐν τῇ καρδίᾳ
Καὶ ἀκ ἐπιστώθη μετὰ τῦ Θεῦ τὸ πνεῦμα αὐτῆς.
9. Υἱοὶ Ἐφραὶμ ἐντείνοντες καὶ βάλλοντες τόξον,
Ἐστράφησαν ἐν ἡμέρᾳ πολέμε·
10. Οὐκ ἐφύλαξαν τὴν διαθήκην τῦ Θεῦ,
Καὶ ἐν τῷ νόμῳ αὐτῦ ἀκ ἤθελον πορεύεσθαι.
11. Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτῦ,
Καὶ τῶν θαυμασίων αὐτῦ ὧν ἔδειξεν αὐτοῖς·
12. Ἐναντίον τῶν πατέρων αὐτῶν (ἃ) ἐποίησε θαυμάσια,
Ἐν γῇ Αἰγύπτῳ ἐν πεδίῳ Τάνεως.
13. Διέῤῥηξε θάλασσαν, καὶ διήγαγεν αὐτές·
Ἔστησεν ὕδατα ὡσεὶ ἀσκόν.
14. Καὶ ὡδήγησεν αὐτὲς ἐν νεφέλῃ ἡμέρας,
Καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός.
15. Διέῤῥηξε πέτραν ἐν ἐρήμῳ,
Καὶ ἐπότισεν αὐτὲς ὡς ἐν ἀβύσσῳ πολλῇ·

16. Καὶ

16. Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας,
Καὶ κατήγαγεν ὡς ποταμὲς ὕδατα.
17. Καὶ προσέθεντο ἔτι τῷ ἁμαρτάνειν αὐτῷ,
Παρεπίκραναν τὸν ὕψιστον ἐν ἀνύδρῳ·
18. Καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν ταῖς καρδίαις αὐτῶν,
Τῷ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν.
19. Καὶ κατελάλησαν τῷ Θεῷ, καὶ εἶπαν·
Μὴ δυνήσεται ὁ Θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ;
20. Ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, καὶ χείμαῤῥοι κατεκλύσθησαν·
Μὴ καὶ ἄρτον δυνήσεται δῶναι;
Ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτῦ;
21. Διὰ τῦτο ἤκυσε Κύριος καὶ ἀνεβάλετο,
Καὶ πῦρ ἀνήφθη ἐν Ἰακὼβ,
Καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ·
22. Ὅτι ἐκ ἐπίστευσαν ἐν τῷ Θεῷ,
Οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτῦ.
23. Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν,
Καὶ θύρας οὐρανῦ ἀνέῳξε·
24. Καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν,
Καὶ ἄρτον οὐρανῦ ἔδωκεν αὐτοῖς·
25. Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος·
Ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν.
26. Ἀπῆρε Νότον ἐξ οὐρανῦ,
Καὶ ἐπήγαγεν ἐν τῇ δυνάστείᾳ αὐτῦ Λίβα·
27. Καὶ ἔβρεξεν ἐπ' αὐτὲς ὡσεὶ χῦν σάρκας,
Καὶ ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά·
28. Καὶ ἐπέπεσον εἰς μέσον τῆς παρεμβολῆς αὐτῶν,
Κύκλῳ τῶν σκηνωμάτων αὐτῶν.
29. Καὶ ἐφάγοσαν καὶ ἐνεπλήθησαν σφόδρα,
Καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς·
30. Οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν.
Ἔτι τῆς βρώσεως αὐτῶν ὔσης ἐν τῷ στόματι αὐτῶν,
31. Καὶ ὀργὴ τῦ Θεῦ ἀνέβη ἐπ' αὐτὲς,
Καὶ ἀπέκτεινεν ἐν τοῖς πίοσιν αὐτῶν,
Καὶ τὲς ἐκλεκτὲς τῦ Ἰσραὴλ συνεπόδισεν.
32. Ἐν πᾶσι τύτοις ἥμαρτον ἔτι,
Καὶ ἐκ ἐπίστευσαν ✕ ἐν τοῖς θαυμασίοις αὐτῦ·
33. Καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν,
Καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς.
34. Ὅταν ἀπέκτεινεν αὐτὲς, ἐζήτουν αὐτὸν,
Καὶ ἐπέστρεφον, καὶ ὠρθριζον πρὸς τὸν Θεόν·
35. Καὶ ἐμνήθησαν, ὅτι ὁ Θεὸς βοηθὸς αὐτῶν ἐστι,
Καὶ ὁ Θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστι.
36. Καὶ ἠπάτησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν, ἠγάπησαν
Καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ·
37. Ἡ δὲ καρδία αὐτῶν ὐκ εὐθεῖα μετ' αὐτῦ,
Οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτῦ.
38. Αὐτὸς δέ ÷ ἐστιν" οἰκτίρμων,
÷ Καὶ" ἱλάσεται ταῖς ἁμαρτίαις ÷ αὐτῶν", καὶ ὐ διαφθερεῖ,

Καὶ

Καὶ πληθυνεῖ τῦ ἀποστρέψαι τὸν θυμὸν αὐτῦ,
Καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτῦ·
39. Καὶ ἐμνήσθη ὅτι σάρξ εἰσι,
Πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον.
40. Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ,
Παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ;
41. Καὶ ἐπέστρεψαν, καὶ ἐπείρασαν τὸν Θεὸν,
Καὶ τὸν ἅγιον τῦ Ἰσραὴλ παρώξυναν.
42. Οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτῦ,
Ἡμέρας ἧς ἐλυτρώσατο αὐτὸς ἐκ ÷ χειρὸς" θλίβοντος·
43. Ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτῦ,
Καὶ τὰ τέρατα αὐτῦ ἐν πεδίῳ Τάνεως.
44. Καὶ μετέστρεψεν εἰς αἷμα τὰς ποταμὸς αὐτῶν
Καὶ τὰ ὀμβρήματα αὐτῶν, ὅπως μὴ πίωσιν.
45. Ἐξαπέστειλεν εἰς αὐτὸς κυνόμυιαν, καὶ κατέφαγεν αὐτός·
Καὶ βάτραχον, καὶ διέφθειρεν αὐτός·
46. Καὶ ἔδωκε τῇ ἐρυσίβῃ τὸν καρπὸν αὐτῶν,
Καὶ τὸς πόνος αὐτῶν τῇ ἀκρίδι.
47. Ἀπέκλεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν,
Καὶ τὰς συκαμίνος αὐτῶν ἐν τῇ πάχνῃ.
48. Καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κλήνη αὐτῶν,
Καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί.
49. Ἐξαπέστειλεν εἰς αὐτὸς ὀργὴν θυμῦ αὐτῦ,
Θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν,
Ἀποστολὴν δι' ἀγγέλων πονηρῶν.
50. Ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτῦ·
Οὐκ ἐφείσατο ἀπὸ θανάτυ τῶν ψυχῶν αὐτῶν,
Καὶ τὰ κλήνη αὐτῶν εἰς θάνατον συνέκλεισε·
51. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν ÷ γῇ" Αἰγύπτῳ,
Ἀπαρχὴν πόνων αὐτῶν ἐν τοῖς σκηνώμασι Χάμ.
52. Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτῦ,
Καὶ ἀνήγαγεν αὐτὸς ὡσεὶ ποίμνιον ἐν ἠγαγεν
ἐρήμῳ.
53. Καὶ ὡδήγησεν αὐτὸς ἐν ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν·
Καὶ τὸς ἐχθρὸς αὐτῶν ἐκάλυψε θάλασσα.
54. Καὶ εἰσήγαγεν αὐτὸς εἰς ὄριον ἁγιάσ- ὄρος
ματος αὐτῦ,
Ὄρος τοῦτο ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτῦ.
55. Καὶ ἐξέβαλεν ἀπὸ προσώπυ αὐτῶν ἔθνη,
Καὶ ἐκληροδότησεν αὐτὸς ἐν χοινίῳ κληροδοσίας,
Καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς Φυλὰς τῦ Ἰσραήλ.
56. Καὶ ἐπείρασαν καὶ παρεπίκραναν τὸν Θεὸν τὸν ὕψιστον,
Καὶ τὰ μαρτύρια αὐτῦ οὐκ ἐφυλάξαντο·
57. Καὶ ἀπέστρεψαν, καὶ ἠσυνθέτησαν, καθὼς καὶ οἱ πατέρες αὐτῶν·
Μετεστράφησαν ὡς τόξον στρεβλόν. εἰς
58. Καὶ παρώργισαν αὐτὸν ἐπὶ τοῖς βουνοῖς αὐτῶν,
Καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν.

59. Ἠκου-

59. Ἤκουσεν ὁ Θεὸς καὶ ὑπερεῖδε,
Καὶ ἐξουδένωσε σφόδρα τὸν Ἰσραήλ·
60. Καὶ ἀπώσατο τὴν σκηνὴν Σηλὼμ,
Σκήνωμα ÷ αὐτῦ, ὃ κατεσκήνωσεν ἐν ἀνθρώποις·
61. Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν,
Καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρα ἐχθρῦ.
62. Καὶ συνέκλεισεν εἰς ῥομφαίαν τὸν λαὸν αὐτῦ,
Καὶ τὴν κληρονομίαν αὐτῦ ὑπερεῖδε·
63. Τὰς νεανίσκας αὐτῶν κατέφαγε πῦρ,
Καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπενθήθησαν·
ἐπένθησαν
64. Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσον,
Καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυθήσονται.
65. Καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν κύριος,
Ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ οἴνου·
66. Καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτῦ εἰς τὰ ὀπίσω,
Ὀνειδισμὸν αἰώνιον ἔδωκεν αὐτοῖς·
67. Καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσὴφ,
Καὶ τὴν φυλὴν Ἐφραὶμ οὐκ ἐξελέξατο·
68. Καὶ ἐξελέξατο τὴν φυλὴν Ἰούδα,
Τὸ ὄρος τὸ Σιὼν ὃ ἠγάπησε.
69. Καὶ ᾠκοδόμησεν ὡς μονοκερώτων τὸ ἁγίασμα αὐτῦ·
Ἐν τῇ γῇ ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.
70. Καὶ ἐξελέξατο Δαυὶδ τὸν δοῦλον αὐτῦ,
Καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων·
71. Ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτὸν,
Ποιμαίνειν Ἰακὼβ τὸν δοῦλον αὐτῦ,
Καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτῦ·
72. Καὶ ἐποίμανεν αὐτοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτῦ,
Καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτῦ τῇ συνέσει ὡδήγησεν αὐτούς.

ΨΑΛΜ. ΟΗ'. LXXVIII.

ΨΑλμὸς τῷ Ἀσάφ.
Ὁ Θεὸς ἦλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου,
Ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου,
Ἔθεντο Ἰερουσαλὴμ εἰς ὀπωροφυλάκιον.
2. Ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ,
Τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς·
3. Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡς ὕδωρ κύκλῳ Ἰερουσαλὴμ,
Καὶ οὐκ ἦν ὁ θάπτων.
4. Ἐγενήθημεν (εἰς) ὄνειδος τοῖς γείτοσιν ἡμῶν,
Μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν.
5. Ἕως πότε Κύριε ὀργισθήσῃ εἰς τέλος;
Ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου;
6. Ἔκχεον τὴν ὀργήν σου ἐπὶ ἔθνη τὰ μὴ ἐπεγνωκότα σε,
Καὶ ἐπὶ βασιλείας αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο·
7. Ὅτι κατέφαγον τὸν Ἰακὼβ, καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν.
8. Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων·
Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου,
Ὅτι ἐπτωχεύσαμεν σφόδρα.
9. Βοήθησον ἡμῖν ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν
Ἕνεκα τῆς δόξης τοῦ ὀνόματός σου, ÷ Κύριε, καὶ ῥῦσαι ἡμᾶς,
Καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκα τοῦ ὀνόματός σου·

10. Μή-

10. Μήποτε εἴπωσιν ἐν τοῖς ἔθνεσι· ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;
Καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν
Ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου.
11. Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων·
Κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου
Περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.
12. Καὶ ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλάσια εἰς τὸν κόλπον αὐτῶν
Τὸν ὀνειδισμὸν αὐτῶν, ὃν ὠνείδισάν σε Κύριε.
γὰρ 13. Ἡμεῖς δὲ λαός σου καὶ πρόβατα νομῆς σου
Ἀνθομολογησόμεθά σοι εἰς τὸν αἰῶνα·
Εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου

ΨΑΛΜ. ΟΘ'. LXXIX.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων, μαρτύριον τῷ Ἀσάφ, ψαλμὸς (ὑπὲρ τοῦ Ἀσσυρίου).

2. Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες,
πρόβατα Ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ·
Ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ ἐμφάνηθι,
3. Ἐναντίον Ἐφραὶμ καὶ Βενιαμὶν καὶ Μανασσῆ·
Ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.
4. Ὁ Θεὸς ἐπίστρεψον ἡμᾶς,
Καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.
5. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τοῦ δούλου σου;
6. Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων·
Καὶ πολιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ·
7. Ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν,
Καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς.
8. Κύριε ὁ Θεὸς τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς,
Καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα. Διάψαλμα.
9. Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας·
Ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτήν·
10. Ὡδοποίησας ἔμπροσθεν αὐτῆς,
Καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς,
καὶ ἐπλήρωσε τὴν γῆν. ἐπλήθη
11. Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς, ἡ γῆ
Καὶ αἱ ἀναδενδράδες αὐτῆς τοῖς κέδροις τοῦ Θεοῦ·
12. Ἐξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης,
Καὶ ἕως ποταμοῦ τοὺς παραφυάδας πολαμῶν
αὐτῆς.
13. Ἱνατί καθεῖλες τὸν φραγμὸν αὐτῆς,
Καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν,
14. Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ,
Καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν.
15. Ὁ Θεὸς τῶν δυνάμεων ἐπίστρεψον δή,
(Καὶ) ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε,
Καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην·
16. Καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου,
Καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταίωσας σεαυτῷ.

I 2 17. Ἐμπε-

Psalm. LXXIX. V. 12. ποταμῶν) ποταμοῦ. V. 14. ὗς) σὺς. V. 15. (Καὶ) deest.

17. Ἐμπεπυρισμένη ※ πυρὶ" καὶ ἀνεσκαμμένη·
Ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται.
18. Γενηθήτω ἡ χεὶρ σου ἐπ' ἄνδρα δεξιᾶς σου,
Καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ,
19. Καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ·
Ζωώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα.
20. Κύριε ὁ Θεὸς τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς,
Καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

ΨΑΛΜ. Π'. LXXX.

ἀλλοιωθησομένων * Δαυὶδ.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν (ψαλμὸς) τῷ * Ἀσάφ.
2. Ἀγαλλιᾶσθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν,
Ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ·
3. Λάβετε ψαλμὸν καὶ δότε τύμπανον,
Ψαλτήριον τερπνὸν μετὰ κιθάρας·
4. Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι,
ἡμέρας Ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν.
5. Ὅτι πρόσταγμα τῷ Ἰσραὴλ ἐστι,
Καὶ κρῖμα τῷ Θεῷ Ἰακώβ·
αὐτὸν 6. Μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτὸ,
Ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου·
Γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσεν.
αὐτῶν 7. Ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ·
Αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν.
8. Ἐν θλίψει ἐπεκαλέσω ÷ με", καὶ ἐρρύσαμήν σε·
Ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος·
Ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας.
Διάψαλμα.
9. Ἄκουσον λαός μου καὶ διαμαρτυροῦμαί σοι
Ἰσραὴλ, ἐὰν ἀκούσῃς μου·
10. Οὐκ ἔσται ἐν σοὶ Θεὸς πρόσφατος,
Οὐδὲ προσκυνήσεις Θεῷ ἀλλοτρίῳ.
11. Ἐγὼ ÷ γάρ εἰμι" Κύριος ὁ Θεός σου,
Ὁ ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου·
Πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό.
12. Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου,
Καὶ Ἰσραὴλ οὐ προσέσχε μοι·
13. Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν,
Πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.
14. Εἰ ὁ λαός μου ἤκουσέ μου,
Ἰσραὴλ ἐν ταῖς ὁδοῖς μου ÷ εἰ" ἐπορεύθη,
15. Ἐν τῷ μηδενὶ ÷ ἂν" τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα,
Καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον ἂν τὴν χεῖρά μου·
16. Οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτῷ,
Καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα·
17. Καὶ ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ,
Καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς.

ΨΑΛΜ.

Psalm. LXXX. v. 1. τῶν ἀλλοιωθησομένων) τῶν ληνῶν. ibid. τῷ Δαυὶδ) τῷ Ἀσάφ. v. 4. ἡμέρας ἑορτῆς ἡμῶν) ἡμέρᾳ ἑορτῆς ὑμῶν. v. 7. νῶτον αὐτῶν) νῶτον αὐτοῦ. v. 8. à fine *Rom.* adjicit Διάψαλμα. v. 9. λαός μου --- ἐὰν) λαός μου καὶ λαλήσω σοι, Ἰσραὴλ καὶ διαμαρτύρομαί σοι ἐὰν.

ΨΑΛΜ. ΠΑ'. LXXXI.

ΨΑλμὸς τῷ Ἀσάφ.
Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν.
Ἐν μέσῳ ÷ δὲ θεοὺς διακρινεῖ.
2. Ἕως πότε κρίνετε ἀδικίαν,
Καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε ; Διάψαλμα.
3. Κρίνετε ὀρφανῷ καὶ πλωχῷ.
Ταπεινὸν καὶ πένητα δικαιώσατε·
4. Ἐξέλεσθε πένητα καὶ πλωχὸν,
Ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε (αὐτές).
5. Οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται·
Σαλευθήσονται πάντα τὰ θεμέλια τῆς γῆς.
6. Ἐγὼ εἶπα· θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες·
7. Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε,
Καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.
8. Ἀνάστα ὁ Θεὸς, κρῖνον τὴν γῆν·
Ὅτι σὺ κατακληρονομήσεις (αὐτὲς) ἐν πᾶσι τοῖς ἔθνεσιν.

ΨΑΛΜ. ΠΒ'. LXXXII.

ΩΔὴ ψαλμὸς τῷ Ἀσάφ.
2. Ὁ Θεὸς τίς ὁμοιωθήσεταί σοι;
Μὴ σιγήσῃς, μηδὲ καταπραΰνῃς ὁ Θεός·
3. Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν,
Καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν.
4. Ἐπὶ τὸν λαόν σου (Κύριε) κατεπανουργεύσαντο γνώμην,
Καὶ ἐβουλεύσαντο καταὶ τῶν ἁγίων σου·
5. Εἶπαν· δεῦτε καὶ ἐξολεθρεύσωμεν αὐτὲς ἐξ ἐθνες,
Καὶ ὲ μὴ μνηθῇ τὸ ὄνομα Ἰσραὴλ ἔτι.
6. Ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπ' ἐμοὶ διαθήκην διέθεντο.
7. Τὰ σκηνώματα τῶν Ἰδουμαίων καὶ οἱ Ἰσμαηλῖται,
Μωὰβ καὶ οἱ Ἀγαρηνοὶ,
8. Γεβὰλ καὶ Ἀμμὼν καὶ Ἀμαλὴκ,
(Καὶ) ἀλλόφυλοι μετὰ τῶν κατοικούντων Τύρον·
9. Καὶ γὰρ καὶ Ἀσσὼρ συμπαρεγένετο μετ' αὐτῶν,
Ἐγενήθησαν ÷ εἰς ἀντίληψιν τοῖς υἱοῖς Λώτ. Διάψαλμα.
10. Ποίησον αὐτοῖς ὡς τῇ Μαδιὰμ καὶ τῷ Σισάρᾳ,
Ὡς τῷ Ἰαβεὶν ἐν τῷ χειμάῤῥῳ Κισσῶν· ὁ
11. Ἐξωλεθρεύθησαν ἐν Ἐνδὼρ,
Ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ.
12. Θὲς τὲς ἄρχοντας αὐτῶν ὡς τὸν Ὼρὴβ καὶ Ζὴβ,
Καὶ Ζεβεὲ καὶ Σαλμανὰ πάντας τὲς ἄρχοντας αὐτῶν·
13. Οἵτινες εἶπαν· κληρονομήσωμεν ἑαυτοῖς τὸ ἁγιαστήριον τοῦ Θεοῦ.
14. Ὁ Θεός μου θὲς αὐτὲς ὡς τροχὸν,
Ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου.
15. Ὡσεὶ πῦρ ÷ ὃ διαφλέξει δρυμὸν,
Ὡσεὶ φλὸξ κατακαύσαι ὄρη·
16. Οὕτως καταδιώξεις αὐτὲς ἐν τῇ καταιγίδι σου,
Καὶ ἐν τῇ ὀργῇ σου ταράξεις αὐτές.
17. Πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας·
Καὶ ζητήσουσι τὸ ὄνομά σου Κύριε. πρόσω-
I 3 18. Αἰ- πον

Pſalm. LXXXI. v. 3. Κρίνετε ὀρφανῷ καὶ πλωχῷ) κρίνατε ὀρφανὸν καὶ πλωχὸν. v. 4. (αὐτὲς) deeſt. v. 8. (αὐτὲς) abeſt. Pſalm. LXXXII. v. 4. (Κύριε) deeſt. v. 9. à fine addit *Rom.* Διάψαλμα. v. 10. Σισάρᾳ, Ὡς Ἰαβεῖν) σεισάρα, ὡς τῷ Ἰαβεὶν. ibid. Κισσῶν) κεισῶν. v. 13. τὸ ἁγιαστήριον) τὸ θυσιαστήριον. v. 17. τὸ πρόσωπόν σου) τὸ ὄνομά σου.

18. Αἰχυνθήτωσαν καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα ÷ τὲ αἰῶνος",
Καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθωσαν·
19. Καὶ γνώτωσαν ὅτι ὄνομά σοι Κύριος,
Σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.

ΨΑΛΜ. ΠΓ'. LXXXIII.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν τοῖς υἱοῖς Κορὲ ψαλμός.
2. Ὡς ἀγαπηταὶ τὰ σκηνώματά σε Κύριε τῶν δυνάμεων.
3. Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή με εἰς τὰς αὐλὰς τὲ Κυρίε·
Ἡ καρδία με καὶ ἡ σάρξ με ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα.
4. Καὶ γὰρ στρθίον εὗρεν ÷ ἑαυτῷ" οἰκίαν,
Καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, ἔ θήσει τὰ νοσσία ἑαυτῆς·
Τὰ θυσιαστήριά σε Κύριε τῶν δυνάμεων,
Ὁ βασιλεύς με καὶ ὁ Θεός με.
5. Μακάριοι (πάντες) οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σε·
Εἰς τὲς αἰῶνας ÷ τῶν αἰώνων" αἰνέσουσί σε. Διάψαλμα.
6. Μακάριος ἀνὴρ ἔ ÷ ἐστιν" ἀντίληψις αὐτῆ παρὰ σὲ Κύριε·
Ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτῆ διέθετο
7. Εἰς τὴν κοιλάδα τὲ κλαυθμῶνος, εἰς τόπον ὃν ἔθετο·
Καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν.
8. Πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν·
Ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών.
9. Κύριε ὁ Θεὸς τῶν δυνάμεων εἰσάκουσον τῆς προσευχῆς με·
Ἐνώτισαι ὁ Θεὸς Ἰακώβ. Διάψαλμα.
10. Ὑπερασπισὰ ἡμῶν ἴδε ὁ Θεὸς,
Καὶ ἐπίβλεψον ÷ ἐπὶ" τὸ πρόσωπον τὲ χριστὲ σε.
11. Ὅτι κρείσσων ἡμέρα ÷ μία" ἐν ταῖς αὐλαῖς σε ὑπὲρ χιλιάδας·
Ἐξελεξάμην παραρίπτεσθαι ἐν τῷ οἴκῳ τὲ Θεὲ με μᾶλλον
Ἢ οἰκεῖν ἐν σκηνώμασιν ἁμαρτωλῶν·
12. Ὅτι ἔλεον καὶ ἀλήθειαν ÷ ἀγαπᾷ Κύριος ὁ Θεὸς,
Χάριν καὶ δόξαν δώσει·
Κύριος ὐχ ὑστερήσει τὰ ἀγαθὰ τὲς πορευομένες ἐν ἀκακίᾳ.
13. Κύριε τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

ΨΑΛΜ. ΠΔ'. LXXXIV.

Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ ψαλμός,
2. Εὐδόκησας Κύριε τὴν γῆν σε,
Ἐπίστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ.
3. Ἄφηκας τὰς ἀνομίας τῷ λαῷ σε,
Ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν. Διάψαλμα.
4. Κατέπαυσας πᾶσαν τὴν ὀργήν σε,
Ἀπέστρεψας ἀπὸ ὀργῆς θυμῆ σε.
5. Ἐπίστρεψον ἡμᾶς ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν,
Καὶ ἀπόστρεψον τὸν θυμόν σε ἀφ' ἡμῶν.
6. Μὴ εἰς τὸν αἰῶνα ὀργισθῆς ἡμῖν; ÷ Ἢ" τὲς αἰῶνας

Psalm. LXXXIII. v. 5. (πάντες) abeſt. ibid. à fine adjicit *Rom.* Διάψαλμα. v. 6. ἀντιλ.) ἡ ἀντίλιψις. v. 7. εἰς τόπον) εἰς τὸν τόπον. v. 9. à fine *Rom.* addit Διάψαλμα. v. 11. παραρίπτεσθαι) παραριπτεῖσθαι. ibid. Θεοῦ μου) με abeſt. ibid. οἰκεῖν ἐν σκ.) οἰκεῖν με ἐπὶ σκην. v. 12. τοὺς πορευομένους) τοῖς πορευομένοις. Pſalm. LXXXIV. v. 2. Ἐπίστρεψας) ἀπέστρεψας. v. 6. εἰς τὲς αἰῶνας) εἰς τὸν αἰῶνα.

÷ Ἢ" διατενεῖς τὴν ὀργήν σε ἀπὸ γενεᾶς εἰς γενεάν;
7. ÷ Ὁ Θεὸς", σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς,
Καὶ ὁ λαός σε εὐφρανθήσεται ἐπὶ σοί.
8. Δεῖξον ἡμῖν Κύριε τὸ ἔλεός σε,
Καὶ τὸ σωτήριόν σε (Κύριε) δῴης ἡμῖν.
9. Ἀκέσομαι τί λαλήσει ÷ ἐν ἐμοὶ" Κύριος ὁ Θεός·
Ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτῦ,
Καὶ ἐπὶ τὺς ὁσίυς αὐτῦ,
Καὶ ἐπὶ τὺς ἐπιστρέφοντας πρὸς αὐτὸν καρδίαν.
10. Πλὴν ἐγγὺς τῶν φοβεμένων αὐτὸν τὸ σωτήριον αὐτῦ,
Τῦ κάλασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν.
11. Ἔλεος καὶ ἀλήθεια συνήντησαν,
Δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν·
12. Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε,
Καὶ δικαιοσύνη ἐκ τῦ οὐρανῦ διέκυψε.
13. Καὶ γὰρ ὁ Κύριος δώσει χρηστότητα,
Καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς.
14. Δικαιοσύνη ἐνώπιον αὐτῦ προπορεύσεται,
Καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτῦ.

ΨΑΛΜ. ΠΕ'. LXXXV.

Τῷ Δαυίδ.
Κλῖνον Κύριε τὸ ἓς σε, ÷ καὶ" ἐπάκυσόν μυ·
Ὅτι πλωχὸς καὶ πένης εἰμὶ ἐγώ.
2. Φύλαξον τὴν ψυχήν μυ, ὅτι ὅσιός εἰμι·
Σῶσον τὸν δῦλόν σε ὁ Θεός μυ, τὸν ἐλπίζοντα ἐπὶ σέ.
3. Ἐλέησόν με Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν.
4. Εὔφρανον τὴν ψυχὴν τῦ δύλυ σε·
Ὅτι πρὸς σὲ Κύριε ἦρα τὴν ψυχήν μυ.
5. Ὅτι σὺ Κύριε χρηστὸς καὶ ἐπιεικὴς,
Καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλυμένοις σε.
6. Ἐνώτισαι Κύριε τὴν προσευχήν μυ,
Καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μυ.
7. Ἐν ἡμέρᾳ θλίψεώς μυ ἐκέκραξα πρὸς σὲ, ὅτι ἐπήκυσάς μυ.
8. Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς Κύριε,
Καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σε.
9. Πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξυσι,
Καὶ προσκυνήσυσιν ἐνώπιόν σε Κύριε,
Καὶ δοξάσυσι τὸ ὄνομά σε·
10. Ὅτι μέγας εἶ σὺ,
Καὶ ποιῶν θαυμάσια, σὺ ÷ εἶ" ὁ Θεὸς μόνος.
11. Ὁδήγησόν με Κύριε τῇ ὁδῷ σε,
Καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σε·
Εὐφρανθήτω ἡ καρδία μυ τῦ φοβεῖσθαι τὸ ὄνομά σε.
12. Ἐξομολογήσομαί σοι Κύριε ὁ Θεός μυ ἐν ὅλῃ καρδίᾳ μυ·
Καὶ δοξάσω τὸ ὄνομά σε εἰς τὸν αἰῶνα·
13. Ὅτι τὸ ἔλεός σε μέγα ἐπ' ἐμὲ,
Καὶ ἐῤῥύσω τὴν ψυχήν μυ ἐξ ᾅδυ κατωτάτυ.
14. Ὁ Θεὸς παράνομοι ἐπανέστησαν ἐπ' ἐμὲ,

Καὶ

v. 8. (Κύριε) abeſt. v. 12. δικαιοσῶνη) καὶ δικαιοσύνη. v. 14. ἐνώπιον) ἐναντίον. Pſalm. LXXXV. v. 1. τῷ Δαυίδ.) προσευχὴ τῷ Δαυίδ. ibid. ἐπάκυσον) εἰσάκυσον. v. 2. ὁ Θεός μυ) μυ deeſt. v. 7. ἐπήκυσας) εἰσήκυσας. v. 10. ὁ Θεὸς μόνος) addit ὁ μέγας. v. 11. τῇ ὁδῷ) ἐν τῇ ὁδῷ. ibid. τῇ ἀληθείᾳ) ἐν τῇ ἀληθείᾳ.

Καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν
τὴν ψυχήν μου,
Καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν.
15. Καὶ σὺ Κύριε ὁ Θεὸς οἰκτίρμων καὶ
ἐλεήμων,
Μακρόθυμος καὶ πολυέλεος, καὶ ἀ-
ληθινός.
16. Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με·
Δὸς τὸ κράτος σου τῷ παιδί σου,
Καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου.
17. Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν·
Καὶ ἰδέτωσαν οἱ μισοῦντές με, καὶ αἰ-
σχυνθήτωσαν,
Ὅτι σὺ Κύριε ἐβοήθησάς μοι καὶ πα-
ρεκάλεσάς με.

ΨΑΛΜ. Πς'. LXXXVI.

Τοῖς υἱοῖς Κορὲ ψαλμὸς ᾠδῆς·
Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι
τοῖς ἁγίοις·
2. Ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν,
Ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.
3. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πό-
λις τοῦ Θεοῦ. Διάψαλμα.
4. Μνηθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος
τοῖς γινώσκουσί με·
(Καὶ) ἰδοὺ ἀλλόφυλοι, καὶ Τύρος,
σὺν καὶ λαὸς Αἰθιόπων, οὗτοι ἐγε-
νήθησαν ἐκεῖ.
Μήτηρ 5. Μὴ τῇ Σιὼν ἐρεῖ· ἄνθρωπος καὶ ἄν-
θρωπος ἐγενήθη ἐν αὐτῇ;
Καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕ-
ψιστος.
6. Κύριος διηγήσεται ἐν γραφῇ λαῶν
καὶ ἀρχόντων,
Τούτων τῶν γεγενημένων ἐν αὐτῇ.
Διάψαλμα.
7. Ὡς εὐφραινομένων πάντων ἡ κατοι-
κία ἐν σοί.

ΨΑΛΜ. ΠΖ'. LXXXVII.

Ὠδὴ ψαλμοῦ τοῖς υἱοῖς Κορὲ εἰς τὸ
τέλος, ὑπὲρ Μαελὲθ τοῦ ἀπο-
κριθῆναι, συνέσεως Αἱμὰν τῷ Αἰθὰμ
Ἐσδραίτῃ. Ἰσραη-
λίτῃ
2. Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, κεκράξο-
Ἡμέρας ἐκέκραξα, σὺν καὶ ἐν νυκτὶ μαι
ἐναντίον σου·
3. Εἰσελθάτω ἐνώπιόν σου ἡ προσευχή
μου,
Κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου
(Κύριε).
4. Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου,
Καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε.
5. Προσελογίσθην μετὰ τῶν καταβαινόν-
των εἰς λάκκον·
Ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος,
6. ἐν νεκροῖς ἐλεύθερος·
Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν
τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι,
Καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώ-
σθησαν.
7. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ,
Ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.
8. Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου,
Καὶ πάντας τοὺς μετεωρισμούς σου ἐ-
πήγαγες ἐπ' ἐμέ. Διάψαλμα.
9. Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ·
Ἔθεντό με βδέλυγμα ἑαυτοῖς·
Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην.
10. Οἱ

Psalm. LXXXVI. v. 6. á fine *Rom.* addit Διάψαλμα. Psalm. LXXXVII. v. 1. Αἰθὰμ) Αἱμὰν. v. 2. κεκράξομαι) ἐκέκραξα. v. 3. Εἰσελθάτω) εἰσελθέτω. v. 5. ὡσεὶ) ὡς. ibid. τραυματίαι) addit ἐῤῥιμμένοι.

10. Οἱ ὀφθαλμοί μου ἠθένησαν ἀπὸ πλωχείας·
Ἐκέκραξα πρὸς σὲ Κύριε ὅλην τὴν ἡμέραν,
Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.
11. Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια;
Ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι;
12. Μὴ διηγήσεταί τις ἐν τάφῳ τὸ ἔλεός σου,
Καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;
13. Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου,
Καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;
14. Καὶ ἐγὼ πρὸς σὲ Κύριε ἐκέκραξα,
Καὶ τοπρωΐ ἡ προσευχή μου προφθάσει σε.
15. Ἱνατί Κύριε ἀπωθεῖς τὴν ψυχήν μου;
Ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;
16. Πτωχός ÷ εἰμι" ἐγὼ, καὶ ἐν κόποις ἐκ νεότητός ÷ μου".
Ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.
17. Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου,
÷ Καὶ" οἱ φοβερισμοί σου ἐξεταράξάν με·
18. Ἐκύκλωσάν με ὡς ὕδωρ ὅλην τὴν ἡμέραν,
Περιέσχον με ἅμα.
19. Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον
÷ Καὶ" τοὺς γνωστές μου ἀπὸ ταλαιπωρίας.

ΨΑΛΜ. ΠΗ'. LXXXVIII.

Ἰσραηλίτη

ΣΥνέσεως Αἰθὰν τῷ Ἐζραΐτῃ.
2. Τὰ ἐλέη *Κυρίε εἰς τὸν αἰῶνα ᾄσομαι·
Εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου.
3. Ὅτι εἶπας, εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται·
÷ Ἐν" τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου ※ ἐν αὐτοῖς.
4. Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου,
Ὤμοσα Δαυὶδ τῷ δούλῳ μου·
5. Ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου,
Καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου. Διάψαλμα.
6. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου Κύριε,
Καὶ ÷ γὰρ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων.
7. Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ;
Ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ;
8. Ὁ Θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων,
Μέγας καὶ φοβερός (ἐστιν) ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ.
9. Κύριε ὁ Θεὸς τῶν δυνάμεων τίς ὅμοιός σοι;
Δυνατὸς εἶ Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου.
10. Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης·
Τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνῃς.

*σου Κύριε

v. 10. ἐκέκραξα) καὶ ἐκέκραξα. v. 14. Καὶ ἐγὼ) καγὼ. v. 15. τὴν ψυχήν μου) τὴν προσευχήν μου. v. 19. καὶ πλησίον) non habet. Psalm. LXXXVIII. v. 1. Αἰθὰν) Αἰθὰμ. v. 5. à fine *Rom.* addit Διάψαλμα. v. 6. Καὶ γὰρ τὴν) Καὶ τὴν. v. 7. Ὁμοιωθήσεται) καὶ τίς ὁμοιωθήσεται. v. 8. (ἐστιν) deest. v. 10. καταπραΰνῃς) καταπραΰνεις.

11. Σὺ ἐταπείνωσας, ὡς τραυματίαν, ὑπερήφανον·
Ἐν τῷ βραχίονι τῆς δυνάμεώς σε διεσκόρπισας τοὺς ἐχθρούς σε.
12. Σοί εἰσιν οἱ οὐρανοὶ, καὶ σή ἐστιν ἡ γῆ·
Τὴν οἰκουμένην καὶ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας.
13. Τὸν Βορρᾶν καὶ τὴν θάλασσαν σὺ ἔκτισας·
Ἐρμονιείμ Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σε ἀγαλλιάσονται.
14. Σὸς ὁ βραχίων μετὰ δυναστείας·
Κραταιωθήτω ἡ χείρ σε, ὑψωθήτω ἡ δεξιά σε.
15. Δικαιοσύνη καὶ κρῖμα ἑτοιμασία τοῦ θρόνου σε·
Ἔλεος καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου σου.
16. Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν·
Κύριε ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται·
17. ÷ Καὶ" ἐν τῷ ὀνόματί σε ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν,
Καὶ ἐν τῇ δικαιοσύνῃ σε ὑψωθήσονται.
18. Ὅτι καύχημα τῆς δυνάμεως αὐτῶν εἶ σὺ,
Καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν.
19. Ὅτι τοῦ Κυρίου ἡ ἀντίληψις ※ ἡμῶν,
Καὶ τοῦ ἁγίου Ἰσραὴλ βασιλέως ἡμῶν.
υἱοῖς 20. Τότε ἐλάλησας ἐν ὁράσει τοῖς ὁσίοις σου,
Καὶ εἶπας· ἐθέμην βοήθειαν ἐπὶ δυνατόν,
Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ ÷ μου".
21. Εὗρον Δαυὶδ τὸν δοῦλόν μου,
Ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν.
22. Ἡ ÷ χεὶρ" χείρ μου συναντιλήψεται αὐτῷ,
Καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν·
23. Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ,
Καὶ υἱὸς ἀνομίας οὐ κακώσει αὐτόν· προθήσει τοῦ κακῶσαι
24. Καὶ συγκόψω τοὺς ἐχθροὺς * αὐτοῦ ἀπὸ προσώπου αὐτοῦ, * μου
Καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι.
25. Καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ,
Καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ·
26. Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ,
Καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ.
27. Αὐτὸς ἐπικαλέσεταί με· πατήρ μου εἶ σὺ,
Ὁ Θεός μου καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου·
28. Καὶ ἐγὼ πρωτότοκον θήσομαι αὐτὸν,
Ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.
29. Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου,
Καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ·
30. Καὶ θήσομαι εἰς τὸν αἰῶνα ÷ τοῦ αἰῶνος" τὸ σπέρμα αὐτοῦ,
Καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ.
31. Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου,
Καὶ ἐν τοῖς κρίμασί μου μὴ πορευθῶσιν·
32. Ἐὰν τὰ δικαιώματά μου βεβηλώσωσι, βεβηλώσουσιν
Καὶ

V. 11. ἐν τῷ βραχίονι) καὶ ἐν τῷ βρ. V. 13. καὶ τὴν θάλασσαν) καὶ θάλασσαν. ibid. Ἐρμονιείμ) ἑρμὼν ἐν. V. 18. Ὅτι καύχημα) ὅτι τὸ καύχημα. ibid. εἶ σὺ) transpoſita. V. 21. Ἐν ἐλαίῳ) ἐν ἐλέει. ibid. ἁγίῳ μου) μου deeſt. V. 24. τοὺς ἐχθροὺς μου ἀπὸ προσώπου αὐτοῦ) ἀπὸ προσώπου αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ. V. 27. Ὁ Θεός μου) Θεός μου. V. 28. Καὶ ἐγὼ) κἀγὼ. V. 32. βεβηλώσωσιν) βεβηλώσωσι.

Καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν·
33. Ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν,
Καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν·
34. Τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτοῦ,
Οὐδ' οὐ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου·
35. Οὐδὲ μὴ βεβηλώσω τὴν διαθήκην μου,
Καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω.
36. Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαυὶδ ψεύσομαι·
37. Τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ,
Καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου,
38. ÷ Καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα·
Καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός. Διάψαλμα.
39. Σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας, ἀνεβάλου τὸν χριστόν σου·
40. Κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου,
Ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ.
41. Καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ,
Ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν·
42. Διήρπαζον αὐτὸν πάντες οἱ παραπορευόμενοι τὴν ὁδὸν,
Ἐγενήθη ὄνειδος τοῖς γείτοσιν αὐτοῦ.
43. Ὕψωσας τὴν δεξιὰν τῶν θλιβόντων αὐτὸν,
Εὔφρανας πάντας τοὺς ἐχθροὺς αὐτοῦ·
44. Ἀπέστρεψας τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ,
Καὶ οὐκ ἀντελάβου αὐτοῦ ἐν τῷ πολέμῳ.
45. Κατέλυσας ἀπὸ καθαρισμοῦ αὐτοῦ. αὐτὸν
Τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέῤῥαξας·
46. Ἐσμίκρυνας τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ·
Καὶ ἐπέχεας αὐτοῦ αἰσχύνην. Διάψαλμα.
47. Ἕως πότε Κύριε ἀποστρέψεις εἰς τέλος; ἀποστρέ-
Ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου; φεις
48. Μνήσθητι τίς μου ἡ ὑπόστασις·
Μὴ γὰρ ματαίως ἔκλισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων;
49. Τίς ἐστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον;
Ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου; Διάψαλμα.
50. Ποῦ εἰσιν τὰ ἐλέη σου τὰ ἀρχαῖα Κύριε,
Ἃ ὤμοσας τῷ Δαυὶδ ἐν τῇ ἀληθείᾳ σου;
51. Μνήσθητι Κύριε τοῦ ὀνειδισμοῦ τῶν δούλων σου,
Οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν·
52. Οὗ ὠνείδισαν οἱ ἐχθροί σου Κύριε,
Οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ χριστοῦ σου.
53. Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα· γένοιτο, γένοιτο.

V. 23. τὰς ἀδικίας) τὰς ἁμαρτίας. V. 34. οὐδ' ἀ μὴ) ἀδὲ μὴ. V. 42. Διήρπαζον) διήρπασαν. ibid. παραπορευόμενοι τὴν ὁδὸν) διοδεύοντες ὁδὸν. V. 43. τῶν θλιβόντων αὐτὸν) τῶν ἐχθρῶν αὐτοῦ. V. 46. τοῦ χρόνου) τοῦ θρόνου. V. 47. ἀποστρέψεις) ἀποστρέψῃ. V. 48. μου ἡ ὑπόστασις) ἡ ὑπόστασίς μου. V. 50. Ποῦ εἰσιν) πῶς ἐστιν.

ΨΑΛΜ. ΠΘ'. LXXXIX.

Προσευχὴ τῷ Μωσῇ ἀνθρώπῳ τοῦ Θεοῦ.

Κύριε καταφυγὴ ※ σὺ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ·

2. Πρὸ τοῦ ὄρη γενηθῆναι καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην,
Καὶ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ ὁ Θεός.

3. ÷ Μὴ" ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν,
Καὶ εἶπας· ἐπιστρέψατε οἱ υἱοὶ τῶν ἀνθρώπων.

4. Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου (Κύριε)
Ὡς ἡ ἡμέρα ἡ ἐχθὲς ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί.

5. Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται·
Τοπρωΐ ὡσεὶ χλόη παρέλθοι,

6. Τὸ πρωΐ ἀνθήσαι καὶ παρέλθοι·
Τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη.

7. Ὅτι ἐξελείπομεν ἐν τῇ ὀργῇ σου,
Καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν.

8. Ἔθου τὰς ἀνομίας ἡμῶν ἐνώπιόν σου·
Ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου.

9. Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλειπον,
÷ Καὶ" ἐν τῇ ὀργῇ σου ἐξελείπομεν·
Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων.

10. Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη,
Ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη,
Καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος·
Ὅτι ἐπῆλθε πραότης (ἐφ' ἡμᾶς),
καὶ παιδευθησόμεθα.

11. Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου;
Καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου ἐξαριθμήσασθαι;

12. Τὴν δεξιάν σου ἔτως γνώρισόν (μοι),
Καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ. πεπεδημένους

13. Ἐπίστρεψον Κύριε, ἕως πότε;
Καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου.

14. Ἐνεπλήσθημεν τοπρωΐ τοῦ ἐλέους σου,
Καὶ ἠγαλλιασάμεθα καὶ ηὐφράνθημεν·
Ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφράνθημεν,

15. Ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς,
Ἐτῶν ὧν εἴδομεν κακά.

16. Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου,
Καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν·

17. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς,
Καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς,
※ Καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον".

ΨΑΛΜ. ϟ'. XC.

÷

Ἴνος ᾠδῆς τῷ Δαυὶδ",
Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου,
Ἐν σκέπῃ τοῦ Θεοῦ ÷ τοῦ οὐρανοῦ" αὐλισθήσεται,

2. Ἐρεῖ

Psalm. LXXXIX. v. 1. τῷ Μωσῇ) τοῦ μωυσῆ. v. 2. καὶ ἕως τοῦ) καὶ abeſt. v. 3. οἱ υἱοὶ τῶν ἀνθρώπων) υἱοὶ ἀνθρώπων. v. 4. (Κύριε) abeſt. v. 9. ὡσεὶ) ὡς. v. 10. πραότης) πραΰτης. v. 11. Φόβου σου τὸν θυμόν σου) Φόβου τοῦ θυμοῦ σου. v. 12. (μοι) deeſt. ibid. πεπεδημένους). πεπαιδευμένους. v. 14. ἡμῶν εὐφράνθημεν) ἡμῶν εὐφρανθείημεν. v. 17. Καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον) hæc verba deſiderantur in *Cod. Rom.*

2. Ἐρεῖ τῷ Κυρίῳ· ἀντιλήπτωρ μου ÷ εἶ" καὶ καταφυγή μου,
Ὁ Θεός μου, ἐλπιῶ ἐπ' αὐτόν.
με 3. Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν,
Καὶ ἀπὸ λόγου ταραχώδους.
4. ※ Ἐν" τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι,
Καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς·
Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.
5. Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ,
Ἀπὸ βέλους πετομένου ἡμέρας·
6. Ἀπὸ πράγματος διαπορευομένου ἐν σκότει,
Ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.
7. Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς,
Καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ·
8. Πλὴν τοῖς ὀφθαλμοῖς σου καταναοήσεις,
Καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψῃ.
9. Ὅτι σὺ Κύριε ἡ ἐλπίς μου·
Τὸν ὕψιστον ἔθου καταφυγήν σου.
10. Οὐ προσελεύσεται πρὸς σὲ κακὰ,
Καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου.
11. Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ,
Τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου·
12. Ἐπὶ χειρῶν ἀροῦσί σε,
Μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου·
13. Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ,
÷ Καὶ" καταπατήσεις λέοντα καὶ δράκοντα.
14. Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν·
Σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου·
15. Κεκράξεται ÷ πρὸς" με, καὶ ἐπακούσομαι αὐτοῦ·
Μετ' αὐτοῦ εἰμι ἐν θλίψει, (καὶ) ἐξελοῦμαι αὐτὸν, καὶ δοξάσω αὐτόν·
16. Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν,
Καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

ΨΑΛΜ. ϟΑ'. XCI.

ΨΑλμὸς ᾠδῆς εἰς τὴν ἡμέραν τοῦ σαββάτου.
2. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ,
Καὶ ψάλλειν τῷ ὀνόματί σου ὕψιστε·
3. Τοῦ ἀναγγέλλειν τοπρωΐ τὸ ἔλεός σου,
Καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα,
4. Ἐν δεκαχόρδῳ ψαλτηρίῳ μετ' ᾠδῆς ἐν κιθάρᾳ.
5. Ὅτι εὐφρανάς με Κύριε ἐν τῷ ποιήματί σου,
÷ Καὶ" ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι.
6. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε·
Σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου.
7. Ἀνὴρ ἄφρων οὐ γνώσεται,
Καὶ ἀσύνετος οὐ συνήσει ταῦτα.
8. Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς ὡσεὶ χόρτον,
Καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν,

Pſalm. XC. v. 3. ῥύσεταί με) ῥύσεταί σε. v. 8. ὄψῃ) ὄψει. v. 13. Ἐπὶ ἀσπίδα) ἐπ' ἀσπίδα. v. 15. Κεκράξεται) ἐπικαλέσεται. ibid. ἐπακούσομαι) εἰσακούσομαι. v. 16. Μακρότητα) μακρότητι.
Pſalm. XCI. v. 8. ἁμαρτωλοὺς) τοὺς ἁμαρτωλοὺς

Ὅπως ἂν ἐξολεθρευθῶσιν εἰς τὸν αἰῶνα ÷ τῆ αἰῶνος".

9. Σὺ δὲ ὕψισος εἰς τὸν αἰῶνα Κύριε.

10. ※ "Οτι ἰδὲ οἱ ἐχθροί σε Κύριε", ὅτι ἰδὲ οἱ ἐχθροί σε ἀπολοῦνται,
Καὶ διασκορπισθήσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

11. Καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μὲ,
Καὶ τὸ γῆράς μὲ ἐν ἐλαίῳ πίονι·

12. Καὶ ἐφῖδεν ὁ ὀφθαλμός μὲ ἐν τοῖς ἐχθροῖς μὲ,
÷ Καὶ" ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πονηρευομένοις ἀκήσεται τὸ ὦς μὲ.

13. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει·
Ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

14. Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίε
Ἐν ταῖς αὐλαῖς τῆ Θεῆ ἡμῶν ἐξανθήσουσιν·

15. "Ετι πληθυνθήσονται ἐν γήρει πίονι, καὶ εὐπαθῆντες ἔσονται· 16. τῆ ἀναγγεῖλαι,
ἡμῶν "Οτι εὐθὺς Κύριος ὁ Θεός μὲ,
Καὶ ἐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

ΨΑΛΜ. ϟΒ'. XCII.

÷ ÷ ÷ Εἰς τὴν ἡμέραν τῆ σαββάτε, ὅτε ἐκατῴκισαι ἡ γῆ, αἶνος ᾠδῆς τῷ Δαυίδ".

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο·
Ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο·
Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις ἐ σαλευθήσεται.

2. Ἕτοιμος ὁ θρόνος σε ἀπὸ τότε·
Ἀπὸ τῆ αἰῶνος σὺ εἶ.

3. Ἐπῆραν οἱ ποταμοὶ Κύριε,
Ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν·
※ Ἀρῆσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν",

4. Ἀπὸ φωνῶν ὑδάτων πολλῶν.
Θαυμασοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης·
Θαυμασὸς ἐν ὑψηλοῖς ὁ Κύριος.

5. Τὰ μαρτύριά σε ἐπιστώθησαν σφόδρα·
Τῷ οἴκῳ σε πρέπει ἁγίασμα Κύριε
Εἰς μακρότητα ἡμερῶν.

ΨΑΛΜ. ϟΓ'. XCIII.

ΨΑλμὸς ᾠδῆς τῷ Δαυὶδ, τετράδι ÷ ÷ σαββάτε".

Θεὸς ἐκδικήσεων Κύριος,
Θεὸς ἐκδικήσεων ἐπαρρησιάσατο.

2. Ὑψώθητι ὁ κρίνων τὴν γῆν,
Ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις.

3. "Εως πότε ἁμαρτωλοὶ Κύριε,
"Εως πότε ἁμαρτωλοὶ καυχήσονται;

4. Φθέγξονται ÷ καὶ" λαλήσουσιν ἀδικίαν,
※ Λαλήσουσι" πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν;

5. Τὸν λαόν σε Κύριε ἐταπείνωσαν,
Καὶ τὴν κληρονομίαν σε ἐκάκωσαν·

6. Χήραν

V. 10. "Οτι ἰδὲ οἱ ἐχθροί σε Κύριε) hæc verba in *Rom.* desiderantur, in Hexaplis sub asteriſco poſita. V. 11. ἐν ἐλαίῳ) ἐν ἐλέῳ. V. 12. ἐπανισταμένοις) ἐπανισταμένοις. V. 13. Ὡσεὶ κέδρος) ὡς ἡ κέδρος. V. 15. Ἔτι) τότε. V. 16. εὐθὺς Κ. ὁ Θ. ἡμῶν) εὐθὴς Κύριος ὁ Θεός μου. Pſalm. XCII. V. 1. τῆ σαββάτε) τοῦ προσαββάτου. ibid. ἐκατῴκισαι) κατῴκισαι. V. 3. Ἀρῆσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν) hæc verba deſunt in *Cod. Rom.* Pſalm. XCIII. V. 1. ᾠδῆς) abeſt. ibid. ſtich. 3. Θεὸς) ὁ Θεός.

6. Χήραν καὶ ὀρφανὸν ἀπέκλειναν,
Καὶ προσήλυτον ἐφόνευσαν.
7. Καὶ εἶπαν· ἐκ ὄψεται Κύριος·
Οὐδὲ συνήσει ὁ Θεὸς τῷ Ἰακώβ.
8. Σύνετε (δὴ) ἄφρονες ἐν τῷ λαῷ.
Καὶ μωροὶ ποτὲ φρονήσατε;
9. Ὁ φυτεύσας τὸ ὦς, ἐχὶ ἀκέει;
Ἢ ὁ πλάσας τὸν ὀφθαλμὸν, ἐχὶ
κατανοεῖ;
10. Ὁ παιδεύων ἔθνη, ἐχὶ ἐλέγξει,
Ὁ διδάσκων ἄνθρωπον γνῶσιν;
11. Κύριος γινώσκει τὰς διαλογισμὰς τῶν
ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι.
12. Μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύ-
σῃς Κύριε,
Καὶ ἐκ τοῦ νόμου σε διδάξῃς αὐτόν·
13. Τοῦ πραΰναι αὐτῷ ἀφ' ἡμερῶν πο-
νηρῶν,
Ἕως ὃ ὀρυγῇ τῷ ἁμαρτωλῷ βόθρος.
14. Ὅτι ἐκ ἀπώσεται Κύριος τὸν λαὸν
αὐτοῦ,
Καὶ τὴν κληρονομίαν αὐτοῦ ἐκ ἐγκα-
ταλείψει·
15. Ἕως ἂ δικαιοσύνη ἐπιστρέψει εἰς κρίσιν,
Καὶ ἐχόμενοι αὐτῆς πάντες οἱ εὐθεῖς
τῇ καρδίᾳ. ÷ Διάψαλμα".
πονηρευομένοις 16. Τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένους;
÷ Ἢ τίς συμπαραστήσεταί μοι ἐπὶ
τοὺς ἐργαζομένους τὴν ἀνομίαν;
17. Εἰ μὴ ὅτι Κύριος ἐβοήθησέ μοι,
Παρεβραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυ-
χή μου.
18. Εἰ ἔλεγον, σεσάλευται ὁ πούς μου,
τὸ ἔλεός σου Κύριε ἐβοήθει μοι·
19. Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν
τῇ καρδίᾳ μου,
Αἱ παρακλήσεις σου ἠύφρανάν τὴν
ψυχήν μου.
20. Μὴ συμπροσέσται σοι θρόνος ἀνομίας, συμπρο-
Ὁ πλάσων κόπον ἐπὶ πρόσταγμα; σέσω
21. Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου,
Καὶ αἷμα ἀθῷον καταδικάσονται.
22. Καὶ ἐγένετό μοι Κύριος εἰς καταφυγήν,
Καὶ ὁ Θεός μου εἰς βοηθὸν ἐλπίδος μου·
23. Καὶ ἀποδώσει αὐτοῖς (Κύριος κατὰ)
τὴν ἀνομίαν αὐτῶν,
Καὶ κατὰ τὴν πονηρίαν αὐτῶν ἀφα-
νιεῖ αὐτούς· ※ ἀφανιεῖ αὐτοὺς Κύριος
ὁ Θεὸς ἡμῶν.

ΨΑΛΜ. ϟΔ'. XCIV.

Αἶνος ᾠδῆς τῷ Δαυίδ". ÷
Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυ-
ρίῳ,
Ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι
ἡμῶν·
2. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν
ἐξομολογήσει,
÷ Καὶ" ἐν ψαλμοῖς ἀλαλάξωμεν
αὐτῷ.
3. Ὅτι Θεὸς μέγας Κύριος, καὶ βασι-
λεὺς μέγας ἐπὶ πάντας τοὺς θεούς. πᾶσαν
4. Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τὴν γῆν.
τῆς γῆς,
Καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν·
5. Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς
ἐποίησεν αὐτήν,

Καὶ

V. 12. ἄνθρωπος ὃν ἂν παιδ.) ὁ ἄνθρωπος, ὃν ἂν σὺ παιδ. V. 15. ἐπιστρέψει) ἐπιστρέψῃ. V. 16. πονηρευομένοις) πονηρευομένους. V. 19. Κατὰ τὸ πλῆθος) Κύριε κατὰ τὸ πλ. ibid. ἠύφρανάν) ἠγάπησαν. V. 20. συμπροσέσται) συμπροσέσεται. ibid. πρόσταγμα) προστάγματι. V. 23. (Κύριος κατὰ) desunt: ibid. Καὶ κατὰ τὴν) κατὰ deest. Psalm. XCIV. v. 3. ἐπὶ πᾶσαν τὴν γῆν) ἐπὶ πάντας τοὺς θεούς. ὅτι ἐκ ἀπώσεται κύριος τὸν λαὸν αὐτοῦ. V. 4. εἰσιν.) ἐστιν.

Καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτῦ ἔπλασαν.

6. Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν (αὐτῷ),
÷ Καὶ" κλαύσωμεν ἐναντίον Κυρίυ τῦ ποιήσαντος ἡμᾶς·

7. "Οτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν,
Καὶ ἡμεῖς λαὸς νομῆς αὐτῦ
Καὶ πρόβατα τῆς χειρὸς αὐτῦ.

8. Σήμερον ἐὰν τῆς φωνῆς αὐτῦ ἀκούσηλε,
Μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν,
ὡς ἐν τῷ παραπικρασμῷ,
Κατὰ τὴν ἡμέραν τῦ πειρασμῦ ἐν τῇ ἐρήμῳ·

9. Οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν,
Ἐδοκίμασάν ※ με", καὶ ἶδον τὰ ἔργα μυ.

10. Τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ,
Καὶ εἶπον· ἀεὶ πλανῶνται τῇ καρδίᾳ,
Αὐτοὶ δὲ ἔγνωσαν τὰς ὁδός μυ·

11. Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μυ,
* ἢ * Εἰ εἰσελεύσονται εἰς τὴν καταπαυσίν μυ.

ΨΑΛΜ. ϟΕ'. XCV.

÷ ÷ ΩΔὴ τῷ Δαυὶδ, ὅτε ὁ οἶκος ᾠκοδομεῖτο μελὰ τὴν αἰχμαλωσίαν".

Ἄσατε τῷ Κυρίῳ �².σμα καινὸν,
Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ·

2. Ἄσατε τῷ Κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτῦ·
Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτῦ.

3. Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτῦ,
Ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτῦ.

4. "Οτι μέγας Κύριος καὶ αἰνετὸς σφόδρα·
Φοβερός ἐστιν ἐπὶ πάντας τὺς θεύς.

5. "Οτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια·
Ὁ δὲ Κύριος τὺς οὐρανὺς ἐποίησεν.

6. Ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτῦ·
Ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτῦ.

7. Ἐνέγκατε τῷ Κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν,
Ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν·

8. Ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτῦ·
Ἄρατε θυσίας, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτῦ.

9. Προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτῦ·
Σαλευθήτω ἀπὸ προσώπυ αὐτῦ πᾶσα ἡ γῆ·

10. Εἴπατε ἐν τοῖς ἔθνεσιν, ÷ ὅτι" Κύριος ἐβασίλευσε·
Καὶ γὰρ κατώρθωσε τὴν οἰκυμένην, ἥτις ὐ σαλευθήσεται·
Κρινεῖ λαὺς ἐν εὐθύτητι.

11. Εὐφραινέσθωσαν οἱ ὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ·
Σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς.

12. Χαρήσεται τὰ πεδία καὶ πάντα τὰ ἐν αὐτοῖς·

Τότε

v. 7. τῆς χειρὸς) χειρὸς. v. 8. τῦ πειρασμοῦ) τοῦ πικρασμῦ. v. 9. ἐπείρασαν) addit με. ibid. Ἐδοκίμασάν με, καὶ ἶδον) ἐδοκίμασαν καὶ ἶδον. v. 10. Καὶ εἶπον) καὶ εἶπα. ibid. Αὐτοὶ δὲ ἔγν) καὶ αὐτοὶ ὐκ. v. 11. ἢ) εἰ. Psalm. XCV. v. 1. *Rom.* Psalmi Inscript. ita refert: "Οτε ὁ οἶκος ᾠκοδόμηται μετὰ τὴν αἰχμαλωσίαν, ᾠδὴ τῷ Δαυίδ. v. 10. ὅτι Κύριος) ὁ κύριος.

Τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τῆ δρυμῆ.

13. Ἀπὸ προσώπε Κυρίε, ὅτι ἔρχεται,
ὅτι ἔρχεται κρῖναι τὴν γῆν·
Κρινεῖ τὴν οἰκεμένην ἐν δικαιοσύνῃ,
Καὶ λαὸς ἐν τῇ ἀληθείᾳ αὐτῆ.

ΨΑΛΜ. ϟϛ'. XCVI.

÷ ÷ Τῷ Δαυὶδ, ὅτε ἡ γῆ αὐτῆ κατῴκισται".
Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ·
Εὐφρανθήτωσαν νῆσοι πολλαί.

2. Νεφέλη καὶ γνόφος κύκλῳ αὐτῆ·
Δικαιοσύνη καὶ κρῖμα κατόρθωσις τῆ θρόνε αὐτῆ.

3. Πῦρ ἐναντίον αὐτῆ προπορεύσεται,
Καὶ φλογιεῖ κύκλῳ τὸς ἐχθρὸς αὐτῆ·

4. Ἔφαναν αἱ ἀστραπαὶ αὐτῆ τῇ οἰκεμένῃ,
Εἶδε καὶ ἐσαλεύθη ἡ γῆ.

5. Τὰ ὄρη ἐτάκησαν ὡσεὶ κηρὸς ※ ἀπὸ
※ προσώπε Κυρίε".
Ἀπὸ προσώπε Κυρίε πάσης τῆς γῆς.

6. Ἀνήγγειλαν οἱ ἐρανοὶ τὴν δικαιοσύνην αὐτῆ·
Καὶ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτῆ.

7. Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνῦντες τοῖς γλυπτοῖς,
Οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις ÷ αὐτῶν".
Προσκυνήσατε αὐτῷ πάντες οἱ ἄγγελοι ÷ αὐτῆ".

8. Ἤκεσε καὶ εὐφράνθη Σιὼν,
Καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰεδαίας,
Ἕνεκεν τῶν κριμάτων σε Κύριε·

9. Ὅτι σὺ Κύριος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν,
Σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας τὲς Θεές·

10. Οἱ ἀγαπῶντες τὸν Κύριον, μισεῖτε πονηρόν· πονηρά
Φυλάσσει ÷ Κύριος" τὰς ψυχὰς τῶν ὁσίων αὐτῆ,
Ἐκ χειρὸς ἁμαρτωλῆ ῥύσεται αὐτές.

11. Φῶς ἀνέτειλε τῷ δικαίῳ,
Καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη. εὐφροσύνην

12. Εὐφράνθητε δίκαιοι ἐν τῷ Κυρίῳ,
Καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτῆ.

ΨΑΛΜ. ϟζ'. XCVII.

Ψαλμὸς ÷ τῷ Δαυίδ".
Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν,
Ὅτι θαυμασὰ ἐποίησεν (ὁ Κύριος).
Ἔσωσεν αὐτῷ ἡ δεξιὰ αὐτῆ,
Καὶ ὁ βραχίων ὁ ἅγιος αὐτῆ.

2. Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτῆ·
Ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτῆ.

3 Ἐμνήσθη τῆ ἐλέες αὐτῆ (τῷ Ἰακὼβ,)
Καὶ τῆς ἀληθείας αὐτῆ τῷ οἴκῳ Ἰσραήλ·
Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τῆ Θεῆ ἡμῶν.

V. 13. Ἀπὸ προσώπε Κυρίε) πρὸ προσώπου τῆ Κυρίου. Psalm. XCVI. v. 5. ἐτάκησαν ὡσεὶ κηρὸς) transposita. v. 7. οἱ ἄγγελοι) ἄγγελοι. v. 9. Ὅτι σὺ Κύριος ὕψιστος) ὅτι σὺ εἶ Κύριος ὁ ὕψιστος. v. 10. τονηρὰ) πονηρόν. ibid. ἁμαρτωλῆ) ἁμαρτωλῶν. v. 11. εὐφροσύνην) εὐφρσύνη.

4. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ·
Ἄσατε καὶ ἀγαλλιᾶσθε καὶ ψάλατε.

5. Ψάλατε τῷ Κυρίῳ ✕ ἐν κιθάρᾳ",
Ἐν κιθάρᾳ καὶ Φωνῇ ψαλμοῦ,

Φωνῆς 6. Ἐν σάλπιγξιν ÷ ἐλαταῖς" καὶ Φωνῇ σάλπιγγος κερατίνης·
Ἀλαλάξατε ἐνώπιον τοῦ βασιλέως Κυρίου.

7. Σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς,
Ἡ οἰκουμένη καὶ (πάντες) οἱ κατοικοῦντες ἐν αὐτῇ.

8. Ποταμοὶ κροτήσουσι χειρὶ ἐπιτοαυτό·
Τὰ ὄρη ἀγαλλιάσονται 9. ἀπὸ προσώπου Κυρίου, (ὅτι ἔρχεται,)
Ὅτι ἥκει κρῖναι τὴν γῆν·
Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ,
Καὶ λαοὺς ἐν εὐθύτητι.

ΨΑΛΜ. ϟΗ'. XCVIII.

Ψαλμὸς τῷ Δαυίδ".
Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί·

Χερουβεὶν Ὁ καθήμενος ἐπὶ τῶν Χερουβείμ, σαλευθήτω ἡ γῆ.

2. Κύριος ἐν Σιὼν μέγας,
Καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς λαούς.

3. Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ·
÷ Ὅτι" φοβερὸν καὶ ἅγιόν ἐστι.

4. Καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ·
Σὺ ἡτοίμασας εὐθύτητας,
Κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας.

5. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν,
Καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ÷ Ὅτι" ἅγιόν ἐστι.

6. Μωυσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ,
Καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ·
Ἐπεκαλοῦντο τὸν Κύριον, καὶ αὐτὸς εἰσήκουσεν αὐτῶν.

7. Ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς·
(Ὅτι) ἐφύλασσον τὰ μαρτύρια αὐτοῦ
Καὶ τὸ πρόσταγμα (αὐτοῦ), * ὃ ἔδωκεν τὰ προστάγματα * αὐτοῖς.

8. Κύριε ὁ Θεὸς ἡμῶν σὺ ἐπήκουες αὐτῶν·
Ὁ Θεὸς ÷ σὺ" εὐίλαος ἐγίνου αὐτοῖς,
Καὶ ἐκδικῶν ἐπὶ ÷ πάντα" τὰ ἐπιτηδεύματα αὐτῶν.

9. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν,
Καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ·
Ὅτι ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.

ΨΑΛΜ. ϟΘ'. XCIX.

Ψαλμὸς εἰς ἐξομολόγησιν.
Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ·

2. Δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ,
Εἰσέλθατε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει.

3. Γνῶτε ὅτι Κύριος αὐτός ἐστιν ὁ Θεὸς (ἡμῶν)·
Αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς·
Ἡμεῖς

Psalm. XCVII. v. 4. τῷ Κυρίῳ) τῷ Θεῷ. v. 6. Φωνῆς) Φωνῇ. ibid. Κυρίου) Κυρίῳ. v. 7. (πάντες) deeſt. ibid. ἐν αὐτῇ) αὐτήν. v. 9. ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται) hæc verba non habet Edit. Rom. Psalm. XCVIII. v. 1. Χερουβεὶν) Χερουβείμ. v. 5. Ὅτι ἅγιόν ἐστι.) ὅτι ἅγιός ἐστι. v. 6. εἰσήκουεν αὐτῶν) εἰσήκουεν. v. 7. (ὅτι) deeſt. ibid. (αὐτοῦ) non habet. v. 8. Ὁ Θεὸς σὺ) σὺ deficit. Psalm. XCIX. v. 3. (ἡμῶν) abeſt.

Ἡμεῖς δὲ λαὸς αὐτῦ καὶ πρόβατα νομῆς αὐτῦ.

4. Εἰσέλθατε εἰς τὰς πύλας αὐτῦ ἐν ἐξομολογήσει,
Εἰς τὰς αὐλὰς αὐτῦ ἐν ὕμνοις· ἐξομολογεῖσθε αὐτῷ,
Αἰνεῖτε τὸ ὄνομα αὐτῦ.

5. Ὅτι χρηστὸς Κύριος, (ὅτι) εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτῦ,
Καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτῦ.

ΨΑΛΜ. Ρ'. C.

Ψαλμὸς τῷ Δαυίδ.
Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι Κύριε·

2. Ψαλῶ ÷ καὶ" συνήσω ἐν ὁδῷ ἀμώμῳ, πότε ἥξεις πρός μέ;
Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου μου.

3. Οὐ ÷ προ"εθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον·
Ποιοῦντας παραβάσεις ἐμίσησα·
Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή·

4. Ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον.

5. Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτῦ, τοῦτον ἐξεδίωκον·
Ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ
Τούτῳ οὐ συνήθιον.

6. Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς,
Τοῦ συγκαθῆσθαι (αὐτοὺς) μετ' ἐμοῦ·
Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει.

7. Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν·
Λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου.

8. Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς,
Τοῦ ἐξολεθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

ΨΑΛΜ. ΡΑ'. CI.

Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ, καὶ ἔναντι Κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ.

2. Κύριε εἰσάκουσον τῆς προσευχῆς μου,
Καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθάτω.

3. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ·
Ἐν ÷ ᾗ ἂν" ἡμέρᾳ θλίβωμαι, κλῖνον πρὸς μὲ τὸ οὖς σου·
Ἐν ÷ ᾗ ἂν" ἡμέρᾳ ἐπικαλέσωμαί ÷ σε", ταχὺ εἰσάκουσόν μου.

4. Ὅτι ἐξέλειπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου,
Καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.

5. Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου,
Ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου.

6. Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου.

v. 3. Ἡμεῖς δὲ λαὸς) λαὸς. ibid. νομῆς) τῆς νομῆς. v. 4. Εἰς τὰς αὐλὰς) εἰς deeſt. v. 5. (ὅτι) non habet. Pſalm. C. v. 1. τῷ Δαυίδ.) Ψαλμὸς τῷ Δαυίδ. ibid. Ἔλεον) ἔλεος. v. 7. ἐνώπιον) ἐναντίον. v. 8. τὴν ἀνομίαν) τὴν ἀδικίαν. Pſalm. CI. v. 1. ἔναντι) ἐναντίον. v. 2. ἐλθάτω) ἐλθέτω. v. 3. ἐπικαλέσομαι) ἐπικαλέσωμαι.

7. Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ,
Ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ·
8. Ἠγρύπνησα καὶ ἐγενόμην ὡς στρθίον μονάζον ἐπὶ δώματι.
9. Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου,
÷ Καὶ" οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον.
10. Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον,
Καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων,
11. Ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου·
Ὅτι ἐπάρας κατέῤῥαξάς με.
12. Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν,
Καὶ ἐγὼ ὡσεὶ χόρτος ἐξηράνθην.
13. Σὺ δὲ Κύριε εἰς τὸν αἰῶνα μενεῖς,
Καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.
14. Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιών·
Ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτὴν,
※ ὅτι ἥκει καιρός".
15. Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς·
Καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι.
16. Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομα Κυρίε
σου Κύριε,
Καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου·
17. Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιών,
Καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ.
18. Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν,
Καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν.
19. Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν,
Καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον·
20. Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ,
Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε,
21. Τοῦ ἀκοῦσαι τὸν στεναγμὸν τῶν πεπεδημένων,
Τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων·
22. Τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου,
Καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἰερουσαλήμ,
23. Ἐν τῷ ἐπισυναχθῆναι λαοὺς ἐπὶ τοαυτὸ,
Καὶ βασιλείας τοῦ δουλεύειν τῷ Κυρίῳ. βασιλεῖς
24. Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ·
Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι·
25. Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου·
Ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου.
26. Κατ' ἀρχὰς ÷ σὺ Κύριε" τὴν γῆν ἐθεμελίωσας,
Καὶ ἔργα τῶν χειρῶν σου ÷ εἰσὶν" οἱ οὐρανοί.
27. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμενεῖς·
Καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται,
Καὶ ὡσεὶ περιβόλαιον ἀλλάξεις αὐτοὺς, ἐλίξεις
καὶ ἀλλαγήσονται.
28. Σὺ δὲ ÷ ὁ" αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.
29. Υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι,
Καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

ΨΑΛΜ.

v. 8. ἐγενόμην ὡς) ἐγενήθην ὡσεὶ. v. 12. Καὶ ἐγὼ) κἀγὼ. v. 16. βασιλεῖς τῆς γῆς τὴν) βασιλεῖς τὴν. v. 21. τὸν στεναγμὸν) τοῦ στεναγμοῦ. v. 23. ἐπισυναχθῆναι) συναχθῆναι. v. 26. σὺ Κύριε τὴν γῆν) transposita. v. 29. Υἱοὶ) οἱ υἱοὶ.

ΨΑΛΜ. ΡΒ'. CII.

Τῷ Δαυίδ.

Εὐλόγει ἡ ψυχή μϑ τὸν Κύριον,
Καὶ πάντα τὰ ἐντός μϑ τὸ ὄνομα τὸ ἅγιον αὐτῦ·

2. Εὐλόγει ἡ ψυχή μϑ τὸν Κύριον,
Καὶ μὴ ἐπιλαν ϑάνϑ πάσας τὰς ἀνταποδόσεις αὐτῦ·

3. Τὸν εὐιλατεύοντα πάσαις ταῖς ἀνομίαις σϑ,
Τὸν ἰώμενον πάσας τὰς νόσϑς σϑ·

4. Τὸν λυτρϑμενον ἐκ φθορᾶς τὴν ζωήν σϑ.
Τὸν ϛεφανῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς·

5. Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σϑ·
Ἀνακαινισθήσεται ὡς ἀετῦ ἡ νεότης σϑ.

6. Ποιῶν ἐλεημοσύνας ὁ Κύριος.
Καὶ κρῖμα πᾶσι τοῖς ἀδικϑμένοις.

7. Ἐγνώρισε τὰς ὁδὸς αὐτῦ τῷ Μωυσῆ,
Τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτῦ·

8. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος,
Μακρόθυμος καὶ πολυέλεος (καὶ ἀληθεινός).

9. Οὐκ εἰς τέλος ὀργισθήσεται,
Οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ·

10. Οὐ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἐποίησεν ἡμῖν,
Οὐδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

11. Ὅτι κατὰ τὸ ὕψος τῦ οὐρανῦ ἀπὸ τῆς γῆς,
Ἐκραταίωσε (Κύριος) τὸ ἔλεος αὐτῦ ἐπὶ τὸς φοβϑμένϑς αὐτόν·

12. Καθόσον ἀπέχϑσιν ἀνατολαὶ ἀπὸ δυσμῶν,
Ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν.

13. Καθὼς οἰκτείρει πατὴρ υἱὸς,
Ὠκτείρησε Κύριος τὸς φοβϑμένϑς αὐτόν.

14. Ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν,
Ἐμνήσθη ὅτι χοῦς ἐσμεν.

15. Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτῦ,
Ὡσεὶ ἄνθος τῦ ἀγροῦ ἔτως ἐξανθήσει·

16. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει,
Καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτῦ.

17. Τὸ δὲ ἔλεος τῦ Κυρίϑ ἀπὸ τῦ αἰῶνος
Καὶ ἕως τῦ αἰῶνος ἐπὶ τὸς φοβϑμένϑς αὐτόν·
Καὶ ἡ δικαιοσύνη αὐτῦ ἐπὶ υἱὸς υἱῶν,

18. Τοῖς φυλάσσϑσι τὴν διαθήκην αὐτῦ,
Καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτῦ τῦ ποιῆσαι αὐτάς.

19. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτῦ,
Καὶ ἡ βασιλεία αὐτῦ πάντων δεσπόζει.

20. Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι αὐτῦ,
Δυνατοὶ ἰσχύι, ποιοῦντες τὸν λόγον αὐτῦ,
Τῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτῦ.

21. Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ δυνάμεις αὐτῦ,

Psalm. CII. v. 2. τὰς ἀνταποδόσεις.) τὰς αἰνέσεις. v. 8. (καὶ ἀληθεινός.) desunt. v. 14. Ἐμνήσθη) μνήσθητι. v. 20. οἱ ἄγγελοι) ἄγγελοι.

Λειτουργοὶ αὐτῦ, ποιοῦντες τὸ θέλημα αὐτῦ.

22. Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτῦ
Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτῦ·
Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

ΨΑΛΜ. ΡΓ'. CIII.

Τοῦ Δαυίδ".

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον·
Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα·

μεγαλοπρέπειαν

Ἐξομολόγησιν καὶ εὐπρέπειαν ἐνεδύσω,

2. Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον,
Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν.

3. Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτῦ,
Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτῦ,
Ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

4. Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτῦ πνεύματα,
÷ Καὶ" τοὺς λειτουργοὺς αὐτῦ πυρὸς

φλέγα

φλόγα.

5. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς·

κινηθήσεται

Οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

6. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτῦ,
Ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα·

7. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται,
Ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν·

8. Ἀναβαίνουσιν ὄρη, ÷ καὶ" καταβαίνουσι πεδία,
Εἰς τόπον οὗ ἐθεμελίωσας αὐτοῖς·

9. Ὅριον ἔθου ὃ οὐ παρελεύσονται,
Οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

10. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν,
Ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται
÷ ὕδατα".

11. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ,
Προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

12. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει·
Ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

13. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ·
Ἀπὸ καρποῦ τῶν ἔργων σου χορταθήσεται ἡ γῆ.

14. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι,
Καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων,
Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς·

15. Καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου,
Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ·
Καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

16. Χορταθήσονται τὰ ξύλα τοῦ πεδίου,
Αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσεν·

ἐφύτευσας

17. Ἐκεῖ στρουθία ἐννοσεύσουσι,
Τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται αὐτῶν.

ἀρωδιοῦ

18. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις,
Πέτρα καταφυγὴ τοῖς λαγωοῖς.

19. Ἐποίησε σελήνην εἰς καιρούς·
Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

20. Ἔθου σκότος, καὶ ἐγένετο νύξ·
Ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ·

21. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι,
Καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς.

22. Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν,
Καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιταθήσονται·

23. Ἐξε-

v. 21. τὸ θέλημα) τὰ θελήματα. v. 22. τῆς δεσποτείας) τῆς δυναστείας. Pſalm. CIII. v. 1. Τοῦ Δαυίδ.) Τῷ Δαυίδ. ibid. μεγαλοπρέπειαν) εὐπρέπειαν. v. 4. πυρὸς φλέγα) πῦρ φλέγον. v. 5. κινηθήσεται) κλιθήσεται v. 16. Χορταθήσονται) χορταθήσεται. ibid. ἐφύτευσας) ἐφύτευσεν. v. 17. ἀρωδιοῦ) ἐρωδιοῦ. v. 18. τοῖς λαγωοῖς) τοῖς χοιρογρυλλίοις. v. 21. τοῦ ἁρπάσαι) ἁρπάσαι. v. 22. συνήχθησαν, Καὶ εἰς τὰς μάνδρας) συναχθήσονται, καὶ ἐν ταῖς μάνδραις.

23. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ
Καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.
24. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σε Κύριε·
Πάντα ἐν σοφίᾳ ἐποίησας·
κλίσεώς Ἐπληρώθη ἡ γῆ τῆς κλήσεώς σε.
25. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος ※ χερσὶν·
Ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμὸς,
Ζῶα μικρὰ μετὰ μεγάλων·
διαπορεύονται 26. Ἐκεῖ πλοῖα διαπορεύσονται,
Δράκων ἕτος οὗ ἔπλασας ἐμπαίζειν αὐτῷ.
27. Πάντα πρὸς σὲ προσδοκῶσι,
Δοῦναι τὴν τροφὴν αὐτῶν εἰς καιρόν·
28. Δόντος σε αὐτοῖς, συλλέξουσιν·
Ἀνοίξαντος (δὲ) σε τὴν χεῖρα, ÷ τὰ σύμπαντα" πλησθήσονται
πιότητος χρηστότητος.
29. Ἀποστρέψαντος δὲ σε τὸ πρόσωπον, ταραχθήσονται·
Ἀνταναλεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι,
Καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν·
30. Ἐξαποστελεῖς τὸ πνεῦμά σε, καὶ κτισθήσονται,
Καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.
τοὺς αἰῶνας 31. Ἦτω ἡ δόξα Κυρίε εἰς τὸν αἰῶνα·
Εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.
32. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ÷ ποιῶν αὐτὴν" τρέμειν·
Ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.
33. Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου,
Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω·
34. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου,
Ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.
35. Ἐκλείποισαν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς
Καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς·
Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

ΨΑΛΜ. ΡΔ'. CIV.

Ἀλληλεΐα.
Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ÷ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ·
Ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ.
2. Ἄσατε αὐτῷ καὶ ψάλατε αὐτῷ·
Διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ.
3. Ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ·
Εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον.
4. Ζητήσατε τὸν Κύριον, καὶ κραταιώθητε·
Ζητήσατε τὸ πρόσωπον αὐτοῦ διαπαντός.
5. Μνήσθητε τῶν θαυμασίων αὐτοῦ ὧν ἐποίησε,
Τὰ τέρατα αὐτοῦ, καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ·
6. Σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ,
Υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ.
7. Αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν·
Ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ.
8. Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ,
Λόγου ὃ ἐνετείλατο εἰς χιλίας γενεάς·
9. Ὃν διέθετο τῷ Ἀβραὰμ,
Καὶ τοῦ ὅρκου αὐτοῦ τῷ Ἰσαάκ· τῷ ὅρκῳ
10. Καὶ

V. 27. αὐτῶν εἰς καιρόν.) αὐτοῖς εὐκαίρον. V. 28. πιότητος) χρηστότητος. V. 31. εἰς τοὺς αἰῶνας) εἰς τὸν αἰῶνα. Pſalm. CIV. v. 9. τῷ ὅρκῳ) τοῦ ὅρκου.

αὐτὴν 10. Καὶ ἔστησεν αὐτὸν τῷ Ἰακὼβ εἰς πρόσταγμα,
Καὶ τῷ Ἰσραὴλ εἰς διαθήκην αἰώνιον,
11. Λέγων· σοὶ δώσω τὴν γῆν Χαναάν,
Σχοίνισμα κληρονομίας ὑμῶν·
12. Ἐν τῷ εἶναι αὐτὸς ἀριθμῷ βραχεῖς,
Ὀλιγοστὸς καὶ παροίκους ἐν αὐτῇ.
13. Καὶ διῆλθον ἐξ ἔθνος εἰς ἔθνος,
÷ Καὶ" ἐκ βασιλείας εἰς λαὸν ἕτερον·
14. Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτούς,
Καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς·
15. Μὴ ἅψεσθε τῶν χριστῶν μου,
Καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.
16. Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν·
Πᾶν στήριγμα ἄρτου συνέτριψεν.
17. Ἐξαπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον,
Εἰς δοῦλον ἐπράθη Ἰωσήφ.
18. Ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ,
Σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ·
19. Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ,
Τὸ λόγιον Κυρίου ἐπύρωσεν αὐτόν.
20. Ἀπέστειλεν βασιλεὺς καὶ ἔλυσεν αὐτόν·
Ἄρχων λαῶν, καὶ ἀφῆκεν αὐτόν.
21. Καθέστησεν αὐτὸν κύριον τοῦ οἴκου αὐτοῦ,
Καὶ ἄρχοντα πάσης τῆς κτήσεως αὐτοῦ·
22. Τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτὸν,
Καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι.
23. Καὶ εἰσῆλθεν Ἰσραὴλ ÷ εἰς" Αἴγυπτον,
Καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ·
24. Καὶ ἤυξησε τὸν λαὸν αὐτοῦ σφόδρα,
Καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ.
25. Μετέστρεψε τὴν καρδίαν αὐτῶν τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ, αὐτοῦ
Τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ·
26. Ἐξαπέστειλε Μωυσῆν τὸν δοῦλον αὐτοῦ,
Ἀαρὼν ὃν ἐξελέξατο αὐτόν. ἑαυτῷ
27. Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ
Καὶ τῶν τεράτων (αὐτοῦ) ἐν γῇ Χάμ·
28. Ἐξαπέστειλε σκότος καὶ ἐσκότασε, ὅτι
Καὶ οὐ παρεπίκραναν τοὺς λόγους αὐτοῦ.
29. Μετέστρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα,
Καὶ ἀπέκτεινε τοὺς ἰχθύας αὐτῶν.
30. Ἐξῆρψεν ἡ γῆ αὐτῶν βατράχους
Ἐν τοῖς ταμείοις τῶν βασιλέων αὐτῶν·
31. Εἶπε, καὶ ἦλθε κυνόμυια,
÷ Καὶ" σκνῖφες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν.
32. Ἔθετο τὰς βροχὰς αὐτῶν χάλαζαν,
Πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν·
33. Καὶ ἐπάταξε τὰς ἀμπέλους αὐτῶν
Καὶ τὰς συκᾶς αὐτῶν,
Καὶ συνέτριψε (πᾶν) ξύλον ὁρίου αὐτῶν.
34. Εἶπε, καὶ ἦλθεν ἀκρὶς καὶ βρῦχος,
Οὗ οὐκ ἦν ἀριθμός·
35. Καὶ κατέφαγε πάντα χόρτον ἐν τῇ γῇ αὐτῶν,
※ Καὶ κατέφαγε" ÷ πάντα" τὸν καρπὸν τῆς γῆς αὐτῶν.
36. Καὶ

V. 15. ἅψεσθε) ἅψησθε. V. 17. Ἐξαπέστειλεν) ἀπέστειλεν. V. 19. Κυρίου) τοῦ Κυρίου. V. 25. Μετέστρεψε) καὶ μετέστρεψε. ibid. καρδίαν αὐτοῦ) καρδίαν αὐτῶν. V. 26. ἑαυτῷ) αὐτόν. V. 27. (αὐτοῦ) abeſt. V. 28. ὅτι παρεπ.) καὶ παρεπίκρανναν. V. 31. σκνῖφες) σκνῖπες. V. 35. χόρτον) τὸν χόρτον. ibid. πάντα τὸν καρπὸν) πάντα deeſt.

36. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν τῇ γῇ αὐτῶν,
Ἀπαρχὴν παντὸς πόνε αὐτῶν·
37. Καὶ ἐξήγαγεν αὐτὲς ἐν ἀργυρίῳ καὶ χρυσίῳ,
Καὶ ἐκ ἦν ἐν ταῖς Φυλαῖς αὐτῶν ἀσθενῶν.
38. Εὐφράνθη Αἴγυπλος ἐν τῇ ἐξόδῳ αὐτῶν·
Ὅτι ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ' αὐτές.
39. Διεπέτασε νεφέλην εἰς σκέπην ÷ αὐτοῖς",
Καὶ πῦρ τὲ φωτίσαι ÷ αὐτοῖς" ἰὴν νύκλα.
40. Ἤτησαν καὶ ἦλθεν ὀρτυγομήτρα,
Καὶ ἄρτον ἀρανὲ ἐνέπλησεν αὐτές·
41. Διέρρηξε πέτραν, καὶ ἐρρύησαν ὕδατα,
Ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί.
42. Ὅλι ἐμνήθη τὲ λόγε τὲ ἁγίε αὐτὲ,
÷ Τὲ" πρὸς Ἀβραὰμ τὸν δῶλον αὐτὲ·
43. Καὶ ἐξήγαγε τὸν λαὸν αὐτὲ ἐν ἀγαλλιάσει,
÷ Καὶ" τὲς ἐκλελὲς αὐτὲ ἐν εὐφροσύνῃ.
44. Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν,
Καὶ πόνες λαῶν κατεκληρονόμησαν·
45. Ὅπως ἂν φυλάξωσι τὰ δικαιώματα αὐτὲ,
ἐκζητήσωσιν Καὶ τὸν νόμον αὐτὲ ἐκζητήσωσιν. Ἀλληλείϊα.

ΨΑΛΜ. ΡΕ'. CV.

Ἀλληλείϊα.
Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηςός,
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτέ.
2. Τίς λαλήσει τὰς δυναςείας τὲ Κυρίε;
Ἀκεςὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτέ;
3. Μακάριοι οἱ φυλάσσοντες κρίσιν,
Καὶ ποιέντες δικαιοσύνην ἐν παντὶ καιρῷ.
4. Μνήθητι ἡμῶν Κύριε ἐν τῇ εὐδοκίᾳ τὲ λαὲ σε,
Ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σε·
5. Τὲ ἰδεῖν ἐν τῇ χρηςότητι τῶν ἐκλεκλῶν σε,
Τὲ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τὲ ἔθνες σε,
Τὲ ἐπαινεῖθαι μετὰ τῆς κληρονομίας σε.
6. Ἡμάρλομεν μετὰ τῶν πατέρων ἡμῶν,
Ἠνομήσαμεν, ἠδικήσαμεν·
7. Οἱ πατέρες ἡμῶν ἐν Αἰγύπλῳ ὐ συνῆκαν τὰ θαυμάσιά σε,
Οὐκ ἐμνήθησαν τὲ πλήθες τὲ ἐλέες σε·
Καὶ παρεπίκραναν ἀναβαίνοντες ※ ἐν θαλάσσῃ, ἐν τῇ ἐρυθρᾷ θαλάσῃ.
8. Καὶ ἔσωσεν αὐτὲς ἕνεκεν τὲ ὀνόματος αὐτέ,
Τὲ γνωρίσαι τὴν δυναςείαν αὐτέ·
9. Καὶ ἐπετίμησε τῇ ἐρυθρᾷ θαλάσῃ, καὶ ἐξηράνθη,
Καὶ ὡδήγησεν αὐτὲς ἐν ἀβύσσοις ὡς ἐν ἀβύσῳ ἐρήμῳ.
10. Καὶ ἔσωσεν αὐτὲς ἐκ χειρὸς μισοῦντος,
Καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθροῦ.
11. Ἐκά-

V. 36. ἐν τῇ γῇ) ἐκ τῆς γῆς. V. 37. ἀσθενῶν) ὁ ἀσθενῶν. V. 43. ἐκλελὲς) addit αὐτὲ. V. 44. κατεκληρονόμησαν) ἐκληρονόμησαν. V. 45. ἐκζητήσωσιν.) ἐκζητήσωσιν. Pſalm. CV. v. 7. Οὐκ ἐμνήθησαν) καὶ οὐκ ἐμνήθησαν. V. 10. μισέντος) μισέντων.

11. Ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας
αὐτές·
Εἷς ἐξ αὐτῶν ὐχ ὑπελείφθη.
12. Καὶ ἐπίσευσαν ἐν τοῖς λόγοις αὐτῦ,
ἤνεσαν Καὶ ἦσαν τὴν αἴνεσιν αὐτῦ.
13. Ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων
αὐτῦ·
Οὐχ ὑπέμειναν τὴν βελὴν αὐτῦ·
14. Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ
ἐρήμῳ,
Καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ.
15. Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν,
ἐξαπό- Καὶ ἐξαπέστειλεν πλησμονὴν εἰς * τὰς ψυχὰς
στειλεν αὐτῶν.
* τὰς 16. Καὶ παρώργισαν τὸν Μωσῆν ἐν τῇ
ψυχὰς παρεμβολῇ,
Τὸν Ἀαρὼν τὸν ἅγιον Κυρίε·
17. Ἠνοίχθη ἡ γῆ καὶ κατέπιε Δαθὰν,
Καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν
Ἀβειρών·
18. Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ
αὐτῶν,
Φλὸξ κατέφλεξεν ἁμαρτωλές.
19. ÷ Καὶ" ἐποίησαν μόχον ἐν Χωρὴβ,
Καὶ προσεκύνησαν τῷ γλυπτῷ·
αὐτῦ 20. Καὶ ἠλλάξαντο τὴν δόξαν αὐτῶν
Ἐν ὁμοιώματι μόχε ἔθοντος χόρτον.
21. Ἐπελάθοντο Θεῦ τῦ σώζοντος αὐτοὺς,
Τῦ ποιήσαντος μεγαλεῖα ἐν Αἰγύπτῳ,
22. Θαυμάσια ἐν γῇ Χὰμ,
Φοβερὰ ἐπὶ θαλάσσης ἐρυθρᾶς.
23. Καὶ εἶπε τῦ ἐξολεθρεῦσαι αὐτοὺς,
Εἰ μὴ Μωσῆς ὁ ἐκλελεὸς αὐτῦ
Ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτῦ,
Τῦ ἀποστρέψαι τὸν θυμὸν αὐτῦ,
Τῦ μὴ ἐξολεθρεῦσαι ÷ αὐτούς".
24. Καὶ ἐξεδένωσαν γῆν ἐπιθυμητὴν,
Οὐκ ἐπίσευσαν τῷ λόγῳ αὐτῦ·
25. Καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν
αὐτῶν,
Οὐκ εἰσήκεσαν τῆς φωνῆς Κυρίε.
26. Καὶ ἐπῆρε τὴν χεῖρα αὐτῦ ἐπ'
αὐτοὺς,
Τῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ,
27. Καὶ τῦ καταβαλεῖν τὸ σπέρμα αὐ-
τῶν ἐν τοῖς ἔθνεσι,
Καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς
χώραις.
28. Καὶ ἐτελέθησαν τῷ Βεελφεγὼρ,
Καὶ ἔφαγον θυσίας νεκρῶν·
29. Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπι-
τηδεύμασιν αὐτῶν,
Καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πλῶσις.
30. Καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο,
Καὶ ἐκόπασεν ἡ θραῦσις·
31. Καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην,
Εἰς γενεὰν καὶ γενεὰν ἕως τῦ αἰῶνος.
32. Καὶ παρώργισαν ÷ αὐτὸν" ἐπὶ ὕδα-
τος ἀντιλογίας,
Καὶ ἐκακώθη Μωυσῆς δι' αὐτές·
33. Ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτῦ,
Καὶ διέσειλεν ἐν τοῖς χείλεσιν αὐτῦ.
34. Οὐκ ἐξωλέθρευσαν τὰ ἔθνη ἃ εἶπε
Κύριος αὐτοῖς,
35. Καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι,
Καὶ ἔμαθον τὰ ἔργα αὐτῶν·
36. Καὶ ἐδέλευσαν τοῖς γλυπτοῖς αὐτῶν,
Καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον.
37. Καὶ

v. 11. ἐχ) οὐκ, ita & 13. versu. v. 12. ἐν τοῖς) τοῖς. v. 15. ἐξαπόστειλεν πλ. εἰς τὰς ψυχὰς) καὶ ἐξαπέστειλε πλ. εἰς τὴν ψυχὴν. v. 16. τὸν Μωσῆν) μωυσῆν. ibid. Τὸν Ἀαρὼν) καὶ ἀαρὼν. v. 18. Φλὸξ) καὶ φλὸξ. v. 20. δόξαν αὐτοῦ) δόξαν αὐτῶν. v. 21. Θεοῦ τῦ) τῦ Θεοῦ τοῦ. ibid. μεγαλεῖα) μεγάλα. v. 22. Θαυμάσια) θαυμασὰ. ibid. Φοβερὰ) καὶ φοβερὰ. v. 23. τὸν θυμὸν αὐτοῦ) ἀπὸ θυμοῦ ὀργῆς αὐτοῦ. ibid. à fine αὐτὲς) deeſt. v. 24. Οὐκ) καὶ οὐκ.

37. Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν
Καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις·
38. Καὶ ἐξέχεαν αἷμα ἀθῷον,
Αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων ※ αὐτῶν,
Ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν.
Καὶ ἐφονοκλονήθη ἡ γῆ ἐν τοῖς αἵμασιν αὐτῶν,
39. Καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν·
Καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.
40. Καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ,
Καὶ ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ·
41. Καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐχθρῶν
ἐθνῶν,
Καὶ ἐκυρίευσαν αὐτῶν οἱ μισοῦντες αὐτούς.
42. Καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν,
Καὶ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν.
43. Πλεονάκις ἐῤῥύσατο αὐτούς·
Αὐτοὶ δὲ παρεπίκραναν ÷ αὐτὸν" ἐν τῇ βελῇ αὐτῶν,
Καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν.
44. Καὶ ἴδε (Κύριος) ἐν τῷ θλίβεσθαι αὐτοὺς,
Ἐν τῷ αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως αὐτῶν·
45. Καὶ ἐμνήθη τῆς διαθήκης αὐτοῦ,
Καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ·
46. Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς
Ἐναντίον πάντων τῶν αἰχμαλωτισάντων αὐτούς.
47. Σῶσον ἡμᾶς Κύριε ὁ Θεὸς ἡμῶν,
Καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν,
Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ,
Τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου.
48. Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ
Ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος·
Καὶ ἐρεῖ πᾶς ὁ λαός· γένοιτο, ÷ γένοιτο".

ΨΑΛΜ. Ρϛ'. CVI.

Ἀλληλούϊα.
Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι χρηστὸς,
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
2. Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου,
Οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ·
3. Καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτοὺς,
Ἀπὸ ἀνατολῶν, καὶ δυσμῶν, καὶ βορρᾶ, καὶ θαλάσσης.
4. Ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ, ἐν ἀνύδρῳ,
Ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον·
5. Πεινῶντες καὶ διψῶντες,
Ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλειπεν.
6. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς,
÷ Καὶ" ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐῤῥύσατο αὐτούς·
7. Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν,
Τοῦ πορευθῆναι εἰς πόλιν καθοικητηρίου.
8. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ,
Καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων·

9. Ὅτι

v. 38. αἵμασιν αὐτῶν) αἵμασι. v. 39. Cod. *Rom.* integrum hoc supplementum habet. v. 46. αἰχμαλωτισάντων) αἰχμαλωτευσάντων. Psalm. CVI. v. 3. ἐκ τῶν χωρῶν) καὶ ἐκ τῶν χωρῶν.

9. Ὅτι ἐχόρτασε ψυχὴν κενὴν,
Καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν.
10. Καθημένες ÷ ἐν" σκότει καὶ σκιᾷ θανάτε,
Πεπεδημένες ÷ ἐν" πλωχείᾳ καὶ σιδήρῳ·
11. Ὅτι παρεπίκραναν τὰ λόγια τῦ Θεῦ,
Καὶ τὴν βελὴν τῦ ὑψίστε παρώξυναν.
12. Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν,
(Καὶ) ἠσθένησαν, καὶ ἐκ ἦν ὁ βοηθῶν.
13. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς,
Καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς·
14. Καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότες καὶ σκιᾶς θανάτε,
Καὶ τὰς δεσμὰς αὐτῶν διέρρηξεν.
15. Ἐξομολογησάθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτῦ,
Καὶ τὰ θαυμάσια αὐτῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων·
16. Ὅτι συνέτριψε πύλας χαλκᾶς,
Καὶ μοχλοὺς σιδηρᾶς συνέθλασεν.
17. Ἀντελάβετο αὐτῶν ἐξ ὁδῦ ἀνομίας αὐτῶν·
Διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν.
18. Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν,
Καὶ ἤγγισαν ἕως τῶν πυλῶν τῦ θανάτε.
19. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς,
÷ Καὶ" ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτές·
20. Ἀπέστειλε τὸν λόγον αὐτῦ, καὶ ἰάσατο αὐτοὺς,
Καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.
21. Ἐξομολογησάθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτῦ,
Καὶ τὰ θαυμάσια αὐτῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων·
22. Καὶ θυσάτωσαν (αὐτῷ) θυσίαν αἰνέσεως,
Καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτῦ ἐν ἀγαλλιάσει.
23. Οἱ καταβαίνοντες εἰς τὴν θάλασσαν ἐν πλοίοις,
Οἱ ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς·
24. Αὐτοὶ ἶδον τὰ ἔργα Κυρίε,
Καὶ τὰ θαυμάσια αὐτῦ ἐν τῷ βυθῷ.
25. Εἶπε, καὶ ἔστη πνεῦμα καταιγίδος,
Καὶ ὑψώθη τὰ κύματα αὐτῆς·
26. Ἀναβαίνεσιν ÷ ἕως" τῶν οὐρανῶν,
Καὶ καταβαίνεσιν ÷ ἕως" τῶν ἀβύσσων·
Ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο·
27. Ἐταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων,
Καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη.
28. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς,
Καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτές·
29. ÷ Καὶ" ἐπέταξε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν,
Καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς.
30. Καὶ ηὐφράνθησαν, ὅτι ἡσύχασαν,
Καὶ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτῶν, αὐτῦ
31. Ἐξο-

v. 9. Καὶ ψυχὴν πεινῶσαν) καὶ πεινῶσαν. v. 12. (Καὶ) deeſt. v. 23. εἰς τὴν θάλ.) εἰς θάλασσαν. ibid. Οἱ ποιοῦντες) ποιοῦντες. v. 30. θελήματος αὐτῦ) θελ. αὐτῶν.

31. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ,
Καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων·
32. Καὶ ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ,
καθέδραις Καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν.
33. Ἔθετο ποταμοὺς εἰς ἔρημον,
Καὶ διεξόδους ὑδάτων εἰς δίψαν,
34. Γῆν καρποφόρον εἰς ἅλμην,
Ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ.
35. Ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων,
Καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων·
36. Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας,
πόλεις Καὶ συνεστήσαντο πόλιν κατοικεσίας·
37. Καὶ ἔσπειραν ἀγροὺς, καὶ ἐφύτευσαν ἀμπελῶνας,
Καὶ ἐποίησαν καρπὸν γενήματος.
38. Καὶ εὐλόγησεν αὐτοὺς, καὶ ἐπληθύνθησαν σφόδρα,
Καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνε.
39. Καὶ ὠλιγώθησαν, καὶ ἐκακώθησαν
Ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης·
40. Ἐξέχυθη ἐξουδένωσις ἐπ' ἄρχοντας (αὐτῶν),
Καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ.
41. Καὶ ἐβοήθησε πένητι ἐκ πλουσίας,
Καὶ ἔθετο ὡς πρόβατα πατριάς.
42. Ὄψονται εὐθεῖς, καὶ εὐφρανθήσονται·
Καὶ πᾶσα ἀνομία ἐμφράξει στόμα αὐτῆς.
43. Τίς σοφὸς καὶ φυλάξει ταῦτα;
Καὶ συνήσουσι τὰ ἐλέη τοῦ Κυρίου.

ΨΑΛΜ. ΡΖ'. CVII.

ψαλμὸς Ὠδὴ ψαλμοῦ τῷ Δαυίδ.
2. Ἑτοίμη ἡ καρδία μου ὁ Θεὸς,
÷ ἑτοίμη ἡ καρδία μου·
Ἄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου.
3. Ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα·
Ἐξεγερθήσομαι ὄρθρου.
4. Ἐξομολογήσομαί σοι ἐν λαοῖς Κύριε,
Καὶ ψαλῶ σοι ἐν ἔθνεσιν·
5. Ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου,
Καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.
6. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεὸς,
Καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.
7. Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου,
Σῶσον τῇ δεξιᾷ σου, καὶ ἐπάκουσόν μου.
8. Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ·
Ὑψωθήσομαι ÷ καὶ" διαμεριῶ Σίκιμα,
Καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.
9. Ἐμός ἐστι Γαλαάδ, καὶ ἐμός ἐστι Μανασσῆς,
Καὶ Ἐφραὶμ ἀντίληψις τῆς κεφαλῆς μου·
Ἰούδας βασιλεύς μου.
10. Μωὰβ λέβης τῆς ἐλπίδος μου·
Ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου·
Ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.
11. Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς;
(Ἢ) τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;
12. Οὐχὶ σὺ ὁ Θεὸς ὁ ἀπωσάμενος ἡμᾶς;
Καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν;

v. 32. καθέδραις) καθέδρᾳ. v. 42. στόμα) τὸ στόμα. v. 43. συνήσουσι) συνήσει. Psalm. CVII. v. 1.
Ψαλμὸς τῷ Δαυίδ.) Ὠδὴ ψαλμοῦ τῷ Δαυίδ.

13. Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως·
Καὶ ματαία σωτηρία ἀνθρώπου.
14. Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν·
Καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.

ΨΑΛΜ. ΡΗ'. CVIII.

Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.
Ὁ Θεὸς τὴν αἰνεσίν μου μὴ παρασιωπήσῃς·
2. Ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη,
Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ·
3. Καὶ λόγοις μίσους ἐκύκλωσάν με,
Καὶ ἐπολέμησάν με δωρεάν.
4. Ἀντὶ τῆς ἀγαπῆς ※ μου ἐνδιέβαλλόν με,
Ἐγὼ δὲ προσηυχόμην·
5. Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν,
Καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου.
6. Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν,
Καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ·
7. Ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι κατάδεδικασμένος,
Καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν.
8. Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι,
÷ Καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος·
9. Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοὶ,
Καὶ ἡ γυνὴ αὐτοῦ χήρα·
10. Σαλευόμενοι μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ καὶ ἐπαιτησάτωσαν,
Ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν.
11. (Καὶ) ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ·
※ Καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ.
12. Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ,
Μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ·
13. Γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολέθρευσιν,
Ἐν γενεᾷ μιᾷ ἐξαλειφθήτω τὸ ὄνομα αὐτοῦ.
14. Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι Κυρίου,
Καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη·
15. Γενηθήτωσαν ἐναντίον Κυρίου διαπαντὸς
Καὶ ἐξολεθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. αὐτοῦ
16. Ἀνθ' ὧν οὐκ ἐμνήσθη τοῦ ποιῆσαι ἔλεος,
Καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχὸν
Καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι.
17. Καὶ ἠγάπησε κατάραν, καὶ ἥξει αὐτῷ·
Καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ.
18. Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον,
Καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ,
Καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ·
19. Γενηθήτω αὐτῷ ὡς ἱμάτιον ὃ περιβάλλεται,
Καὶ ὡσεὶ ζώνη ἣν διαπαντὸς περιζώννυται.
20. Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίου, Κυρίῳ
Καὶ

v. 14. τοὺς θλίβοντας ἡμᾶς.) τοὺς ἐχθροὺς ἡμῶν. Psalm. CVIII. v. 11. (Καὶ) deest. v. 13. ἐξαλειφθήτω) ἐξαλειφθείη. v. 15. αὐτοῦ.) αὐτῶν. v. 16. τοῦ ποιῆσαι) ποιῆσαι. v. 20. παρὰ Κυρίου) παρὰ Κυρίῳ.

Καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου.
21. Καὶ σὺ Κύριε κύριε ποίησον μετ' ἐμοῦ (ἔλεος) ἕνεκεν τοῦ ὀνόματός σου,
Ὅτι χρηστὸν τὸ ἔλεός σου·
Ῥῦσαί με, 22. ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγὼ,
Καὶ ἡ καρδία μου τεταράκται ἐνδός μου.
23. Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν, ἀνταναιρέθην·
Ἐξετινάχθην ὡσεὶ ἀκρίδες.
24. Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας,
Καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον.
25. ※ Καὶ" ἐγὼ ἐγενήθην ὄνειδος αὐτοῖς·
Ἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν.
26. Βοήθησόν μοι Κύριε ὁ Θεός μου,
(Καὶ) σῶσόν με κατὰ τὸ ἔλεός σου·
27. Καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη,
÷ Καὶ" σὺ Κύριε ἐποίησας αὐτήν.
28. Καταράσονται αὐτοὶ, καὶ σὺ εὐλογήσεις·
Οἱ ἐπανιστανόμενοί μοι αἰσχυνθήτωσαν,
Ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.
29. Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπὴν,
Καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν.
30. Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου,
Καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν·
31. Ὅτι παρέστη ἐκ δεξιῶν πένητος,
Τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.

ΨΑΛΜ. ΡΘ΄. CIX.

Τῷ Δαυὶδ ψαλμός.
Εἶπεν ὁ Κύριος τῷ κυρίῳ μου·
κάθου ἐκ δεξιῶν μου,
Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.
2. Ῥάβδον δυνάμεώς σου ἐξαποστελεῖ Κύριος ἐκ Σιών·
(Καὶ) κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου.
3. Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου,
Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων (σου)·
Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.
4. Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται·
Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα,
Κατὰ τὴν τάξιν Μελχισεδέκ.
5. Κύριος ἐκ δεξιῶν σου συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς·
6. Κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα,
Συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν.
7. Ἐκ χειμάρρου ἐν ὁδῷ πίεται (ὕδωρ)·
Διὰ τοῦτο ὑψώσει κεφαλήν.

ΨΑΛΜ. ΡΙ΄. CX.

Ἀλληλούϊα.
Ἐξομολογήσομαί ÷ σοι" Κύριε ἐν ὅλῃ καρδίᾳ ÷ μου",
Ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ. 2. Μεγάλα τὰ ἔργα Κυρίου,
Ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ·

3. Ἐξο-

ἀνταναιρέθην

v. 21. (ἔλεος) abeſt. v. 23. ἀνταναιρέθην) ἀνταναιρέθην. v. 25. Καὶ ἐγὼ) καγὼ. v. 28. ἐπανιστανόμενοι) ἐπανιστάμενοι. Pſalm. CIX. v. 1. Τῷ Δαυὶδ ψαλμός.) transpoſita. v. 2. ἐξαποστελεῖ) add τ σοι. ibid. (Καὶ) abeſt. v. 3. (σου) deeſt. v. 7. (ὕδωρ) non habet.

3. Ἐξομολόγησις καὶ μεγαλοπρέπεια
τὸ ἔργον αὐτῦ·
Καὶ ἡ δικαιοσύνη αὐτῦ μένει εἰς τὸν
αἰῶνα ÷ τῦ αἰῶνος".
4. Μνείαν ἐποιήσατο τῶν θαυμασίων
αὐτῦ·
Ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος.
5. Τροφὴν ἔδωκε τοῖς φοβεμένοις αὐτόν·
Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης
αὐτῦ.
6. Ἰσχὺν ἔργων αὐτῦ ἀνήγγειλε τῷ λαῷ
αὐτῦ,
Τῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν.
7. Ἔργα χειρῶν αὐτῦ ἀλήθεια καὶ κρίσις.
Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτῦ,
8. Ἐσηριγμέναι εἰς τὸν αἰῶνα τῦ αἰῶνος,
Πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι.
9. Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτῦ·
Ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην
αὐτῦ·
Ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτῦ.
10. Ἀρχὴ σοφίας φόβος Κυρίε,
Σύνεσις (δὲ) ἀγαθὴ πᾶσι τοῖς ποιῦ-
σιν αὐτόν· αὐτήν
Ἡ αἴνεσις αὐτῦ μένει εἰς τὸν αἰῶνα
÷ τῦ αἰῶνος".

3. Δόξα καὶ πλῦτος ἐν τῷ οἴκῳ αὐτῦ,
Καὶ ἡ δικαιοσύνη αὐτῦ μένει εἰς τὸν
αἰῶνα ÷ τῦ αἰῶνος".
4. Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐ-
θέσιν·
Ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος
(Κύριος ὁ Θεός).
5. Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν·
Οἰκονομήσει τοὺς λόγους αὐτῦ ἐν κρίσει.
6. Ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται·
Εἰς μνημόσυνον αἰώνιον ἔσαι δίκαιος.
7. Ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται·
Ἑτοίμη ἡ καρδία αὐτῦ ἐλπίζειν ἐπὶ
Κύριον·
8. Ἐστήρικται ἡ καρδία αὐτῦ, οὐ μὴ φο-
βηθῇ,
Ἕως ἂν ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτῦ.
9. Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν·
Ἡ δικαιοσύνη αὐτῦ μένει εἰς τὸν αἰῶ-
να ÷ τῦ αἰῶνος".
Τὸ κέρας αὐτῦ ὑψωθήσεται ἐν δόξῃ.
10. Ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθή-
σεται,
Τοὺς ὀδόντας αὐτῦ βρύξει καὶ τακή-
σεται·
Ἐπιθυμία ἁμαρτωλῶν ἀπολεῖται.

ΨΑΛΜ. ΡΙΑ'. CXI.

Ἀλληλέϊα.

Μακάριος ἀνὴρ ὁ φοβέμενος τὸν
Κύριον,
Ἐν ταῖς ἐντολαῖς αὐτῦ θελήσει
σφόδρα·
2. Δυνατὸν ἐν τῇ γῇ ἔσαι τὸ σπέρμα
αὐτῦ,
Γενεὰ εὐθέων εὐλογηθήσεται·

ΨΑΛΜ. ΡΙΒ'. CXII.

Ἀλληλέϊα.

Αἰνεῖτε παῖδες τὸν Κύριον,
Αἰνεῖτε τὸ ὄνομα Κυρίε.
2. Εἴη τὸ ὄνομα Κυρίε εὐλογημένον,
Ἀπὸ τῦ νῦν καὶ ἕως τῦ αἰῶνος·
3. Ἀπὸ ἀνατολῶν ἡλίε (καὶ) μέχρι
δυσμῶν
Αἰνετὸν τὸ ὄνομα Κυρίε.
4. Ὑψη-

Psalm. CXI. v. 4. (Κύριος ὁ Θεός.) non habet. v. 8. ἐ μὴ) ἐ. v. 10. ἁμαρτωλῶν) ἁμαρτωλᾶ.
Psalm. CXII. v. 1. τὸν Κύριον) κύριον. v. 3. (καὶ) abest.

4. Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος·
Ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ.
5. Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν;
Ὁ ἐν ὑψηλοῖς κατοικῶν, 6. ÷ καὶ" τὰ ταπεινὰ ἐφορῶν
Ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ.
7. Ὁ ἐγείρων ἀπὸ γῆς πλωχὸν,
Καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα·
8. Τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων,
Μετὰ ἀρχόντων λαοῦ αὐτοῦ.
9. Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ,
Μητέρα ἐπὶ τέκνοις εὐφραινομένην.

ΨΑΛΜ. ΡΙΓ'. CXIII.

Ἀλληλούϊα.
Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου,
Οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου,
2. Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ,
Ἰσραὴλ ἐξουσία αὐτοῦ.
3. Ἡ θάλασσα ἶδε καὶ ἔφυγεν,
Ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω·
4. Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ,
÷ Καὶ" οἱ βουνοὶ ὡς ἀρνία προβάτων.
5. Τί ※ σοι" ἐστὶ θάλασσα ὅτι ἔφυγες,
÷ Καὶ σοὶ" Ἰορδάνη ὅτι ἐστράφης εἰς τὰ ὀπίσω;
6. Τὰ ὄρη ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοὶ,
÷ Καὶ" οἱ βουνοὶ ὡς ἀρνία προβάτων;
7. Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ,
Ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ·
8. Τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων,
÷ Καὶ" τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων.
9. Μὴ ἡμῖν Κύριε, μὴ ἡμῖν,
Ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν
Ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου·
10. Μή ÷ ποτε" εἴπωσι τὰ ἔθνη· ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;
11. Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ (καὶ ἐν τῇ γῇ)·
Πάντα ὅσα ἠθέλησεν, ἐποίησε.
12. Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον,
Ἔργα χειρῶν ἀνθρώπων·
13. Στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν·
Ὀφθαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται·
14. Ὦτα ἔχουσι, καὶ οὐκ ἀκούσονται,
Ῥῖνας ἔχουσι, καὶ οὐκ ὀσφρανθήσονται·
15. Χεῖρας ἔχουσι, καὶ οὐ ψηλαφήσουσι·
Πόδας ἔχουσι, καὶ οὐ περιπατήσουσιν·
Οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν.
16. Ὅμοιοι αὐτῶν γένοιντο οἱ ποιοῦντες αὐτὰ,
÷ Καὶ" πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς.
17. ÷ Οἶκος" Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον·
Βοηθὸς αὐτῶν καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.
18. Οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ Κύριον·
Βοηθὸς αὐτῶν καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.
19. Οἱ φοβούμενοι Κύριον ἤλπισαν ἐπὶ Κύριον·
Βοηθὸς αὐτῶν καὶ ὑπερασπιστὴς αὐτῶν ἐστι.
20. Κύριος μνησθεὶς ἡμῶν εὐλόγησεν ÷ ἡμᾶς"·
Εὐλόγησε τὸν οἶκον Ἰσραὴλ,
Εὐλόγησε τὸν οἶκον Ἀαρών·
21. Εὐλόγησε τοὺς φοβουμένους τὸν Κύριον,
Τοὺς μικροὺς μετὰ τῶν μεγάλων.

Psalm. CXIII. v. 5. Καὶ σοὶ) καὶ σύ. v. 16. ὅμοιοι αὐτῶν) ὅμοιοι αὐτοῖς. v. 19. Φοβούμενοι Κύριον) Φοβούμενοι τὸν Κύριον.

22. Προσθείη Κύριος ἐφ' ὑμᾶς,
※ Ἐφ' ὑμᾶς", καὶ ἐπὶ τὲς υἱὲς ὑμῶν·

23. Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ,
Τῷ ποιήσαντι τὸν ἐρανὸν καὶ τὴν γῆν.

τῷ ἐρανῷ 24. Ὁ ἐρανὸς τὲ ἐρανὲ τῷ Κυρίῳ·
Τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων.

25. Οὐχ οἱ νεκροὶ αἰνέσουσί ÷ σε" Κύριε,
Οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδε·

26. Ἀλλ' ἡμεῖς ÷ οἱ ζῶντες" εὐλογήσωμεν τὸν Κύριον,
Ἀπὸ τὲ νῦν καὶ ἕως τὲ αἰῶνος.

ΨΑΛΜ. ΡΙΔ'. CXIV.

Ἀλληλέϊα.
Ἠγάπησα, ὅτι εἰσακέσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς με,

2. Ὅτι ἔκλινε τὸ ἓς αὐτὲ ἐμοί·
Καὶ ἐν ταῖς ἡμέραις με ἐπικαλέσομαι.

3. Περιέσχον με ὠδῖνες θανάτε,
Καὶ κίνδυνοι ᾅδε εὗρόσάν με,
Θλῖψιν καὶ ὀδύνην εὗρον·

4. Καὶ τὸ ὄνομα Κυρίε ἐπεκαλεσάμην·
Ὦ Κύριε ῥῦσαι τὴν ψυχήν με.

5. Ἐλεήμων ὁ Κύριος καὶ δίκαιος,
Καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ.

6. Φυλάσσων τὰ νήπια ὁ Κύριος·
Ἐταπεινώθην καὶ ἔσωσέ με.

ψυχήν 7. Ἐπίστρεψον ψυχή με εἰς τὴν ἀνάπαυσίν σε,
Ὅτι Κύριος εὐηργέτησέ με·

8. Ὅτι ἐξείλατο τὴν ψυχήν με ἐκ θανάτε,
Τὲς ὀφθαλμές με ἀπὸ δακρύων,
Καὶ τὲς πόδας με ἀπὸ ὀλισθήματος.

9. Εὐαρεστήσω ἐνώπιον Κυρίε ἐν χώρᾳ ζώντων.

ΨΑΛΜ. ΡΙΕ'. CXV.

Ἀλληλέϊα". ÷
Ἐπίστευσα, διὸ ἐλάλησα·
Ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.

2. Ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει με· πᾶς ἄνθρωπος ψεύστης.

3. Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι;

4. Ποτήριον σωτηρίε λήψομαι,
Καὶ τὸ ὄνομα Κυρίε ἐπικαλέσομαι·

5. ※ Τὰς εὐχάς με τῷ Κυρίῳ ἀποδώσω, ἐναντίον παντὸς τὲ λαὲ αὐτὲ. ※

6. Τίμιος ἐναντίον Κυρίε
Ὁ θάνατος τῶν ὁσίων αὐτὲ. αὐτῶν

7. Ὦ Κύριε ※ ὅτι ἐγὼ δῦλος σὸς, ἐγὼ δῦλος σὸς, ÷ καὶ" υἱὸς τῆς παιδίσκης σε·
Διέῤῥηξας τὲς δεσμές με.

8. Σοὶ θύσω θυσίαν αἰνέσεως,
※ Καὶ ἐν ὀνόματι Κυρίε ἐπικαλέσομαι".

9. Τὰς εὐχάς με τῷ Κυρίῳ ἀποδώσω
Ἐναντίον παντὸς τὲ λαὲ αὐτὲ,

10. Ἐν αὐλαῖς οἴκε Κυρίε,
Ἐν μέσῳ σε Ἱερουσαλήμ. ※ Ἀλληλέϊα.

ΨΑΛΜ.

v. 24. τῷ οὐρανῷ) τοῦ ἐρανὲ. v. 26. εὐλογήσωμεν) εὐλογήσομεν. Psalm. CXIV. v. 7. ψυχήν με, ψυχή μου. ibid. εὐηργετησέ με) εὐηργέτησέ σε. v. 8. ἐξείλατο) ἐξείλετο. Psalm. CXV. v. 2. Ἐγὼ εἶπα) ἐγὼ δὲ εἶπα. v. 5. Integrum ſupplementum exhibet *Editio Rom.* v. 6. ὁσίων αὐτῶν) ὁσίων αὐτοῦ.

ΨΑΛΜ. ΡΙϛ'. CXVI.

Ἀλληλέϊα".

Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη,
(Καὶ) ἐπαινεσάτωσαν αὐτὸν πάντες οἱ λαοί·
2. Ὅτι ἐκραταιώθη ἐφ' ἡμᾶς τὸ ἔλεος αὐτῦ,
Καὶ ἡ ἀλήθεια τῦ Κυρίυ ÷ μένει" εἰς τὸν αἰῶνα.

ΨΑΛΜ. ΡΙΖ'. CXVII.

Ἀλληλέϊα.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς,
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτῦ.
2. Εἰπάτω δὴ οἶκος Ἰσραήλ· ÷ ὅτι ἀγαθὸς",
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτῦ.
3. Εἰπάτω δὴ οἶκος Ἀαρών· (ὅτι ἀγαθὸς),
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτῦ.
4. Εἰπάτωσαν δὴ (πάντες) οἱ Φοβέμενοι τὸν Κύριον·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτῦ.
5. Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον,
Καὶ ἐπήκεσέ μι εἰς πλατυσμὸν ※ Κύριος.
6. Κύριος ἐμοὶ ÷ βοηθὸς", (καὶ) ὐ Φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος·
7. Κύριος ἐμοὶ βοηθὸς, καὶ ἐγὼ ἐπόψομαι τὺς ἐχθρύς μι.
8. Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον,
Ἢ πεποιθέναι ἐπ' ἄνθρωπον·
9. Ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον,
Ἢ ἐλπίζειν ἐπ' ἄρχοντας.
10. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με,
Καὶ ἐν τῷ ὀνόματι Κυρίυ ※ ὅτι ἠμυνάμην αὐτύς·
11. Κυκλώσαντες ἐκύκλωσάν με,
÷ Καὶ" ἐν τῷ ὀνόματι Κυρίυ ※ ὅτι ἠμυνάμην αὐτύς·
12. Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι (κηρίον),
÷ Καὶ" ἐξεκαύθησαν ὡσεὶ πῦρ ἐν ἀκάνθαις·
÷ Καὶ" ἐν τῷ ὀνόματι Κυρίυ ※ ὅτι ἠμυνάμην αὐτύς.
13. Ὠθεὶς ἀνετράπην τῦ πεσεῖν,
Καὶ ὁ Κύριος ἀντελάβετό μι·
14. Ἰσχύς μι καὶ ὕμνησίς μι ὁ Κύριος,
Καὶ ἐγένετό μοι εἰς σωτηρίαν.
15. Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας
Ἐν σκηναῖς δικαίων·
※ Δεξιὰ Κυρίυ ἐποίησε δύναμιν",
16. Δεξιὰ Κυρίυ ὕψωσέ ÷ με",
Δεξιὰ Κυρίυ ἐποίησε δύναμιν.
17. Οὐκ ἀποθανῦμαι, ἀλλὰ ζήσομαι,
Καὶ ἐκδιηγήσομαι τὰ ἔργα Κυρίυ·
18. Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος,
Καὶ τῷ θανάτῳ ὐ παρέδωκέ με.
19. Ἀνοίξατέ μοι πύλας δικαιοσύνης·
Εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ Κυρίῳ.
20. Αὕτη ἡ πύλη τῦ Κυρίυ· δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ.
21. Ἐξομολογήσομαί σοι ὅτι ἐπήκεσάς με, καὶ ἐγένε μοι εἰς σωτηρίαν.

Pſalm. CXVI. v. 1. Καὶ ἐπαινεσάτωσαν) ἐπαινέσατε. v. 2. ἐφ' ἡμᾶς τὸ ἔλεος αὐτῦ) transpoſita.
Pſalm. CXVII. v. 4. Κύριον· Ὅτι εἰς τὸν) κύριον, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν. v. 7. καὶ ἐγὼ) κἀγὼ. v. 9. ἐπ' ἄρχοντας) ἐπ' ἄρχεσι. v. 12. ὡσεὶ) ὡς. v. 17. ἐκδιηγήσομαι) διηγήσομαι.

22. Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες,
÷ Οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας·
23. Παρὰ Κυρίᾳ ἐγένετο ※ αὕτη,
Καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.
24. Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος·
Ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
25. Ὦ Κύριε σῶσον δή·
Ὦ Κύριε εὐόδωσον δή.
26. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίᾳ·
Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου Κυρίου.
27. Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν·
Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν
Ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου.
28. Θεός μου ÷ εἶ σὺ, καὶ ἐξομολογήσομαί σοι·
Θεός μου ÷ εἶ σύ, καὶ ὑψώσω σε·
÷ Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου,
÷ Καὶ ἐγένου μοι εἰς σωτηρίαν.
29. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς,
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

ΨΑΛΜ. ΡΙΗ'. CXVIII.

÷ Ἀλληλούϊα.
Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ,
Οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου·
2. Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ,
Ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν·
3. Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν,
ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.
4. Σὺ ἐνετείλω τὰς ἐντολάς σου τοῦ φυλάσσεσθαι σφόδρα.
5. Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου,
Τοῦ φυλάξασθαι τὰ δικαιώματά σου·
6. Τότε οὐ μὴ ἐπαισχυνθῶ,
Ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου.
7. Ἐξομολογήσομαί σοι (Κύριε) ἐν εὐθύτητι καρδίας,
Ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου.
8. Τὰ δικαιώματά σου φυλάξω·
Μή με ἐγκαταλίπῃς ἕως σφόδρα.
9. Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ;
Ἐν τῷ φυλάσσεσθαι τοὺς λόγους σου.
10. Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε·
Μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.
11. Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως οὐ μὴ ἁμάρτω σοι.
12. Εὐλογητὸς εἶ Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.
13. Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου·
14. Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην,
Ὡς ἐπὶ παντὶ πλούτῳ.
15. Ἐν ταῖς ἐντολαῖς σου ἀδολεχήσω,
Καὶ κατανοήσω τὰς ὁδούς σου·
16. Ἐν τοῖς δικαιώμασί σου μελετήσω·
Οὐκ ἐπιλήσομαι τῶν λόγων σου.
17. Ἀνταπόδος τῷ δούλῳ σου·
Ζήσομαι καὶ φυλάξω τοὺς λόγους σου.
18. Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω
Τὰ θαυμάσιά (σου) ἐκ τοῦ νόμου σου.
19. Πά-

v. 24. Αὕτη ἡμέρα) αὕτη ἡ ἡμέρα. Psalm. CXVIII. v. 1. οἱ ἄμωμοι) ἄμωμοι. v. 4. Φυλάσσεσθαι) τοῦ φυλάξασθαι. v. 6. ἐπαισχυνθῶ) αἰσχυνθῶ. v. 7. (Κύριε) abeſt. v. 9. Φυλάσσεσθαι) Φυλάξασθαι. v. 18. (σου) deeſt.

19. Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ·
Μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου.
20. Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι
Τὰ κρίματά σου ἐν παντὶ καιρῷ.
21. Ἐπετίμησας ὑπερηφάνοις·
Ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου.
22. Περίελε ἀπ' ἐμοῦ ὀνειδος καὶ ἐξουδένωσιν,
Ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα.
23. Καὶ γὰρ ἐκάθισαν ἄρχοντες, ÷ καὶ" κατ' ἐμοῦ κατελάλουν,
Ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου·
24. Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μου ἐστί,
÷ Καὶ" ἡ συμβουλία μου τὰ δικαιώματά σου.
25. Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου·
Ζῆσόν με κατὰ τὸ λόγιόν σου.
σου 26. Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου·
Δίδαξόν με τὰ δικαιώματά σου·
27. Ὁδὸν δικαιωμάτων σου συνέτισόν με,
Καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου.
Ἐνύσαξεν 28. Ἔσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας·
Βεβαίωσόν με ἐν τοῖς λόγοις σου.
29. Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ,
Καὶ τῷ νόμῳ σου ἐλέησόν με.
30. Ὁδὸν ἀληθείας ἡρετισάμην·
Τὰ κρίματά σου ἐκ ἐπελαθόμην.
31. Ἐκολλήθην τοῖς μαρτυρίοις σου Κύριε,
μή με καταισχύνῃς.
32. Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.
33. Νομοθέτησόν με Κύριε τὴν ὁδὸν τῶν δικαιωμάτων σου,
Καὶ ἐκζητήσω αὐτὴν διαπαντός·
34. Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου,
Καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ ÷ μου".
35. Ὁδήγησόν με ἐν τρίβῳ τῶν ἐντολῶν σου,
Ὅτι αὐτὴν ἠθέλησα.
36. Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου,
Καὶ μὴ εἰς πλεονεξίαν.
37. Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου, τοῦ μὴ ἰδεῖν ματαιότητα·
Ἐν τῇ ὁδῷ σου ζῆσόν με.
38. Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου.
39. Περίελε τὸν ὀνειδισμόν μου ὃν ὑπώπλευσα·
Ὅτι τὰ κρίματά σου χρηστά.
40. Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου·
ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με.
41. Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου Κύριε,
Τὸ σωτήριόν σου κατὰ λόγιόν σου·
42. Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί με λόγον,
Ὅτι ἤλπισα ἐπὶ τοὺς λόγους σου.
43. Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα,

v. 24. ἡ συμβουλία) αἱ συμβουλίαι. v. 25. τὸ λόγιόν σου) τὸν λόγον σου. v. 26. ὁδούς μου) ὁδούς μου. v. 30. Τὰ κρίματα) καὶ τὰ κρίματα. v. 35. ἐν τρίβῳ) ἐν τῇ τρίβῳ. v. 41. κατὰ λόγιόν σου) κατὰ τὸν λόγον σου. v. 42. ὀνειδίζουσί με) ὀνειδίζουσί μοι. ibid. ἐπὶ τοὺς λόγους σου) ἐπὶ τοῖς λόγοις σου.

Ὅτι ἐπὶ τοῖς κρίμασί σε ἐφήλπισα·
44. Καὶ φυλάξω τὸν νόμον σε διαπαντὸς, εἰς τὸν αἰῶνα,
Καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
45. Καὶ ἐπορευόμην ἐν πλατυσμῷ,
Ὅτι τὰς ἐντολάς σε ἐξεζήτησα·
46. Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σε ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην·
47. Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σε, αἷς ἠγάπησα (σφόδρα)·
48. Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σε, ἃς ἠγάπησα σφόδρα,
Καὶ ἠδολέχουν ἐν τοῖς δικαιώμασί σε.
49. Μνήσθητι τὸν λόγον ÷ σου" τῷ δούλῳ σου, ᾧ ἐφήλπισάς με.
50. Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου,
Ὅτι τὸ λόγιόν σου ἔζησέ με.
51. Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα·
Ἀπὸ ÷ δὲ" τοῦ νόμου σου οὐκ ἐξέκλινα.
52. Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος Κύριε, καὶ παρεκλήθην.
53. Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου.
54. Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου, ἐν τόπῳ παροικίας μου.
55. Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου Κύριε,
Καὶ ἐφύλαξα τὸν νόμον σου.
56. Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.
57. Μερίς μου εἶ Κύριε· εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου.
58. Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ ÷ μου"·
Ἐλέησόν με κατὰ λόγιόν σου.
59. Διελογισάμην (καλὰ) τὰς ὁδούς μου, σου
Καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου.
60. Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην,
Τοῦ φυλάξασθαι τὰς ἐντολάς σου.
61. Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι·
÷ Καὶ" τοῦ νόμου σου οὐκ ἐπελαθόμην.
62. Μεσονύκλιον ἐξεγειρόμην τοῦ ἐξομολογήσασθαί σοι
Ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.
63. Μέτοχος ἐγώ ÷ εἰμι" πάντων τῶν φοβουμένων σε,
Καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου.
64. Τοῦ ἐλέους σου Κύριε πλήρης ἡ γῆ· Κυρίε
Τὰ δικαιώματά σου δίδαξόν με.
65. Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου
Κύριε κατὰ τὸ λόγιόν σου·
66. Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με,
Ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα.
67. Πρὸ τοῦ με ταπεινωθῆναι, ἐγὼ ἐπλημμέλησα·
Διὰ τοῦτο τὸ λόγιόν σου (ἐγὼ) ἐφύλαξα.
68. Χρηστὸς εἶ σὺ (Κύριε)· καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου.
69. Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων·

Ἐγὼ

v. 48. σφόδρα) abeſt. v. 49. τὸν λόγον) τῶν λόγων. ibid. ᾧ) ὧν. v. 57. φυλάξασθαι) τοῦ φυλάξασθαι. v. 58. λόγιον) τὸ λόγιον. v. 59. (καλὰ) deeſt. v. 62. ἐξομολογήσασθαι) ἐξομολογεῖσθαι. v. 64. ἐλέους Κυρίου) ἐλέους σου Κύριε. v. 65. τὸ λόγιόν σου) τὸν λόγον σου. v. 67. (ἐγὼ) abeſt.

Ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ (με) ἐξερευνήσω τὰς ἐντολάς σε.
70. Ἐλυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν·
Ἐγὼ ÷ δὲ" τὸν νόμον σε ἐμελέτησα.
71. Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με,
Ὅπως ἂν μάθω τὰ δικαιώματά σε.
72. Ἀγαθόν μοι ὁ νόμος τῆ στόματός σε,
Ὑπὲρ χιλιάδας χρυσίε καὶ ἀργυρίε.
73. Αἱ χεῖρές σε ἐποίησάν με καὶ ἔπλασάν με·
Συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σε.
74. Οἱ φοβέμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται,
Ὅτι εἰς τὰς λόγως σε ἐφήλπισα.
75. Ἔγνων Κύριε ὅτι δικαιοσύνη τὰ κρίματά σε,
Καὶ ἀληθείᾳ ἐταπείνωσάς με.
76. Γενηθήτω δὴ τὸ ἔλεός σε τῆ παρακαλέσαι με,
Κατὰ τὸ λόγιόν σε τῷ δέλῳ σε·
77. Ἐλθάτωσάν μοι οἱ οἰκτιρμοί σε, καὶ ζήσομαι,
Ὅτι ὁ νόμος σε μελέτη με ÷ ἐστίν".
78. Αἰσχυνθήτωσαν ὑπερήφανοι,
Ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ·
Ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σε.
79. Ἐπιστρεψάτωσάν με οἱ φοβέμενοί σε
Καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σε.
80. Γενηθήτω ἡ καρδία με ἄμωμος
Ἐν τοῖς δικαιώμασί σε, ὅπως ἂν μὴ αἰσχυνθῶ.
81. Ἐκλείπει εἰς τὸ σωτήριόν σε ἡ ψυχή με,
Εἰς τὸν λόγον σε ἐφήλπισα·
82. Ἐξέλειπον οἱ ὀφθαλμοί με εἰς τὸ λόγιόν σε,
Λέγοντες· πότε παρακαλέσεις με;
83. Ὅτι ἐγενήθην ὡσεὶ ἀσκὸς ἐν πάχνῃ·
Τὰ δικαιώματά σε οὐκ ἐπελαθόμην.
84. Πόσαι εἰσὶν αἱ ἡμέραι τῆ δέλε σε;
Πότε ποιήσεις (μοι) ἐκ τῶν καταδιωκόντων με κρίσιν;
85. Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας,
Ἀλλ' οὐχ ὡς ὁ νόμος σε (Κύριε).
86. Πᾶσαι αἱ ἐντολαί σε ἀλήθεια·
Ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι.
87. Παραβραχὺ συνετέλεσάν με ἐν τῆ γῆ·
Ἐγὼ δὲ οὐκ ἐγκατέλειπον τὰς ἐντολάς σε.
88. Κατὰ τὸ ἔλεός σε ζῆσόν με,
Καὶ φυλάξω τὰ μαρτύρια τῆ στόματός σε.
89. Εἰς τὸν αἰῶνα Κύριε ὁ λόγος σε διαμένει ἐν τῷ οὐρανῷ.
90. Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σε·
Ἐθεμελίωσας τὴν γῆν, καὶ διαμενεῖ.
91. Τῆ διατάξει σε διαμένει ἡ ἡμέρα·
Ὅτι τὰ σύμπαντα δοῦλα σά.
92. Εἰ μὴ ὅτι ὁ νόμος σε μελέτη με ÷ ἐστί",
Τότε ἂν ἀπωλόμην ἐν τῆ ταπεινώσει με·
93. Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σε,
Ὅτι ἐν αὐτοῖς ἔζησάς με.
94. Σός εἰμι ἐγὼ, σῶσόν με·
Ὅτι τὰ δικαιώματά σε ἐξεζήτησα.
95. Ἐμὲ

ζῆσον με

V. 72. Ἀγαθὸν) ἀγαθὸς. V. 77. Ἐλθάτωσαν) ἐλθέτωσαν. ibid. ζῆσόν με) ζήσομαι. V. 81. Εἰς τὸν λόγον) εἰς τὰς λόγως. V. 82. Supplem. minori charact. expressa habet *Edit. Rom.* V. 83. ὥσει) ὡς. V. 91. ἡ ἡμέρα) ἡμέρα.

95. Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με·
Τὰ μαρτύριά σε συνῆκα.
96. Πάσης συντελείας εἶδον πέρας·
Πλατεῖα ἡ ἐντολή σε σφόδρα.
97. Ὡς ἠγάπησα τὸν νόμον σε ÷ Κύριε·
Ὅλην τὴν ἡμέραν μελέτη μέ ἐστίν.
98. Ὑπὲρ τοὺς ἐχθρούς με ἐσόφισάς με τὴν ἐντολήν σε,
Ὅτι εἰς τὸν αἰῶνα μοί ἐστιν.
99. Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα,
Ὅτι τὰ μαρτύριά σε μελέτη μέ ÷ ἐστίν.
100. Ὑπὲρ πρεσβυτέρους συνῆκα.
Ὅτι τὰς ἐντολάς σε ἐξεζήτησα.
101. Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου,
Ὅπως ἂν φυλάξω τοὺς λόγους σου.
102. Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα,
Ὅτι σὺ ἐνομοθέτησάς με.
γλυκῖα 103. Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου,
Ὑπὲρ μέλι τῷ στόματί μου.
104. Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα·
Διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας.
(Ὅτι σὺ ἐνομοθέτησάς με)
105. Λύχνος τοῖς ποσί μου ὁ νόμος σου,
Καὶ φῶς τοῖς τρίβοις μου.
106. Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου.
107. Ἐταπεινώθην ἕως σφόδρα·
Κύριε ζῆσόν με κατὰ τὸν λόγον σου.
108. Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δὴ Κύριε,
Καὶ τὰ κρίματά σου δίδαξόν με.
109. Ἡ ψυχή μου ἐν ταῖς χερσί μου διαπαντός·
Καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.
110. Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι·
Καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην.
111. Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα,
Ὅτι ἀγαλλίαμα τῆς καρδίας μου εἰσίν·
112. Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου
Εἰς τὸν αἰῶνα διʼ ἀντάμειψιν.
113. Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα.
114. Βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σύ·
Εἰς τοὺς λόγους σου ἐφήλπισα.
115. Ἐκκλίνατε ἀπʼ ἐμοῦ πονηρευόμενοι,
Καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου.
116. Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου, καὶ ζήσομαι· ζῆσόν με
Καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου·
117. Βοήθησόν μοι, καὶ σωθήσομαι,
Καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός.
118. Ἐξουδένωσας πάντας τοὺς ἀποσατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου,
Ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν.
119. Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς·
Διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου.
120. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου·
Ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην.
121. Ἐποίη-

v. 98. μοί ἐστιν.) ἐμή ἐστιν. v. 103. γλυκῖα) γλυκέα. v. 104. (Ὅτι σὺ ἐνομοθέτησάς με) hæc verba desunt. v. 109. χερσί μου) χερσί σου.

121. Ἐποίησα κρῖμα καὶ δικαιοσύνην·
Μὴ παραδῷς με τοῖς ἀδικοῦσί με.
122. Ἔκδεξαι τὸν δοῦλόν σε εἰς ἀγαθόν·
Μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι.
123. Οἱ ὀφθαλμοί μου ἐξέλειπον εἰς τὸ σωτήριόν σε,
Καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σε·
124. Ποίησον μετὰ τοῦ δούλου σε (Κύριε) κατὰ τὸ ἔλεός σε, λόγιον
Καὶ τὰ δικαιώματά σε δίδαξόν με.
125. Δοῦλός σε ÷ εἰμὶ" ἐγώ· συνέτισόν με,
Καὶ γνώσομαι τὰ μαρτύριά σε.
126. Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ·
Διεσκέδασαν τὸν νόμον σε.
127. Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σε
Ὑπὲρ τὸ χρυσίον καὶ τοπάζιον·
128. Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σε κατωρθέμην,
Πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.
129. Θαυμαστὰ τὰ μαρτύριά σε·
Διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου.
130. Ἡ δήλωσις τῶν λόγων σε φωτιεῖ καὶ συνετιεῖ νηπίους.
131. Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα,
Ὅτι τὰς ἐντολάς σε ἐπεπόθην·
132. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με,
Κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σε.
133. Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σε,
Καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία·
134. Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων,
Καὶ φυλάξω τὰς ἐντολάς σε.
135. Τὸ πρόσωπόν σε ἐπίφανον ἐπὶ τὸν δοῦλόν σε,
Καὶ δίδαξόν με τὰ δικαιώματά σε.
136. Διεξόδους ὑδάτων κατεβίβασαν οἱ ὀφθαλμοί μου, διέβησαν
Ἐπεὶ οὐκ ἐφύλαξαν τὸν νόμον σε. ἐφύλαξα
137. Δίκαιος εἶ Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σε·
138. Ἐνετείλω δικαιοσύνην, τὰ μαρτύριά σε,
Καὶ ἀλήθειαν σφόδρα.
139. Ἐξέτηξέ με ὁ ζῆλός μου· τοῦ οἴκου σου
Ὅτι ἐπελάθοντο τῶν λόγων σε οἱ ἐχθροί μου. ἐντολῶν
140. Πεπυρωμένον τὸ λόγιόν σε σφόδρα·
Καὶ ὁ δοῦλός σε ἠγάπησεν αὐτό.
141. Νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος·
Τὰ δικαιώματά σε οὐκ ἐπελαθόμην.
142. Ἡ δικαιοσύνη σε δικαιοσύνη εἰς τὸν αἰῶνα,
Καὶ ὁ νόμος σε ἀλήθεια.
143. Θλίψεις καὶ ἀνάγκαι εὗρόσαν με·
Αἱ ἐντολαί σε μελέτη μου.
144. Δικαιοσύνη τὰ μαρτύριά σε εἰς τὸν αἰῶνα·
Συνέτισόν με, καὶ ζήσομαι. ζῆσόν με
145. Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ ÷ μου", ἐπάκουσόν μου Κύριε·
Τὰ δικαιώματά σε ἐκζητήσω.
146. Ἐκέκραξά σε, σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σε.

147. Προ-

V. 122. Ἔκδεξαι) ἔνδεξαι. V. 124. (Κύριε) abeſt. ibid. κατὰ τὸ λόγιόν σε) κατὰ τὸ ἔλεός σε. V. 127. Ὑπὲρ τὸ χρύσιον) ὑπὲρ χρυσίον. V. 136. διέβησαν) κατέβησαν. V. 139. ζῆλος τοῦ οἴκου σε) ζῆλός σε. ibid. τῶν ἐντολῶν) τῶν λόγων. V. 143. Αἱ ἐντολαί) ἐντολαί. V. 144. ζῆσόν με) ζήσομαι. V. 146. Ἐκέκραξά σε) ἐκέκραξά σοι.

147. Προέφθασα ἐν ὠρίᾳ, καὶ ἐκέκραξα·
Εἰς τὰς λόγους σε ἐφήλπισα.
148. Προέφθασαν οἱ ὀφθαλμοί με ÷ πρὸς" ὄρθρον,
Τοῦ μελετᾶν τὰ λόγιά σε.
149. Τῆς φωνῆς με ἄκουσον Κύριε κατὰ τὸ ἔλεός σε·
Κατὰ τὸ κρῖμά σε ζῆσόν με.
150. Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ·
Ἀπὸ ÷ δὲ" τοῦ νόμε σε ἐμακρύνθησαν.
151. Ἐγγὺς εἶ σὺ Κύριε, καὶ πᾶσαι αἱ ἐντολαί σε ἀλήθεια.
152. Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σε,
Ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.
153. Ἴδε τὴν ταπείνωσίν με, καὶ ἐξελοῦ με·
Ὅτι τοῦ νόμε σε οὐκ ἐπελαθόμην.
154. Κρῖνον τὴν κρίσιν με, καὶ λύτρωσαί με·
Διὰ τὸν λόγον σε ζῆσόν με.
155. Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία,
Ὅτι τὰ δικαιώματά σε οὐκ ἐξεζήτησαν.
156. Οἱ οἰκτιρμοί σε πολλοὶ Κύριε·
Κατὰ τὸ κρῖμά σε ζῆσόν με.
157. Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ ἐκθλίβοντές με·
Ἐκ τῶν μαρτυρίων σε οὐκ ἐξέκλινα.
158. Ἴδον ἀσυνθετοῦντας καὶ ἐξετηκόμην· ἀσυνελοῦντας
Ὅτι τὰ λόγιά σε οὐκ ἐφυλάξαντο.
159. Ἴδε ὅτι τὰς ἐντολάς σε ἠγάπησα·
Κύριε ἐν τῷ ἐλέει σε ζῆσόν με.
160. Ἀρχὴ τῶν λόγων σε ἀλήθεια·
Καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σε.
161. Ἄρχοντες κατεδίωξάν με δωρεάν·
Καὶ ἀπὸ τῶν λόγων σε ἐδειλίασεν ἡ καρδία με.
162. Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σε,
Ὡς ὁ εὑρίσκων σκῦλα πολλά.
163. Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην·
Τὸν δὲ νόμον σε ἠγάπησα.
164. Ἑπτάκις τῆς ἡμέρας ἤνεσά σοι
Ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σε·
165. Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σε, τὸ ὄνομα
Καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον.
166. Προσεδόκουν τὸ σωτήριόν σε Κύριε,
Καὶ τὰς ἐντολάς σε ἠγάπησα.
167. Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σε,
Καὶ ἠγάπησεν αὐτὰ σφόδρα.
168. Ἐφύλαξα τὰς ἐντολάς σε καὶ τὰ μαρτύριά σε,
Ὅτι πᾶσαι αἱ ὁδοί με ἐνώπιόν σε (Κύριε).
169. Ἐγγισάτω ἡ δέησίς μου ἐναντίον σε·
Κύριε κατὰ τὸ λόγιόν σε συνέτισόν με.
170. Εἰσέλθοι τὸ αἴτημά μου ἐνώπιόν σε·
Κύριε κατὰ τὸ λόγιόν σε * ῥῦσαί με. κρίμα
171. Ἐξερεύξονται τὰ χείλη μου ὕμνον, * ζῆσον
Ὅταν διδάξῃς με τὰ δικαιώματά σε.
172. Φθέγ-

v. 151. εἶ σὺ Κύριε) εἶ κύριε. ibid. αἱ ἐντολαὶ) αἱ ὁδοί. v. 157. ἐκθλίβοντες) θλίβοντες. v. 164. ἤνεσά σοι) ἤνεσά σε. v. 165. τὸ ὄνομά σε) τὸν νόμον σε. v. 166. Προσεδόκουν) προσεδόκων. v. 168. ἐνώπιον) ἐναντίον. 169. Ἐγγισάτω) ἐγγυσάτω. ibid. ἐναντίον) ἐνώπιον. v. 170. κατὰ τὸ κρίμα) κατὰ τὸ λόγιον. ibid. ζῆσόν με) ῥῦσαί με. v. 171. Ἐξερεύξονται) ἐξερεύξκιντο.

172. Φθέγξεται ἡ γλῶσσά μου τὸ λόγιόν σου,
Ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη.

173. Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με,
Ὅτι τὰς ἐντολάς σου ἡρετισάμην.

174. Ἐπεπόθησα τὸ σωτήριόν σου Κύριε,
Καὶ ὁ νόμος σου μελέτη μου ÷ ἐστί".

175. Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέσει σε·
Καὶ τὰ κρίματά σου βοηθήσει μοι.

176. Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός·
Ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

ΨΑΛΜ. ΡΙΘ'. CXIX.

Ὠδὴ τῶν ἀναβαθμῶν.
Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου.

2. Κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων,
÷ Καὶ" ἀπὸ γλώσσης δολίας.

3. Τί δοθείη σοι καὶ τί προσεθείη σοι πρὸς γλῶσσαν δολίαν;

4. Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα,
Σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς.

5. Οἴμμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη,
Κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ·

6. Πολλὰ παῳκήσεν ἡ ψυχή μου.
Μετὰ τῶν μισούντων εἰρήνην 7. ἤμην εἰρηνικός·
Ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με ÷ δωρεάν".

ΨΑΛΜ. ΡΚ'. CXX.

Ὠδὴ τῶν ἀναβαθμῶν.
Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, πόθεν ἥξει ἡ βοήθειά μου.

2. Ἡ βοήθειά μου παρὰ Κυρίου,
Τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

3. Μὴ δῴη εἰς σάλον τὸν πόδα σου, δώῃς
Μηδὲ νυστάξει ὁ φυλάσσων σε·

4. Ἰδοὺ οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ.

5. Κύριος φυλάξει σε, Κύριος σκέπη σου ἐπὶ χεῖρα δεξιάν σου· δεξιᾶς

6. Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε,
Οὐδὲ ἡ σελήνη τὴν νύκτα.

7. Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ,
Φυλάξει τὴν ψυχήν σου ÷ ὁ Κύριος"·

8. Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου,
Ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

ΨΑΛΜ. ΡΚΑ'. CXXI.

Ὠδὴ τῶν ἀναβαθμῶν.
Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι·
Εἰς οἶκον Κυρίου πορευσόμεθα·

2. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν
Ἐν ταῖς αὐλαῖς σου ※ Ἰερουσαλήμ".

3. Ἰερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις,
Ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό. οἱ μέτοχοι

4. Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί,
Αἱ φυλαὶ Κυρίου, μαρτύριον τῷ Ἰσραὴλ,
Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου·

5. Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν,

v. 172. Φθέγξεται) Φθέγξαιτο. ibid. τὸ λόγιόν σου) τὰ λόγιά σου. Psalm. CXIX. v. 6. εἰρήνην) τὴν εἰρήνην. Psalm. CXX. v. 1. πόθεν) ὅθεν. v. 3. νυστάξει) νυστάξῃ. v. 5. δεξιᾶς) δεξιάν. v. 7. Φυλάξει σε) Φυλάξαι σε. Psalm. CXXI. v. 3. οἱ μετοχοὶ) ἡ μετοχή. v. 4. Αἱ φυλαὶ Κυρίου) Φυλαὶ κυρίου.

Θρόνοι ÷ ἐπ'" οἶκον Δαυίδ.
6. Ἐρωτήσατε (δὴ) ÷ τὰ εἰς" εἰρήνην τὴν Ἰερυσαλήμ·
Καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε·
7. Γενέθω (δὲ) εἰρήνη ἐν τῇ δυνάμει σου,
÷ Καὶ" εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου.
8. Ἕνεκεν τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου
δὲ Ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ·
9. Ἕνεκεν τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐξεζήτησα ἀγαθά σοι.

ΨΑΛΜ. ΡΚΒ'. CXXII.

Ὠδὴ τῶν ἀναβαθμῶν.
Πρὸς σὲ ἦρα τὰς ὀφθαλμές μου,
Τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ.
2. Ἰδὲ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν,
Ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς.
Οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν,
Ἕως ἂ οἰκτειρήσαι ἡμᾶς.
3. Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς,
Ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως·
4. Ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν·
Τὸ ὄνειδος τοῖς εὐθηνοῦσι,
Καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

ΨΑΛΜ. ΡΚΓ'. CXXIII.

Ὠδὴ τῶν ἀναβαθμῶν.
Εἰ μὴ ÷ ὅτι" Κύριος ἦν ἐν ἡμῖν,
Εἰπάτω δὴ Ἰσραήλ· 2. εἰ μὴ ÷ ὅτι" Κύριος ἦν ἐν ἡμῖν,
Ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς,
3. Ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς,
Ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς·
4. Ἄρα τὸ ὕδωρ κατεπόντισεν ἡμᾶς,
Χειμαῤῥοῦν διῆλθεν ἡ ψυχὴ ἡμῶν·
5. Ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον.
6. Εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς
Εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν.
7. Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύσθη
Ἐκ τῆς παγίδος τῶν θηρευόντων·
Ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐῤῥύσθημεν.
8. Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίε,
Τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

ΨΑΛΜ. ΡΚΔ'. CXXIV.

Ὠδὴ τῶν ἀναβαθμῶν.
Οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ὄρος Σιών·
Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα
Ὁ κατοικῶν Ἰερουσαλήμ.
2. Ὄρη κύκλῳ αὐτῆς·
Καὶ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ,
Ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.
3. Ὅτι ἐκ ἀφήσει τὴν ῥάβδον τῶν ἁμαρτωλῶν
Ἐπὶ τὸν κλῆρον τῶν δικαίων,
Ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίᾳ χεῖρας αὐτῶν.
4. Ἀγάθυνον Κύριε τοῖς ἀγαθοῖς,
Καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ.

5. Τοὺς

v. 5. ἐπ' οἶκον) ἐπὶ οἶκον. v. 7. Γενέθω δὲ) γενέθω δή. v. 8. Ἕνεκεν) ἕνεκα. ibid. ἐλάλουν δὲ) ἐλάλουν δή. v. 9. Ἕνεκεν) ἕνεκα. ibid. ἀγαθὰ) addit σοι. Psalm. CXXIII. v. 4. ὕδωρ) addit ἄν. Psalm. CXXIV. v. 2. Καὶ Κύριος) καὶ ὁ κύριος. v. 3. ἀφήσει) adjicit Κύριος. ibid. ἐν ἀνομίᾳ) ἐν ἀνομίαις.

5. Τὲς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς
Ἀπάξει Κύριος μελὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν·
Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

ΨΑΛΜ. ΡΚΕ'. CXXV.

ΩΔὴ τῶν ἀναβαθμῶν.
Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιὼν,
Ἐγενήθημεν ὡς παρακεκλημένοι.
2. Τότε ἐπλήθη χαρᾶς τὸ στόμα ἡμῶν,
Καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως·
Τότε ἐρέσιν ἐν τοῖς ἔθνεσιν·
Ἐμεγάλυνε Κύριος τὲ ποιῆσαι μετ' αὐτῶν.
3. Ἐμεγάλυνε Κύριος τὲ ποιῆσαι μεθ' ἡμῶν·
Ἐγενήθημεν εὐφραινόμενοι.
4. Ἐπίστρεψον Κύριε τὴν αἰχμαλωσίαν ἡμῶν·
Ὡς (ὁ) χειμάῤῥους ἐν τῷ Νότῳ.
5. Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θερίσουσι·
6. Πορευόμενοι ἐπορεύοντο καὶ ἔκλαιον,
Αἴροντες τὰ σπέρματα αὐτῶν·
Ἐρχόμενοι ÷ δὲ ἥξουσιν ἐν ἀγαλλιάσει,
Αἴροντες τὰ δράγματα αὐτῶν.

ΨΑΛΜ. ΡΚϛ'. CXXVI.

ΩΔὴ τῶν ἀναβαθμῶν τὲ Σαλομῶνος.
Ἐὰν μὴ ὁ Κύριος οἰκοδομήσῃ οἶκον,
Εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν·
Ἐὰν μὴ ὁ Κύριος φυλάξῃ πόλιν,
Εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων.
2. Εἰς μάτην ὑμῖν ἐστι τὲ ὀρθρίζειν
Ἐγείρεσθαι μετὰ τὸ καθῆσθαι,
Οἱ ἔδοντες ἄρτον ὀδύνης·
Ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτὲ ὕπνον.
3. Ἰδὲ ἡ κληρονομία Κυρίε υἱοὶ,
Ὁ μισθὸς τὲ καρπὲ τῆς γαστρός.
4. Ὡσει βέλη ἐν χειρὶ δυνατὲ,
Οὕτως οἱ υἱοὶ τῶν ἐκλετιναγμένων.
5. Μακάριος ἄνθρωπος ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτὲ ἐξ αὐτῶν·
Οὐ καταισχυνθῶσιν, ὅταν λαλῶσι τοῖς ἐχθροῖς ÷ αὐτῶν" ἐν πύλῃ.

ΨΑΛΜ. ΡΚΖ'. CXXVII.

ΩΔὴ τῶν ἀναβαθμῶν.
Μακάριοι πάντες οἱ φοβέμενοι τὸν Κύριον,
Οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτὲ·
2. Τοὺς πόνες τῶν * καρπῶν σε ※ ὅτι φάγεσαι, καρπὲς * πόνων
Μακάριος εἶ, καὶ καλῶς σοι ἔσαι.
3. Ἡ γυνή σε ὡς ἄμπελος εὐθηνέσα
Ἐν τοῖς κλίτεσι τῆς οἰκίας σε·
Οἱ υἱοί σε ὡς νεόφυτα ἐλαιῶν
Κύκλω τῆς τραπέζης σε.
4. Ἰδὲ ἔτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβέμενος τὸν Κύριον.
5. Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν, εὐλογήσει
Καὶ ἴδοις τὰ ἀγαθὰ Ἰερουσαλὴμ
Πάσας τὰς ἡμέρας τῆς ζωῆς σε,

Psalm. CXXV. v. 1. ὡς) ὡσεὶ. v. 4. (ὁ) deest. v. 6. Αἴροντες) βάλλοντες. Psalm. CXXVI. v. 1. Ἐὰν μὴ ὁ Κύριος) ἐὰν μὴ κύριος. ibid. οἰκοδομοῦντες αὐτόν) αὐτὸν deest. ib. ὁ Κύριος) κύριος. v. 2. τὲ ὀρθρίζειν) τὸ ὀρθρίζειν. ibid. Ἐγείρεσθαι) ἐγείρεσθε. ib. ἔδοντες) ἐδίοντες. v. 5. ἄνθρωπος) deest. ibid. καταισχυνθῶσιν) καταισχυνθήσονται. ib. ἐν πύλῃ) ἐν πύλαις. Psalm. CXXVII. v. 2. Τοὺς κάρπας τῶν πόνων) τὲς πόνους τῶν καρπῶν. v. 3. Ἐν τοῖς κλ.) ἐν ταῖς κλήτεσι. v. 5. εὐλογήσει) εὐλογήσαι.

6. Καὶ ἴδοις υἱὲς τῶν υἱῶν σε·
Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

ΨΑΛΜ. ΡΚΗ'. CXXVIII.

Ὠδὴ τῶν ἀναβαθμῶν.
Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου,
Εἰπάτω δὴ Ἰσραήλ· 2. πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός με,
Καὶ γὰρ ἐκ ἐδυνήθησάν μοι.
3. Ἐπὶ τῷ νώτῳ μα ἐτέκλαιον οἱ ἁμαρτωλοί·
Ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν.
4. Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν.
5. Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών·
6. Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, Ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη·
7. Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων,
Καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων·
8. Καὶ οὐκ εἶπαν οἱ παράγοντες· εὐλογία Κυρίου ἐφ' ὑμᾶς,
Εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου.

ΨΑΛΜ. ΡΚΘ'. CXXIX.

Ὠδὴ τῶν ἀναβαθμῶν.
Ἐκ βαθέων ἐκέκραξά σε Κύριε.
2. Κύριε εἰσάκουσον τῆς φωνῆς μου,
προσευχῆς Γενηθήτω τὰ ὦτά σου προσέχοντα
Εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.
3. Ἐὰν ἀνομίας παρατηρήσῃς Κύριε, παραλη-
Κύριε τίς ὑποστήσεται; ρήσῃ
4. Ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν,
Ἕνεκεν τοῦ νόμα σου ς. ὑπέμεινά σε ὀνόμαλος
Κύριε,
Ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου·
6. Ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον,
Ἀπὸ φυλακῆς πρωΐας καὶ μέχρι νυκτός.
(Ἀπὸ φυλακῆς πρωΐας) ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον·
7. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος (ἐστιν),
Καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις·
8. Καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ
Ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

ΨΑΛΜ. ΡΛ'. CXXX.

Ὠδὴ τῶν ἀναβαθμῶν ※ τῷ Δαυίδ.
Κύριε οὐχ ὑψώθη μου ἡ καρδία,
Οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου·
Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις,
Οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ.
2. Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ἐταπει-
καρδίαν μου, νοφρουν
Ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ,
Ὡς ἀνταπόδοσις ἐπὶ τὴν ψυχήν μου. ἀνταπο-
3. Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, δόσεις
Ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

ΨΑΛΜ.

Psalm. CXXVIII. v. 3. Ἐπὶ τῷ νώτῳ) ἐπὶ τὸν νῶτον μα. Psalm. CXXIX. v. 1. ἐκέκραξά σε) ἐκέκραξά σοι. v. 2. τῆς προσευχῆς) τῆς φωνῆς. v. 3. παρατηρήσῃ) παρατηρήσης. v. 6. καὶ μέχρι) καὶ deest. ibid. (Ἀπὸ φυλακῆς πρωΐας) hæc verba desunt. v. 7. (ἐστιν) deest. Psal. CXXX. v. 1. τῷ Δαυίδ.) non habet. ibid. μα ἡ καρδία) transposita. v. 2. ἐταπεινοφρόνουν) ἐταπεινοφρόνουν. ibid. τὴν καρδίαν μου) τὴν ψυχήν μου. ib. ἀνταποδόσεις) ἀνταποδώσεις.

ΨΑΛΜ. ΡΛΑ'. CXXXI.

Ὠδὴ τῶν ἀναβαθμῶν.
Μνήσθητι Κύριε τῦ Δαυὶδ,
Καὶ πάσης τῆς πραΰτητος αὐτῦ·
2. Ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ·
3. Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκε μου,
Εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου,
4. Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς με,
Καὶ τοῖς βλεφάροις μου νυσταγμὸν,
÷ Καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου",
5. Ἕως ἃ εὕρω τόπον τῷ Κυρίῳ,
Σκήνωμα τῷ Θεῷ Ἰακώβ.
6. Ἰδὲ ἠκέσαμεν αὐτὴν ἐν Εὐφραθὰ,
Εὕραμεν αὐτὴν ἐν τοῖς δάσεσι τῦ δρυμῦ·
τὰ σκηνώματα 7. Εἰσελευσώμεθα εἰς τὸ σκήνωμα αὐτῦ,
Προσκυνήσωμεν εἰς τόπον ἃ ἔστησαν οἱ πόδες αὐτῦ·
8. Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σε,
Σὺ καὶ ἡ κιβωτὸς τῦ ἁγιάσματός σε.
9. Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην,
Καὶ οἱ ὅσιοί σου (ἀγαλλιάσει) ἀγαλλιάσονται.
10. Ἕνεκεν Δαυὶδ τῦ δέλου σου,
Μὴ ἀποστρέψῃς τὸ πρόσωπον τῦ χριστῦ σου.
11. Ὤμοσε Κύριος τῷ Δαυὶδ ἀλήθειαν,
αὐτὸν ÷ Καὶ" ἃ μὴ ἀθετήσει αὐτήν·
Ἐκ καρπῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σε.
12. Ἐὰν φυλάξωνται υἱοί σου τὴν διαθήκην μου,
Καὶ τὰ μαρτύριά μου ταῦτα ἃ διδάξω αὐτὲς,
Καὶ οἱ υἱοὶ αὐτῶν καθιῦνται ἕως τῦ αἰῶνος ἐπὶ τῦ θρόνε σου.
13. Ὅτι (ἐκεῖ) ἐξελέξατο Κύριος τὴν Σιὼν,
Ἠρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ·
14. Αὕτη ἡ κατάπαυσίς με εἰς αἰῶνα ÷ αἰῶνος",
Ὧδε κατοικήσω, ὅτι ἡρετισάμην αὐτήν.
15. Τὴν θήραν αὐτῆς εὐλογῶν εὐλογήσω, χήραν
Τὲς πτωχὲς αὐτῆς χορτάσω ἄρτων·
16. Τὲς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν,
Καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται.
17. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαυὶδ,
Ἡτοίμασα τῷ χριστῷ μου λύχνον· ἡτοίμασας
18. Τὲς ἐχθρὲς αὐτῦ ἐνδύσω αἰσχύνην,
Ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

ΨΑΛΜ. ΡΛΒ'. CXXXII.

Ὠδὴ τῶν ἀναβαθμῶν, ※ τῷ Δαυίδ.
Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν,
Ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφὲς ἐπὶ τὸ αὐτό;
2. Ὡς μῦρον ἐπὶ κεφαλὴν, τὸ καταβαῖνον ἐπὶ πώγωνα,
Τὸν πώγωνα τὸν Ἀαρὼν,

Τὸ

Psalm. CXXXI. v. 1. πραΰτητος) πραότητος. v. 6. Εὐφραθὰ) ἐφραθὰ. ibid. Εὕραμεν) εὕρομεν. ib. τοῖς δάσεσι) τοῖς πεδίοις. v. 7. εἰς τόπον) εἰς τὸν τόπον. v. 9. (ἀγαλλιάσει) deest. v. 11. ἀθετήσει αὐτὸν) ἀθετήσει αὐτήν. ibid. ἐπὶ τὸν θρόνον) ἐπὶ τοῦ θρόνου. v. 12. υἱοί σε) οἱ υἱοί σε. ibid. καθιῦνται ἕως τοῦ αἰῶνος) transposita. v. 13. (ἐκεῖ) abest. v. 15. τὴν χήραν) τὴν θήραν. v. 17. ἡτοίμασας τῷ χριστῷ με λύχνον.) ἡτοίμασα λύχνον τῷ χριστῷ με. Psalm. CXXXII. v. 1. τῷ Δαυὶδ) abest. v. 2. ἐπὶ κεφαλὴν) ἐπὶ κεφαλῆς.

Τὸ καταβαῖνον ἐπὶ τὴν ὥαν τῦ ἐνδύματος αὐτῦ·
3. Ὡς δρόσος Ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών.
Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν αὐτῦ
÷ Καὶ ζωὴν ἕως τῦ αἰῶνος.

ΨΑΛΜ. ΡΛΓ'. CXXXIII.

Ὠδὴ τῶν ἀναβαθμῶν.
Ἰδοὺ ÷ δὴ" εὐλογεῖτε τὸν Κύριον
Πάντες οἱ δῦλοι Κυρίυ,
Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίυ,
÷ Ἐν αὐλαῖς οἴκυ Θεῦ ἡμῶν".
2. Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια,
Καὶ εὐλογεῖτε τὸν Κύριον.
3. Εὐλογήσαι σε Κύριος ἐκ Σιών,
Ὁ ποιήσας τὸν ἐρανὸν καὶ τὴν γῆν.

ΨΑΛΜ. ΡΛΔ'. CXXXIV.

Ἀλληλεϊα.
Αἰνεῖτε τὸ ὄνομα Κυρίυ,
Αἰνεῖτε δῦλοι Κύριον,
2. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίυ,
Ἐν αὐλαῖς οἴκυ Θεῦ ἡμῶν.
3. Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς Κύριος·
Ψάλατε τῷ ὀνόματι αὐτῦ, ὅτι ἡδύ·
4. Ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ Κύριος,
Ἰσραὴλ εἰς περιϱσιασμὸν αὐτῦ.
5. Ὅτι ἐγὼ ἔγνων, ὅτι μέγας Κύριος,
Καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τὸς Θεύς·
6. Πάντα ὅσα ἠθέλησεν ὁ Κύριος, ἐποίησεν
Ἐν τῷ ἐρανῷ καὶ ἐν τῇ γῇ,
Ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις.
7. Ἀνάγων νεφέλας ἐξ ἐσχάτυ τῆς γῆς,
Ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν·
÷ Ὁ" ἐξάγων ἀνέμυς ἐκ θησαυρῶν αὐτῦ.
8. Ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτυ,
Ἀπὸ ἀνθρώπυ ἕως κτήνυς·
9. Ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ συ Αἴγυπτε,
Ἐν Φαραῷ καὶ ἐν πᾶσι τοῖς δύλοις αὐτῦ.
10. Ὃς ἐπάταξεν ἔθνη πολλὰ,
Καὶ ἀπέκτεινε βασιλεῖς κραταιύς·
11. Τὸν Σηὼν βασιλέα τῶν Ἀμορῤαίων,
Καὶ τὸν Ὤγ βασιλέα τῆς Βασαὰν,
Καὶ πάσας τὰς βασιλείας Χαναάν·
12. Καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν,
Κληρονομίαν τῷ Ἰσραὴλ λαῷ αὐτῦ. δύλῳ
13. Κύριε τὸ ὄνομά συ εἰς τὸν αἰῶνα,
Κύριε τὸ μνημόσυνόν συ εἰς γενεὰν καὶ γενεάν·
14. Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτῦ,
Καὶ ἐπὶ τοῖς δύλοις αὐτῦ παρακληθήσεται.
15. Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον, καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων·
16. Στόμα ἔχουσι, καὶ ὐ λαλήσουσιν·
Ὀφθαλμοὺς ἔχουσι, καὶ ὐκ ὄψονται·
17. Ὦτα ἔχουσι, καὶ ὐκ ἐνωτιθήσονται· ἀκύσονται
(Ῥῖνας ἔχουσι, καὶ ὐκ ὀσφρανθήσονται·)
(Χεῖρας ἔχουσι, καὶ ὐ ψηλαφήσουσι·)

(Πόδας

V. 3. εὐλογίαν αὐτοῦ Καὶ ζωὴν) εὐλογίαν ζωὴν. Psalm. CXXXIV. v. 3. ὅτι ἡδύ.) ὅτι καλόν. v. 4. αὐτοῦ) ἑαυτῷ. v. 5. ἔγνων) ἔγνωκα. ibid. Κύριος) ὁ κύριος. v. 6. καὶ ἐν ταῖς) καὶ ἐν πάσαις ταῖς. v. 12. δύλῳ αὐτοῦ.) λαῷ αὐτοῦ. v. 13. Κύριε τὸ μνημ.) καὶ τὸ μνημόσυνον. v. 17. ἀκύσονται) ἐνωτιθήσονται. ibid. Quatuor ſtichi uncis incluſi non habentur in *Edit. Rom.*

(Πόδας ἔχουσι, καὶ ὲ περιπαλήσουσιν·)
(Οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν·)
Οὐδὲ γάρ ἐστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν.

18. Ὅμοιοι αὐτοῖς γένοιντο (πάντες) οἱ ποιοῦντες αὐτὰ,
Καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς.

19. Οἶκος Ἰσραὴλ εὐλογήσατε τὸν Κύριον·
Οἶκος Ἀαρὼν εὐλογήσατε τὸν Κύριον·

20. Οἶκος Λευεὶ εὐλογήσατε τὸν Κύριον·
Οἱ φοβέμενοι τὸν Κύριον εὐλογήσατε τὸν Κύριον.

21. Εὐλογητὸς Κύριος ἐκ Σιὼν,
Ὁ κατοικῶν Ἰερουσαλήμ.

ΨΑΛΜ. ΡΛΕ'. CXXXV.

Ἀλληλέϊα.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

2. Ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

3. Ἐξομολογεῖσθε τῷ Κυρίῳ τῶν Κυρίων·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

4. Τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

5. Τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

6. Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

7. Τῷ ποιήσαντι φῶτα μεγάλα (μόνῳ)·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

8. Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

9. Τὴν σελήνην καὶ τὰ ἄστρα εἰς ἐξουσίαν τῆς νυκτός·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

10. Τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

11. Καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῶν·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

12. Ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

13. Τῷ καταδιελόντι τὴν ἐρυθρὰν Θάλασσαν εἰς διαιρέσεις·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

14. Καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

15. Καὶ τῷ ἐκτινάξαντι Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς Θάλασσαν ἐρυθράν·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

16. Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

17. Τῷ πατάξαντι βασιλεῖς μεγάλους·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

18. Καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

19. Τὸν Σηὼν βασιλέα τῶν Ἀμορῥαίων·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

20. Καὶ τὸν Ὼγ βασιλέα τῆς Βασάν·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

21. Καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν·
Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·

v. 18. (πάντες) abeſt. v. 21. ἐκ Σιὼν) ἐν Σιών. v. 9. τὰ ἄστρα) τοὺς ἀστέρας. v. 15. τῷ ἐκτιν.) καὶ ἐκτινάξαντι.
Pſalm. CXXXV. v. 1. ὅτι χρηστὸς) ὅτι ἀγαθὸς.

22. Κληρονομίαν Ἰσραὴλ δέλῳ αὐτοῦ·
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
23. ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν (ὁ Κύριος)·
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
24. καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν·
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
25. Ὁ διδοὺς τροφὴν πάσῃ σαρκί·
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
κυρίῳ 26. Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ·
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

ΨΑΛΜ. ΡΛϛ'. CXXXVI.

Τῷ Δαυὶδ".
Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος,
Ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν,
Ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών·
2. Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς (ἐκεῖ)
ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν.
3. ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύοντες ἡμᾶς λόγους ᾠδῶν,
Καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕμνον·
Ἄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών.
4. Πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;
5. Ἐὰν ἐπιλάθωμαί σου Ἰερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου·
6. Κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ,
Ἐὰν μὴ προαναταξώμαι τὴν Ἰερουσαλὴμ ἐν ἀρχῇ τῆς εὐφροσύνης μου.
7. Μνήσθητι Κύριε τῶν υἱῶν Ἐδὼμ τὴν ἡμέραν Ἰερουσαλήμ,
Τῶν λεγόντων· ἐκκενοῦτε, ἐκκενοῦτε, ἕως ἐν ὁ θεμέλιος ἐν αὐτῇ.
8. Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος,
Μακάριος ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν·
9. Μακάριος ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν.

ΨΑΛΜ. ΡΛΖ'. CXXXVII.

Τῷ Δαυὶδ, (Ζαχαρίου).
Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου,
÷ Καὶ" ἐναντίον ἀγγέλων ψαλῶ σοι·
2. Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου,
Καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου
Ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου·
ὅτι ἐμεγάλυνας ἐπὶ ※ πᾶν τὸ ὄνομά σου τὸ λόγιόν σου. πάντας ἅγιον
3. Ἐν ÷ ᾗ ἂν" ἡμέρᾳ ἐπικαλέσωμαί ÷ σε" (ταχὺ) ἐπάκουσόν μου·
Πολυωρήσεις με ἐν ψυχῇ μου (ἐν) δυνάμει.
4. Ἐξομολογησάσθωσάν σοι Κύριε πάντες οἱ βασιλεῖς τῆς γῆς,
ὅτι ἤκουσαν ÷ πάντα" τὰ ῥήματα τοῦ στόματός σου·
5. Καὶ ᾄσάτωσαν ἐν ταῖς ὁδοῖς Κυρίου,
ὅτι μεγάλη ἡ δόξα Κυρίου·
6. ὅτι ὑψηλὸς Κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ,

Καὶ

v. 26. τῷ Κυρίῳ) τῷ Θεῷ. Psalm. CXXXVI. v. 1. τῷ Δαυὶδ) τῷ Δαυὶδ Ἱερεμίου. v. 2. ἐκεῖ) abest. v. 3. αἰχμαλωτεύοντες) αἰχμαλωτεύσαντες. v. 6. ἐν ἀρχῇ) ὡς ἐν ἀρχῇ. v. 7. ἕως ἐν ὁ θεμέλιος ἐν αὐτῇ) ἕως τῶν θεμελίων αὐτῆς. Psalm. CXXXVII. v. 1. Psalmi Inscriptionem ita refert *Edit. Rom.* Ψαλμὸς τῷ Δαυὶδ ἀγγαίου καὶ ζαχαρίου. ibid. à fine adjicit *Rom*, ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου. v. 2. ἐπὶ πάντας τὸ ὄνομά σου τὸ ἅγιον.) ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου. v. 3. ἐπικαλέσομαι) ἐπικαλέσωμαι. ibid. ἐν δυνάμει) δυνάμει σου.

Καὶ τὰ ὑψηλὰ ἀπομακρόθεν γινώσκει.

7. Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζώσεις
ζωώσεις με·
Ἐπ' ὀργὴν ἐχθρῶν με ἐξέτεινας χεῖράς σε,
Καὶ ἔσωσέ με ἡ δεξιά σε.

8. Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ·
Κύριε τὸ ἔλεός σε εἰς τὸν αἰῶνα·
Τὰ ἔργα τῶν χειρῶν σε μὴ παρίδῃς.

ΨΑΛΜ. ΡΛΗ'. CXXXVIII.

Εἰς τὸ τέλος τῷ Δαυὶδ, ψαλμὸς (Ζαχαρίᾳ ἐν τῇ διασπορᾷ).

Κύριε ἐδοκίμασάς με, καὶ ἔγνως ÷ με".

2. Σὺ ἔγνως τὴν καθέδραν μου καὶ τὴν ἔγερσίν μου,
(Σὺ) συνῆκας τὰς διαλογισμούς με ἀπομακρόθεν·

3. Τὴν τρίβον μου καὶ τὴν χοινόν μου (σὺ) ἐξιχνίασας,
Καὶ πάσας τὰς ὁδούς μου προεῖδες.

4. Ὅτι οὐκ ἔστι λόγος (ἄδικος) ἐν γλώσσῃ μου,
Ἰδοὺ Κύριε ÷ σὺ" ἔγνως πάντα, ϛ. τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα·
÷ Σὺ" ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖράν σε.

6. Ἐθαυμαστώθη ἡ γνῶσίς ÷ σε" ἐξ ἐμοῦ·
Ἐκραταιώθη, ὃ μὴ δύνωμαι πρὸς αὐτήν.

7. Πῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σε;
Καὶ ἀπὸ τοῦ προσώπου σε πῦ φύγω;

8. Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, ÷ σὺ" εἶ ἐκεῖ·
Ἐὰν καταβῶ εἰς τὴν ᾅδην, πάρει·

9. Ἐὰν ἀναλάβω τὰς πτέρυγάς ÷ μου" κατ' ὄρθρον,
÷ Καὶ" κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης,

10. Καὶ γὰρ ἐκεῖ ἡ χείρ σε ὁδηγήσει με,
Καὶ καθέξει με ἡ δεξιά σε.

11. Καὶ εἶπα· ἄρα σκότος καταπατήσει με·
Καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου.

12. Ὅτι τὸ σκότος οὐ σκοτιωθήσεταί ἀπὸ σοῦ,
Καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται·
Ὡς τὸ σκότος αὐτῆς, οὕτως καὶ τὸ φῶς αὐτῆς.

13. Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς με (Κύριε)·
Ἀντελάβου με ἐκ γαστρὸς μητρός με·

14. Ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης·
Θαυμάσια τὰ ἔργα σε, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα.

15. Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ ὃ ἐποίησας ἐν κρυφῇ,
Καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς·

16. Τὸ ἀκατέργαστόν μου εἶδόν σε οἱ ὀφθαλμοί σε, με
Καὶ ἐπὶ τὸ βιβλίον σε πάντες γραφήσονται·

V. 7. ζώσεις με) ζήσεις με. V. 8. Κύριος ἀνταποδώσει) Κύριε ἀνταποδώσεις. Psalm. CXXXVIII. V. 1. τῷ Δαυὶδ, ψαλμὸς) transposita. ibid. (Ζαχαρίᾳ ἐν τῇ διασπορᾷ) desunt. V. 3. (σὺ) deest. V. 8. σὺ εἶ ἐκεῖ) σὺ ἐκεῖ εἶ. V. 9. κατ' ὄρθρον) κατ' ὀρθὸν. V. 12. Ὅτι τὸ σκότος) ὅτι σκότος. ibid. stichum 2. habet *Edit. Rom.* uti hic suppletur. V. 15. ἐν τοῖς κατωτάτοις) ἐν τοῖς κατωτάτῳ. V. 16. stichus 1. in *Edit. Rom.* ita habet: ἀκατέργασόν μου εἶδον οἱ ὀφθαλμοί σου.

Ἡμέρας πλασθήσονται, καὶ ἐθεὶς ἐν αὐτοῖς.

17. Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σε ὁ Θεὸς,
Λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν·

18. Ἐξαριθμήσομαι αὐτὲς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται·
Ἐξεγέρθην, καὶ ἔτι εἰμὶ μετὰ σε.

19. Ἐὰν ἀποκτείνῃς ἁμαρτωλὲς ὁ Θεός·
Ἄνδρες αἱμάτων ἐκκλίνατε ἀπ' ἐμε.

ἐρεῖς 20. Ὅτι ἐρεῖ σε εἰς διαλογισμὸν,
Λήψονται εἰς ματαιότητα τὰς πόλεις σε.

21. Οὐχὶ τὲς μισεντάς σε Κύριε ἐμίσησα;
Καὶ ἐπὶ τοῖς ἐχθροῖς σε ἐξετηκόμην;

22. Τέλειον μῖσος ἐμίσουν αὐτές·

Κύριε Εἰς ἐχθρὲς ἐγένοντό μοι.

23. Δοκίμασόν με ὁ Θεός, καὶ γνῶθι τὴν καρδίαν με·
Ἔτασόν με, καὶ γνῶθι τὰς τρίβες με·

ἢ εἴδες ὁδὸν 24. Καὶ ἴδε, εἰ ὁδὸς ἀνομίας ἐν ἐμοὶ,
Καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ.

ΨΑΛΜ. ΡΛΘ'. CXXXIX.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.

2. Ἐξελε με Κύριε ἐξ ἀνθρώπε πονηρε,
Ἀπὸ ἀνδρὸς ἀδίκε ῥῦσαί με·

ἀδικίαν 3. Οἵτινες ἐλογίσαντο ἀδικίας ἐν καρδίᾳ,
Ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμες·

4. Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως·
Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν.
Διάψαλμα.

5. Φύλαξόν με Κύριε ἐκ χειρὸς ἁμαρτωλε,
Ἀπὸ ἀνθρώπε ἀδίκε ῥῦσαί με·
Οἵτινες ἐλογίσαντο τε ὑποσκελίσαι τὰ διαβήματά με.

6. Ἔκρυψαν ὑπερήφανοι παγίδα μοι,
Καὶ σχοινία διέτειναν παγίδας (τοῖς ποσί με)·
Ἐχόμενα τρίβε σκάνδαλον ἔθεντό μοι.
Διάψαλμα.

7. Εἶπα τῷ Κυρίῳ· Θεός με εἶ σύ·
Ἐνώτισαι Κύριε τὴν φωνὴν τῆς δεήσεώς με.

8. Κύριε Κύριε δύναμις τῆς σωτηρίας με,
Ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν με ἐν ἡμέρᾳ πολέμε·

9. Μὴ παραδῷς με Κύριε ἀπὸ τῆς ἐπιθυμίας ÷ με" ἁμαρτωλῷ·
Διελογίσαντο κατ' ἐμε, μὴ ἐγκαταλείπῃς με, μήποτε ὑψωθῶσιν.
Διάψαλμα.

10. Ἡ κεφαλὴ τε κυκλώματος αὐτῶν·
Κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτές.

11. Πεσοῦνται ἐπ' αὐτὲς ἄνθρακες·
Ἐν πυρὶ καταβαλεῖς αὐτές·
Ἐν ταλαιπωρίαις ὲ μὴ ὑποστῶσιν.

12. Ἀνὴρ γλωσσώδης ὲ κατευθυνθήσεται ἐπὶ τῆς γῆς·
Ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν.

13. Ἔγνων ὅτι ποιήσει Κύριος τὴν κρίσιν τε πτωχε, ÷ καὶ" τὴν δίκην τῶν πενήτων.

14. Πλὴν

v. 21. ἐπὶ τοῖς ἐχθροῖς) ἐπὶ τὲς ἐχθρὲς. v. 23. Κύριε) ὁ Θεὸς. v. 23. ἢ εἴδες ὁδὸν) εἰ ὁδὸς. Psalm. CXXXIX. v. 1. ψαλμὸς τῷ Δαυίδ.) transpositа. v. 3. ἀδικίαν) ἀδικίας. v. 5. stich 2. ita *Rom. Edit.* ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελε με. ibid. ὑποσκελίσαι) præfigit τοῦ. v. 6. à fine adjicit *Rom.* Διάψαλμα. ita & v. 9. quoque. v. 11. ἄνθρακες· Ἐν πυρὶ καταβαλεῖς) ἄνθρακες πυρὸς ἐπὶ τῆς γῆς, καὶ καταβαλεῖς. v. 12. διαφθοράν.) καταφθοράν.

14. Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σε,
÷ Καὶ" κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου.

ΨΑΛΜ. ΡΜ'. CXL.

ΨΑλμὸς τῷ Δαυίδ.
Κύριε ἐκέκραξα πρὸς σὲ, εἰσάκουσόν μου·
Πρόσχες τῇ φωνῇ (τῆς δεήσεώς) μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ.

2. Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου,
Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή.

3. Θὲς Κύριε φυλακὴν τῷ στόματί μου,
÷ Καὶ" θύραν περιοχῆς περὶ τὰ χείλη μου.

4. Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας,
Τὸ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις
Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν·
Καὶ ὲ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.

5. Παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με,
Ἔλαιον ÷ δὲ" ἁμαρτωλὸς μὴ λιπαινάτω τὴν κεφαλήν μου·
Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν.

6. Κατεπόθησαν ἐχόμενα πέτρας οἱ κραταιοὶ κριταὶ αὐτῶν·
Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἠδύνηθησαν.

7. Ὡσεὶ πάχος γῆς διερράγη ἐπὶ τῆς γῆς,
Διεσκορπίθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν αὐτῶν ᾅδην.

8. Ὅτι πρὸς σὲ Κύριε Κύριε οἱ ὀφθαλμοί μου·
Ἐπὶ σοὶ ἤλπισα, μὴ ἀνταναίλῃς τὴν ψυχήν μου·

9. Φύλαξόν με ἀπὸ παγίδος ἧς συνεστήσαντό μοι,
Καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων σκανδάλην ἀνομίαν.

10. Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῆς οἱ ἁμαρτωλοί·
Καταμόνας εἰμὶ ἐγὼ, ἕως ἂ παρέλθω

ΨΑΛΜ. ΡΜΑ'. CXLI.

ΣΥνέσεως τῷ Δαυὶδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ, προσευχή.

2. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα,
(Καὶ) φωνῇ μου πρὸς * Κύριον ἐδεήθην, ἡ φωνὴ
καὶ προσέσχεν μοι. *τὸν Θεὸν

3. Ἐκχεῶ ἐνώπιον αὐτῆς τὴν δέησίν μου·
Τὴν θλῖψιν μου ἐνώπιον αὐτῆς ἀπαγγελῶ,

4. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου.
Καὶ σὺ ἔγνως τὰς τρίβους μου·
Ἐν ὁδῷ ταύτῃ ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.

5. Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον,
Καὶ ἐκ ἦν ὁ ἐπιγινώσκων με· Ὅτι

Ἀπώ-

v. 14. Καὶ καλοικ.) καὶ deeſt. Pſalm. CXL. v. 4. συνδυάσω) συνδοιάσω. v. 7. ὀστᾶ αὐτῶν) ὀστᾶ ἡμῶν. v. 9. σκανδάλου) σκανδάλων. v. 10. οἱ ἁμαρτωλοί.) οἱ abeſt. ibid. ἂ παρέλθω) ἕως ἂν παρέλθω. Pſalm. CXLI. v. 2. ſtich. 2. ita refertur in *Edit. Rom.* φωνῇ μου πρὸς Κύριον ἐδεήθην. v. 3. ἐνώπιον) ἐναντίον.

Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ,
Καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.

6. Ἐκέκραξα πρὸς σὲ Κύριε,
Εἶπα· σὺ εἶ ἡ ἐλπίς μου,
Μερίς μου ἐν γῇ ζώντων.

7. Πρόσχες εἰς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα·
Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με,
Ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

8. Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου,
Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου (Κύριε)·
Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.

ΨΑΛΜ. ΡΜΒ'. CXLII.

℣ Ψαλμὸς τῷ Δαυὶδ, ℣ ὅτε αὐτὸν ὁ υἱὸς κατεδίωξε".

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου,
Ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου,
Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·

2. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου,
Ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

3. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου·
Ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου·
Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος.

4. Καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου,
Ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου·

5. Ἐμνήσθην ἡμερῶν ἀρχαίων,
(Καὶ) ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου,
Ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

6. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου·
Ἡ ψυχή μου ※ ὡς" γῆ ἄνυδρός σοι. Διάψαλμα.

7. Ταχὺ εἰσάκουσόν μου Κύριε, ἐξέλειπε τὸ πνεῦμά μου·
Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ,
Καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

8. Ἄκουσόν μου ποίησόν μοι ὀπρωΐ τὸ ἔλεός σου,
Ὅτι ἐπὶ σοὶ ἤλπισα·
Γνώρισόν μοι (Κύριε) ὁδὸν, ἐν ᾗ πορεύσομαι,
Ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

9. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου Κύριε, (ὅτι) πρὸς σὲ κατέφυγον.

10. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι Θεός μου ℣ εἶ" σύ.
Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. ἅγιον

11. Ἕνεκα τοῦ ὀνόματός σου Κύριε ζήσεις με ἐν τῇ δικαιοσύνῃ σου·
Ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου·

12. Καὶ ἐν τῷ ἐλέει σου ἐξολεθρεύσεις τοὺς ἐχθρούς μου,
Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου·
Ὅτι ἐγὼ δοῦλός σου εἰμί.

ΨΑΛΜ.

V. 6. Ἐκέκραξα πρὸς σὲ Κύριε) transposita. ibid. Εἶπα) καὶ εἶπα. V. 7. εἰς τὴν δέησίν) πρὸς τὴν δέησίν. Psalm. CXLII. v. 1. καταδιώξε.) καταδιώκει. ibid. Εἰσάκουσον) ἐπάκουσον. v. 3. εἰς γῆν τὴν) εἰς τὴν γῆν τὴν. v. 6. à fine *Rom.* addit Διάψαλμα. v. 10. θέλημά σου) addit *Rom.* ὅτι θεός μου εἶ σύ. ibid. τὸ ἅγιον) τὸ ἀγαθὸν. ib. ἐν γῇ εὐθείᾳ) ἐν τῇ εὐθείᾳ. V. 12. Ὅτι ἐγὼ δοῦλός σου εἰμί) ὅτι δοῦλός σου εἰμὶ ἐγώ.

ΨΑΛΜ. ΡΜΓ΄. CXLIII.

Γολιάδ Τῷ Δαυὶδ, ÷ πρὸς τὸν Γολιάθ".
Εὐλογητὸς Κύριος ὁ Θεός μϐ,
Ὁ διδάσκων τὰς χεῖράς μϐ εἰς παράταξιν,
Τὰς δακτύλας μϐ εἰς πόλεμον·

2. Ἔλεός μϐ καὶ καταφυγή μϐ,
Ἀντιλήπτωρ μϐ καὶ ῥύστης μϐ,
Ὑπερασπιστής μϐ, καὶ ἐπ' αὐτῷ ἤλπισα·
αὐτῆ Ὁ ὑποτάσσων τὸν λαόν μϐ ὑπ' ἐμέ.

3. Κύριε τίς ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ,
÷ Ἢ υἱὸς ἀνθρώπϐ, ὅτι λογίζῃ αὐτόν;

4. Ἄνθρωπος ματαιότητι ὡμοιώθη·
Αἱ ἡμέραι αὐτῆ ὡσεὶ σκιὰ παράγουσι.

5. Κύριε κλῖνον οὐρανές σου, καὶ καλάβηθι·
Ἅψαι τῶν ὀρέων, καὶ καπνισθήσονται·

6. Ἀστραψον ἀστραπήν (σϐ), καὶ σκορπιεῖς αὐτές·
Ἐξαπόστειλον τὰ βέλη σϐ, καὶ συνταράξεις αὐτές.

7. Ἐξαπόστειλον τὴν χεῖρά σϐ ἐξ ὕψους·
Ἐξελῆ με καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν,
Ἐκ χειρὸς υἱῶν ἀλλοτρίων·

8. Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα,
Καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας.

9. Ὁ Θεὸς ᾠδὴν καινὴν ᾄσομαί σοι,
Ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι·

10. Τῷ διδόντι σωτηρίαν τοῖς βασιλεῦσι,
Τῷ λυτρουμένῳ Δαυὶδ τὸν δοῦλον αὐτῆ
ἐκ ῥομφαίας πονηρᾶς.

11. Ῥῦσαί με καὶ ἐξελῆ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων,
Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα,
Καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας·

12. Ὧν οἱ υἱοὶ αὐτῶν ὡς νεόφυτα ἠνθρυμμένα ἐν τῇ νεότητι αὐτῶν, ἠθρυμμένα
Αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ·

13. Τὰ ταμεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτϐ εἰς τοῦτο·
Τὰ πρόϐατα αὐτῶν πολύτοκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν,

14. Οἱ βόες αὐτῶν παχεῖς·
Οὐκ ἔστι κατάπλωμα φραγμῆ, οὐδὲ διέξοδος,
Οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν. ἐπαύλεσιν

15. Ἐμακάρισαν τὸν λαὸν ᾧ ταῦτά ἐστι·
Μακάριος ὁ λαὸς, ᾧ Κύριος ὁ Θεὸς αὐτῆ.

ΨΑΛΜ. ΡΜΔ΄. CXLIV.

Αἰνεσις τῷ Δαυίδ. Αἰνέσεως
Ὑψώσω σε ὁ Θεός μϐ ὁ βασιλεύς (μϐ),
Καὶ εὐλογήσω τὸ ὄνομά σϐ εἰς τὸν αἰῶνα
Καὶ εἰς τὸν αἰῶνα ÷ τοῦ αἰῶνος".

2. Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε,
Καὶ αἰνέσω τὸ ὄνομά σϐ εἰς τὸν αἰῶνα
Καὶ εἰς τὸν αἰῶνα ÷ τοῦ αἰῶνος".

3. Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα,
Καὶ τῆς μεγαλωσύνης αὐτῆ οὐκ ἔστι πέρας.

4. Γενεὰ

Psalm. CXLIII. v. 2. λαὸν αὐτῆ) λαόν μου. v. 3. τίς ἐστιν) τί ἐστιν. v. 6. (σϐ) deest. v. 10. σωτηρίαν) τὴν σωτηρίαν. v. 12. οἱ υἱοὶ αὐτῶν ὡς v. ἠθρυμμένα) οἱ υἱοὶ ὡς νεόφ. ἰθρυμένα. Psalm. CXLIV. v. 1. Αἰνέσεως τῷ Δ.) Αἴνεσις τοῦ Δαυίδ. v. 3. Κύριος) ὁ κύριος.

4. Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σε,
Καὶ τὴν δύναμίν σε ἀπαγγελοῦσι·
5. (Καὶ) τὴν μεγαλοπρέπειαν τῆς δόξης (σε) τῆς ἁγιωσύνης σε λαλήσουσι,
Καὶ τὰ θαυμάσιά σε διηγήσονται·
6. Καὶ τὴν δύναμιν τῶν φοβερῶν σε ἐροῦσι,
Καὶ τὴν μεγαλωσύνην σε διηγήσονται·
(Καὶ τὴν δυναστείαν σε λαλήσουσι).
7. Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σε ἐρεύξονται, καὶ τῇ δικαιοσύνῃ σε ἀγαλλιάσονται.
ὑψωθήσονται 8. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος,
Μακρόθυμος καὶ πολυέλεος·
ὑπομένουσι αὐτὸν 9. Χρηστὸς Κύριος τοῖς σύμπασι,
Καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.
10. Ἐξομολογησάθωσάν σοι Κύριε πάντα τὰ ἔργα σου,
Καὶ οἱ ὅσιοί σε εὐλογησάτωσάν σε·
11. Δόξαν τῆς βασιλείας σε ἐροῦσι,
Καὶ τὴν δυναστείαν σε λαλήσουσι·
12. Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δύναμίν σε,
Καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σε.
13. Ἡ βασιλεία σε βασιλεία πάντων τῶν αἰώνων,
Καὶ ἡ δεσποτεία σε ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.
14. ÷ Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ,
÷ Καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ".
Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας,
Καὶ ἀνορθοῖ πάντας τοὺς κατεῤῥαγμένους.
15. Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι,
Καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ·
16. Ἀνοίγεις ÷ σὺ" * τὴν χεῖρά σε, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας. * Ἀνοίξεις τὰς χεῖρας
17. Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ,
Καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.
18. Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν,
※ Πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν" ἐν ἀληθείᾳ·
19. Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν ἐπακούσεται, καὶ σώσει αὐτούς.
20. Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν·
Καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολεθρεύσει.
21. Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου·
Καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ
Εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα ÷ τοῦ αἰῶνος".

ΨΑΛΜ. ΡΜΕ'. CXLV.

Ἀλληλούϊα ÷ Ἀγγαίου καὶ Ζαχαρίου".
Αἰνεῖ ἡ ψυχή μου τὸν Κύριον·
2. Αἰνέσω Κύριον ἐν ζωῇ μου,
Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.
3. Μὴ πεποίθατε ἐπ' ἄρχοντας, (καὶ) ἐπ' υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία·
4. Ἐξε-

v. 5. (σε) deest. v. 6. (Καὶ τὴν δυναστείαν σου λαλήσουσι) desunt. v. 7. ἐρεύξονται) ἐξερεύξονται, ibid. ὑψωθήσονται) ἀγαλλιάσονται. v. 9. ὑπομένουσι αὐτὸν) αὐτὸν deest. v. 12. τὴν δυναμίν σε) τὴν δυναστείαν σου. v. 16. Ἀνοίξεις) ἀνοίγεις.

4. Ἐξελεύσεται τὸ πνεῦμα αὐτῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτῦ·
Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται ÷ πάντες" οἱ διαλογισμοὶ αὐτῦ. αὐτῶν

5. Μακάριος ᾧ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτῦ,
Ἡ ἐλπὶς αὐτῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτῦ·

6. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν,
Τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·
Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα·

7. Ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις·
Διδόντα τροφὴν τοῖς πεινῶσι.
Κύριος λύει πεπεδημένους·

8. Κύριος ἀνορθοῖ κατεῤῥαγμένους·
Κύριος σοφοῖ τυφλούς·
Κύριος ἀγαπᾷ δικαίους·

9. Κύριος φυλάσσει τοὺς προσηλύτους,
Ὀρφανὸν καὶ χήραν ἀναλήψεται·
Καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανίσει.

10. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα,
Ὁ Θεός σου Σιὼν εἰς γενεὰν καὶ γενεάν.

ΨΑΛΜ. ΡΜϚ'. CXLVI.

Ἀλληλούϊα ÷ Ἀγγαίου καὶ Ζαχαρίου".
Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸν ψαλμός·
Τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἶνεσις.

2. Οἰκοδομῶν Ἰερουσαλὴμ ὁ Κύριος·
(Καὶ) τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει.

3. Ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν,
Καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν.

4. Ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν.

5. Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ·
Καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός.

6. Ἀναλαμβάνων πραεῖς ὁ Κύριος·
Ταπεινῶν ÷ δὲ" ἁμαρτωλοὺς ἕως τῆς γῆς.

7. Ἐξάρξατε τῷ Κυρίῳ ἐν ἐξομολογήσει,
Ψάλατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ·

8. Τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις,
Τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετόν·
Τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον,

9. (Καὶ) διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν,
÷ Καὶ" τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν.

10. Οὐκ ἐν τῇ δυνάμει τοῦ ἵππου θελήσει,
Οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ·

11. Εὐδοκεῖ Κύριος ἐν τοῖς φοβουμένοις αὐτόν,
÷ Καὶ" ἐν (πᾶσι) τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ.

ΨΑΛΜ. ΡΜΖ'. CXLVII.

Ἀλληλούϊα Ἀγγαίου καὶ Ζαχαρίου".
Ἐπαίνει Ἰερουσαλὴμ τὸν Κύριον,
Αἶνει τὸν Θεόν σου Σιών·

Pſalm. CXLV. v. 5. βοηθός) addit αὐτῦ. v. 8. *Edit. Rom.* ſtichum 1. & 2. transponit. v. 9. ἀφανίσει) ἀφανιεῖ. Pſalm. CXLVI. v. 8. à fine *Edit. Rom.* adjicit καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

2. Ὅτι ἐνίσχυσε τὰς μοχλὰς τῶν πυλῶν σε,
Εὐλόγησε τοὺς υἱούς σε ἐν σοί.
3. Ὁ τιθεὶς τὰ ὅριά σε εἰρήνην,
÷ Καὶ" σίτου πυρῷ ἐμπιπλῶν σε.
4. Ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ,
Ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ.
5. Τῷ διδόντος χιόνα ὡσεὶ ἔριον,
Ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος.
6. Βάλλοντος κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμούς.
Κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται;
7. Ἀποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτά.
Πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα.
8. Ἀπαγγελὼν τὸν λόγον αὐτοῦ τῷ Ἰακὼβ,
Δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ.
9. Οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει,
Καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. Ἀλληλούϊα.

ΨΑΛΜ. ΡΜΗ'. CXLVIII.

Ἀλληλούϊα, (Ἀγγαίου καὶ Ζαχαρίου).
Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν·
Αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.
2. Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ·
Αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ.
3. Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη·
Αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα ÷ καὶ τὸ" φῶς.
4. Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν·
Καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.
5. Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου·
Ὅτι ÷ αὐτὸς εἶπε, καὶ ἐγενήθησαν·
Αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.
6. Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα ÷ τοῦ αἰῶνος".
Πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.
7. Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς·
Δράκοντες καὶ πᾶσαι ἄβυσσοι·
8. Πῦρ, χάλαζα, χιὼν, κρύσταλλος, πνεῦμα καταιγίδος,
Τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ·
9. Τὰ ὄρη καὶ πάντες οἱ βουνοὶ,
Ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι·
10. Τὰ θηρία καὶ πάντα τὰ κτήνη,
Ἑρπετὰ καὶ πετεινὰ πτερωτά·
11. Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοὶ,
Ἄρχοντες καὶ πάντες κριταὶ γῆς·
12. Νεανίσκοι καὶ παρθένοι,
Πρεσβῦται μετὰ νεωτέρων.
13. Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου·
Ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου,
Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ.
14. Καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ·
Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ,
Τοῖς υἱοῖς Ἰσραὴλ, λαῷ ἐγγίζοντι αὐτῷ. Ἀλληλούϊα.

ΨΑΛΜ. ΡΜΘ'. CXLIX.

Ἀλληλούϊα.
Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν·
Ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.
2. Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτὸν,
÷ Καὶ"

Psalm. CXLVII. v. 8. Ἀκαγγελῶν) ἀπαγγέλων. Psalm. CXLVIII. v. 9. οἱ βουνοὶ) βουνοὶ.

÷ Καὶ" υἱοὶ Σιὼν ἀγαλλιάθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν·

3. Αἰνεσάτωσαν τὸ ὄνομα αὐτῦ ἐν χορῷ,
Ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

4. Ὅτι εὐδοκεῖ Κύριος ἐν λαῷ αὐτῦ·
÷ Καὶ" ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

5. Καυχήσονται ὅσιοι ἐν δόξῃ,
(Καὶ) ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

6. Αἱ ὑψώσεις τῦ Θεῦ ἐν τῷ λάρυγγι αὐτῶν,
Καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν·

7. Τῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν,
Ἐλεγμὸς ἐν τοῖς λαοῖς·

8. Τῦ δῆσαι τὸς βασιλεῖς αὐτῶν ἐν πέδαις,
Καὶ τὸς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς·

9. Τῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον·
Δόξα ÷ αὕτη" ἐστὶν πᾶσι τοῖς ὁσίοις αὐτῦ. Ἀλληλέϊα.

ΨΑΛΜ. ΡΝ'. CL.

Ἀλληλέϊα".
Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτῦ,
Αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτῦ·

2. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυνατείαις αὐτῦ,
Αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτῦ.

3. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος,
Αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ·

4. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ,
Αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ· ὀργάνοις

5. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις,
Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμῦ.

6. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Ἀλληλέϊα.

Οὗτος ὁ ψαλμὸς ἰδιόγραφος τῦ Δαυὶδ, καὶ ἔξωθεν τῦ ἀριθμῦ, ὅτε ἐμονομάχησε πρὸς τὸν Γολιάθ.

Μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μυ, Ψαλμ.
Καὶ νεώτερος ἐν τῷ οἴκῳ τῦ πατρός μυ· ρνά.
Ἐποίμαινον τὰ πρόβατα τῦ πατρός μυ·
Αἱ χεῖρές μυ ἐποίησαν ὄργανον,
Οἱ δάκτυλοί μυ ἥρμοσαν ψαλτήριον. 5.
Καὶ τίς ἀναγγελεῖ τῷ Κυρίῳ μυ;
Αὐτὸς Κύριος, αὐτὸς εἰσακούσεταί μυ·
Αὐτὸς ἐξαπέστειλε τὸν ἄγγελον αὐτῦ,
Καὶ ἥρέ με ἐκ τῶν προβάτων τῦ πατρός μυ,
Καὶ ἔχρισέ με ἐν τῷ ἐλαίῳ τῆς χρίσεως ἐλέει αὐτῦ.
Οἱ δὲ ἀδελφοί μυ καλοὶ καὶ μεγάλοι· 11.
Καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς ὁ Κύριος.
Ἐξῆλθον εἰς συνάντησιν τῷ ἀλλοφύλῳ,
Καὶ ἐπικατηράσατό με ἐν τοῖς εἰδώλοις αὐτῦ·
Ἐγὼ δὲ σπασάμενος τὴν παρ' ἐκείνυ μά- 15.
χαιραν,
Ἀπεκεφάλισα αὐτὸν,
Καὶ ἦρα ὄνειδος ἐξ υἱῶν Ἰσραήλ.

Ψαλμοὶ ρν'.
καὶ ἰδιόγραφος.

Psalm. CXLIX. v. 6. ἐν τῷ λάρυγγι) ἐν λάρυγγι. Psalm. CL. v. 4. ὀργάνοις) ὀργάνῳ. Psalm. Idiographus. Inscript. τοῦ Δαυίδ.) εἰς Δαυίδ. ibid. τὸν Γολιάθ.) τῷ Γολιάθ. stich. 5. Οἱ δάκτ.) καὶ οἱ δάκτυλοι. stich. 7. εἰσακούσεταί μου) εἰσακούει. stich. 10. ἐλέει) ἐλαίῳ. stich. 11. Οἱ δὲ) οἱ. stich. 12. ὁ Κύριος) κύριος. stich. 15. παρ' ἐκείνυ) παρ' αὐτοῦ.

ΥΜΝ. Α'.

* Exod. Cap. XV. v. 1. seqq.

ΩΔὴ Μωυσέως ἐν τῇ Ἐξόδῳ.
Ἄσω μὲν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασαι·
Ἵππον καὶ ἀναβάτην ἔῤῥιψεν εἰς θάλασσαν.
2. Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν·
Οὗτος Θεός μου, καὶ δοξάσω αὐτόν·
Θεὸς τοῦ πατρός μου, καὶ ὑψώσω αὐτόν.
3. Κύριος συντρίβων πολέμους·
Κύριος ὄνομα αὐτῷ.
4. Ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἔῤῥιψεν εἰς θάλασσαν·
Ἐπιλέκτους ἀναβάτας τριστάτας
Κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ,
5. Πόντῳ ἐκάλυψεν αὐτούς·
Κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος.
6. Ἡ δεξιά σου Κύριε δεδόξασαι ἐν ἰσχύι·
Ἡ δεξιά σου χεὶρ Κύριε ἔθραυσεν ἐχθρούς.
7. Καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους·
Ἀπέστειλας τὴν ὀργήν σου, καὶ κατέφαγεν αὐτοὺς ὡς καλάμην.
8. Καὶ διὰ πνεύματος τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ·
Ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα,
Ἐπάγη τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης.
9. Εἶπεν ὁ ἐχθρός· διώξας καταλήψομαι,
Μεριῶ σκῦλα, ἐμπλήσω ψυχήν μου,
Ἀνελῶ τῇ μαχαίρῃ μου, κυριεύσει ἡ χείρ μου.
10. Ἀπέστειλας τὸ πνεῦμά σου, (καὶ) ἐκάλυψεν αὐτοὺς θάλασσα·
Ἔδυσαν ὡσεὶ μόλιβος ἐν ὕδατι σφοδρῷ.
11. Τίς ὅμοιός σοι ἐν θεοῖς Κύριε;
Τίς ὅμοιός σοι; δεδοξασμένος ἐν ἁγίοις,
Θαυμαστὸς ἐν δόξαις, ποιῶν τέρατα.
12. Ἐξέτεινες τὴν δεξιάν σου, καὶ κατέπιεν αὐτοὺς ἡ γῆ.
13. Ὡδήγησας ✕ ἐν τῇ δικαιοσύνῃ σου τὸν λαόν σου τοῦτον, ὃν ἐλυτρώσω·
Παρεκάλεσας ✕ ἐν τῇ ἰσχύϊ σου εἰς κατάλυμα ἅγιόν σου.
14. Ἤκουσαν ἔθνη, καὶ ἐφοβήθησαν·
Ὠδῖνες ἔλαβον κατοικοῦντας Φυλιστιείμ.
15. Τότε ἔπτηξαν ἡγεμόνες Ἐδώμ,
Καὶ ἄρχοντες Μωαβιτῶν, ἔλαβεν αὐτοὺς τρόμος·
Ἐτάκησαν πάντες οἱ κατοικοῦντες Χαναάν.
16. Ἐπιπέσοι ἐπ' αὐτοὺς φόβος καὶ τρόμος·
Μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν,
Ἕως ἂν παρέλθῃ ὁ λαός σου Κύριε,
Ἕως ἂν παρέλθῃ ὁ λαός σου ὃν ἐκτήσω.
17. Εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληρονομίας σου,
Εἰς ἕτοιμον κατοικητήριόν σου, ὃ κατειργάσω Κύριε,
Ἁγίασμα Κύριε, ὃ ἡτοίμασαν αἱ χεῖρές σου.
18. Κύριος βασιλεύων * τῶν αἰώνων, καὶ ἐπ' αἰῶνα, καὶ ἔτι. Κύριε * τὸν αἰῶνα
19. Ὅτι εἰσῆλθεν ἵππος Φαραὼ σὺν ἅρμασι καὶ ἀναβάταις αὐτοῦ εἰς θάλασσαν,
Καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς Κύριος τὸ ὕδωρ τῆς θαλάσσης·

Οἱ

* Hymni isti non habentur in *Edit. Rom.*

Οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης.

ΨΑΛΜΟΣ Β'. II.

Deuteronom. Cap. XXXII. v. 1. seqq.

ΩΔὴ Μωϋσέως ἐν τῷ Δευτερονομίῳ.
Πρόσεχε οὐρανὲ, καὶ λαλήσω.
Καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου.

2. Προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου,
Καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά μου,
Ὡσεὶ ὄμβρος ἐπ' ἄγρωσιν, καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον.
3. Ὅτι ὄνομα Κυρίου ἐκάλεσα·
Δότε μεγαλωσύνην τῷ Θεῷ ἡμῶν.
4. Θεὸς ἀληθινὰ τὰ ἔργα αὐτοῦ,
Καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσις·
Θεὸς πιστὸς, καὶ ἐκ ἔστιν ἀδικία·
Δίκαιος καὶ ὅσιος Κύριος.
5. Ἡμάρτοσαν, ἐκ αὐτῷ τέκνα μωμητά·
Γενεὰ σκολιὰ καὶ διεστραμμένη.
6. Ταῦτα Κυρίῳ ἀνταποδίδοτε,
Οὕτω λαὸς μωρὸς καὶ ἀχὶ σοφός;
Οὐκ αὐτὸς ὅτός σε πατὴρ ἐκτήσατό σε,
Καὶ ἐποίησέ σε, καὶ ἔκλισέ σε;
7. Μνήσθητε ἡμέρας αἰῶνος,
Σύνετε ἔτη γενεᾶς γενεῶν·
Ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι,
Τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι.
8. Ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη,
ὃς Ὡς διέσπειρεν υἱοὺς Ἀδὰμ,
Ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ·
9. Καὶ ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακὼβ,
Σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.
10. Αὐτάρκησεν αὐτὸν ἐν γῇ ἐρήμῳ, τῇ
Ἐν δίψει καύματος ἐν ἀνύδρῳ·
Ἐκύκλωσεν αὐτὸν καὶ ἐπαίδευσεν αὐτὸν,
Καὶ διεφύλαξεν αὐτὸν ὡς κόρην ὀφθαλμοῦ.
11. Ὡς ἀετὸς σκεπάσαι νοσσιὰν αὐτοῦ,
καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπότησεν· ἐπεπό-
Διεὶς τὰς πτέρυγας αὐτοῦ, ἐδέξατο θησεν
αὐτὸς,
Καὶ ἀνέλαβεν αὐτὸς ἐπὶ τῶν μεταφρένων αὐτοῦ.
12. Κύριος μόνος ἦγεν αὐτὸς,
Καὶ ἐκ ἦν μετ' αὐτοῦ Θεὸς ἀλλότριος. αὐτῶν
13. Ἀνεβίβασεν αὐτὸς ἐπὶ τὴν ἰσχὺν τῆς γῆς,
Ἐψώμισεν αὐτὸς γενήματα ἀγρῶν·
Ἐθήλασαν μέλι ἐκ πέτρας,
Καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας,
14. Βούτυρον βοῶν καὶ γάλα προβάτων,
Μετὰ στέατος ἀρνῶν καὶ κριῶν,
Υἱῶν ταύρων καὶ τράγων,
Μετὰ στέατος νεφρῶν πυροῦ,
Καὶ αἷμα σταφυλῆς ἔπιον οἶνον.
15. ℣ Καὶ ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη,
Καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος·
Ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη·
Καὶ ἐγκατέλειπε Θεὸν τὸν ποιήσαντα αὐτὸν,
Καὶ ἀπέστη ἀπὸ Θεοῦ σωτῆρος αὐτοῦ.
16. Παρώξυναν με ἐπ' ἀλλοτρίοις,
Ἐν βδελύγμασιν αὐτῶν ἐξεπίκραναν με·
17. Ἔθυσαν δαιμονίοις, καὶ ὐ Θεῷ,
Θεοῖς οἷς ἐκ ἤδεισαν·

Καινοὶ καὶ πρόσφατοι ἥκασιν,
Οὓς οὐκ ἤδεισαν οἱ πατέρες αὐτῶν.
ποιήσαν- 18. Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες,
τα Καὶ ἐπελάθθ Θεοῦ τοῦ τρέφοντός σε.
19. Καὶ εἶδε Κύριος, καὶ ἐζήλωσε,
Καὶ παρωξύνθη δι' ὀργὴν υἱῶν αὐτοῦ καὶ θυγατέρων.
20. Καὶ εἶπεν· ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν,
Καὶ δείξω τί ἔσαι αὐτοῖς ἐπ' ἐσχάτων·
Ὅτι γενεὰ ἐξεσραμμένη ἐστὶν,
Υἱοὶ οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς.
21. Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ Θεῷ,
Παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν·
Κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει,
Ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς.
22. Ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου,
Καυθήσεται ἕως ᾅδου κάτω·
Καταφάγεται γῆν καὶ τὰ γενήματα αὐτῆς,
Φλέξει θεμέλια ὀρέων.
23. Συνάξω εἰς αὐτοὺς κακὰ,
Καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς.
24. Τηκόμενοι λιμῷ καὶ βρώσει ὀρνέων,
Καὶ ὀπισθότονος ἀνίατος·
Ὀδόντας θηρίων ἐξαποστελῶ εἰς αὐτοὺς,
Μετὰ θυμοῦ συρόντων ἐπὶ γῆς.
25. Ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα,
Καὶ ἐκ τῶν ταμείων φόβος·
Νεανίσκος σὺν παρθένῳ,
Θηλάζων μετὰ καθεζηκότος πρεσβυτέρου.
26. Εἶπα· διασπερῶ αὐτοὺς,
Καταπαύσω δὴ ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν·
27. Εἰ μὴ δι' ὀργὴν ἐχθρῶν, ἵνα μὴ μακροχρονίσωσι,
Καὶ ἵνα μὴ συνεπιθῶνται οἱ ὑπεναντίοι,
Μὴ εἴπωσιν· ἡ χεὶρ ἡμῶν ὑψηλὴ,
Καὶ οὐχὶ Κύριος ἐποίησε ταῦτα πάντα.
28. Ὅτι ἔθνος ἀπολωλεκὸς βελήν ἐστι,
Καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἐπιστήμη,
29. Οὐκ ἐφρόνησαν συνιέναι ταῦτα·
Καταδεξάσθωσαν εἰς τὸν ἐπιόντα χρόνον.
30. Πῶς διώξεται εἷς χιλίους,
Καὶ δύο μετακινήσουσι μυριάδας;
Εἰ μὴ ὁ Θεὸς ἀπέδοτο αὐτοὺς,
Καὶ ὁ Κύριος παρέδωκεν αὐτούς.
31. Οὐ γὰρ εἰσὶν οἱ θεοὶ αὐτῶν ὡς ὁ Θεὸς ἡμῶν·
Οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι.
32. Ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν,
Καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας·
Ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς,
Βότρυς πικρίας αὐτοῖς·
33. Θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν,
Καὶ θυμὸς ἀσπίδων ἀνίατος.
34. Οὐχὶ ταῦτα (πάντα) συνῆκται παρ' ἐμοὶ,
Καὶ ἐσφράγισαι ἐν τοῖς θησαυροῖς μου;
35. Ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω,
Ἐν καιρῷ ὅταν σφαλῇ ὁ πούς αὐτῶν·
Ὅτι ἐγγὺς ἡμέρα ἀπωλείας αὐτῶν,
Καὶ πάρεσιν ἕτοιμα ὑμῖν.
36. Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ,
Καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται·
Ἴδε γὰρ αὐτοὺς παραλελυμένους, καὶ ἐκλελοιπότας

Ἐν

Ἐν, ἐπαγωγῇ, καὶ παρειμένως.
37. Καὶ εἶπε ~ Κύριος" · ποῦ εἰσὶν οἱ θεοὶ αὐτῶν,
Ἐφ' οἷς ἐπεποίθεισαν ἐπ' αὐτοῖς;
38. Ὧν τὸ στέαρ τῶν θυσιῶν αὐτῶν ἐσθίετε,
Καὶ ἐπίνετε τὸν οἶνον τῶν σπονδῶν αὐτῶν·
Ἀνασήτωσαν καὶ βοηθησάτωσαν ὑμῖν,
Καὶ γενηθήτωσαν ὑμῖν σκεπασταί.
39. Εἴδετε εἴδετε ὅτι ἐγώ εἰμι,
Καὶ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ·
Ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω·
Πατάξω, κἀγὼ ἰάσομαι·
Καὶ οὐκ ἔστιν ὃς ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος.
40. Ὅτι αἴρω εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου,
~ Καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου".
Καὶ ἐρῶ· ζῶ ἐγὼ εἰς τὸν αἰῶνα·
41. Ὅτι παροξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν μου,
Καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου,
ἀνταποδώσει (Καὶ ἐκδικήσει), καὶ ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς μου,
ἀνταποδώσει Καὶ τοῖς μισοῦσί με ἀνταποδώσω.
42. Μεθύσω τὰ βέλη μου ἀφ' αἵματος,
Καὶ ἡ μάχαιράν μου καταφάγεται κρέα,
Ἀφ' αἵματος τραυματιῶν καὶ αἰχμαλωσίας,
ἐθνῶν Ἀπὸ κεφαλῆς ἀρχόντων ἐχθρῶν.
43. Εὐφράνθητε οὐρανοὶ ἅμα αὐτῷ,
Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες οἱ ἄγγελοι Θεοῦ·
Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ,
~ Καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ Θεοῦ·
Ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται,
Καὶ ἐκδικήσει, καὶ ἀνταποδώσει ~ δίκην" τοῖς ἐχθροῖς αὐτοῦ,
~ Καὶ τοῖς μισοῦσιν ἀνταποδώσει δίκην".
Καὶ ἐκκαθαριεῖ Κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ.

ΥΜΝ. Γ'. III.

Προσευχὴ Ἄννας μητρὸς Σαμουήλ. 1. Reg. Cap. II. v. 1. seqq.
Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ,
Ὑψώθη κέρας μου ἐν Θεῷ μου·
Ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου,
Ὅτι ηὐφράνθην ἐν σωτηρίᾳ σου.
2. (Ὅτι) οὐκ ἔστιν ἅγιος ὡς Κύριος,
Καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ Θεὸς ἡμῶν·
Καὶ οὐκ ἔστιν (ἅγιος) πλὴν σοῦ.
3. Μὴ καυχᾶσθε, καὶ μὴ λαλεῖτε ὑψηλὰ εἰς ὑπεροχήν,
Μηδὲ ἐξελθάτω μεγαλορημοσύνη ἐκ τοῦ στόματος ὑμῶν·
Ὅτι Θεὸς γνώσεων Κύριος,
Καὶ Θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτοῦ.
4. Τόξον δυνατῶν ἠσθένησε,
Καὶ ἀσθενοῦντες περιεζώσαντο δύναμιν.
5. Πλήρεις ἄρτων ἠλαττώθησαν,
Καὶ οἱ πεινῶντες παρῆκαν γῆν.
Ὅτι στεῖρα ἔτεκεν ἑπτά,
Καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε.
6. Κύριος θανατοῖ καὶ ζωογονεῖ·
Κατάγει εἰς ᾅδου καὶ ἀνάγει.
7. Κύριος πλουτίζει καὶ πλουτίζει·
Ταπεινοῖ καὶ ἀνυψοῖ.
8. Ἀνιστᾷ ἀπὸ γῆς πένητα,
Καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχὸν,

Τῦ καθίσαι αὐτὸν μετὰ δυναστῶν λαῦ,
Καὶ θρόνον δόξης κατακληρονομῶν αὐτοῖς.

9. Διδὲς εὐχὴν τῷ εὐχομένῳ,
Καὶ εὐλόγησεν ἔτη δικαίων.
δικαίε
Ὅτι ἐκ ἐν ἰσχύϊ δυνατὸς ἀνήρ.

10. Κύριος ἀθενῆ ποιήσει τὸν ἀντίδικον αὐτῦ.
Κύριος ἅγιος.
Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτῦ,
Καὶ μὴ καυχάσθω ὁ δυναλὸς ἐν τῇ δυνάμει αὐτῦ,
Καὶ μὴ καυχάσθω ὁ πλέσιος ἐν τῷ πλέτῳ αὐτῦ·
Ἀλλ' ἢ ἐν τέτῳ καυχάσθω ὁ καυχώμενος,
Συνιεῖν καὶ γινώσκειν τὸν Κύριον,
Καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς.
Κύριος ἀνέβη εἰς ἐρανὲς, καὶ ἐβρόντησεν·
Αὐτὸς κρινεῖ ἄκρα γῆς, δίκαιος ὤν·
Καὶ δίδωσιν ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν,
Καὶ ὑψώσει κέρας χριςῦ αὐτῦ.

ΥΜΝ. Δ'. IV.

Ἐζεκίε Esaiæ Cap. XXVI. v. 9. seqq.

Προσευχὴ Ἡσαΐε.

Ἐκ νυκλὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ Θεός·
Διότι φῶς τὰ προσάγματά σε ἐπὶ τῆς γῆς.
Δικαιοσύνην μάθετε οἱ ἐνοικῦντες ἐπὶ τῆς γῆς·
10. Πέπαυται γὰρ ὁ ἀσεβὴς, ἃ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς,
Ἀλήθειαν ἃ μὴ ποιήσει·
Ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίε·
11. Κύριε ὑψηλός σε ὁ βραχίων, καὶ ἐκ ἤδεισαν·
Γνόντες δὲ αἰσχυνθήσονται. αἰσχυνθήτωσαν
Ζῆλος λήψεται λαὸν ἀπαίδευτον·
Καὶ νῦν πῦρ τὲς ὑπεναντίες ἔδεται.
12. Κύριε ὁ Θεὸς ἡμῶν εἰρήνην δὸς ἡμῖν·
Πάντα γὰρ ※ τὰ ἔργα ἡμῶν ἀπέδωκας ἡμῖν.
13. Κύριε ὁ Θεὸς ἡμῶν κλῆσαι ἡμᾶς·
Κύριε ἐκλὸς σε ἄλλον ἐκ οἴδαμεν,
Τὸ ὄνομά σε ὀνομάζομεν.
14. Οἱ δὲ νεκροὶ ζωὴν ἃ μὴ ἴδωσιν,
Οὐδὲ ἰατροὶ ἃ μὴ ἀναςήσεσι·
Διὰ τῦτο ἐπήγαγες, καὶ ἀπώλεσας ※ αὐτὲς, καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν.
15. Πρόσθες αὐτοῖς κακὰ Κύριε,
Πρόσθες κακὰ (ἐπὶ) τοῖς ἐνδόξοις·
※ ἐμάκρυνας πάντα τὰ πέρατα τῆς γῆς.
16. Κύριε ἐν θλίψει ἐμνήθημέν σε· ἐμνήθην
Ἐν θλίψει μικρᾷ ἡ παιδεία σε ἡμῖν.
17. Καὶ ὡς ※ ἡ ἔγκυος ἡ ὠδίνεσα ἐγγίζει τῦ τεκεῖν,
Καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραξεν·
Οὕτως ἐγενήθημεν ÷ τῷ ἀγαπητῷ σε".
Διὰ τὸν φόβον σε Κύριε 18. ἐν γαςρὶ ἐλάβομεν,
Καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν·
Πνεῦμα σωτηρίας ἐκ ἐποιήσαμεν ἐπὶ ἃ τῆς γῆς.
Οὐ πεσέμεθα·
Ἀλλὰ πεσῦνται οἱ ἐνοικῦντες ἐπὶ τῆς γῆς.
19. Ἀνα-

19. Ἀναςήσονται οἱ νεκροὶ ✕ σε, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνήμασιν,
✕ Ἐξυπνισθήσονται καὶ εὐφρανθήσονται οἱ ✕ ἡσυχάζοντες ἐν τῇ γῇ·
Ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν.
Ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται.
20. Βάδιζε λαός μου, εἴσελθε εἰς τὰ ταμεῖά σου·
Ἀπόκλεισον τὴν θύραν σου ✕ κατὰ σοῦ,
ἀποκρύβηθι μικρὸν ὅσον ὅσον,
Ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου.

ΥΜΝ. Ε'. V.

Jonæ Cap. II. v. 3. seqq.

Προσευχὴ Ἰωνᾶ.
3. Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον (τὸν Θεόν μου),
Καὶ εἰσήκουσέ μου ἐκ κοιλίας ᾅδου κραυγῆς μου·
Ἤκουσας φωνῆς μου.
Βάθη 4. Ἀπέῤῥιψάς με εἰς βάθος καρδίας θαλάσσης,
Καὶ ποταμοί με ἐκύκλωσαν·
Πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.
5. Κἀγὼ εἶπα· ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου·
Ἆρα προσθήσω τοῦ ἐπιβλέψαι πρὸς ναὸν τὸν ἅγιόν σου.
6. Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου,
Ἄβυσσος ἐκύκλωσέ με ἐχάτη,
Ἑδρα ἡ κεφαλή μου εἰς χάσματα ὀρέων·
7. Κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι·
Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου,
Κύριε ὁ Θεός μου.
8. Ἐν τῷ ἐκλείπειν τὴν ψυχήν μου ἀπ' ἐμοῦ, τοῦ Κυρίου ἐμνήσθην·
Καὶ ἦλθοι πρὸς σὲ ἡ προσευχή μου εἰς ναὸν ἅγιόν σου.
9. Φυλασσόμενοι μάταια καὶ ψευδῆ ἔλεος αὐτῶν ἐγκατέλιπον·
10. Ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι,
Ὅσα ἠυξάμην ἀποδώσω σοι·
(Εἰς) σωτηρίων (μου) τῷ Κυρίῳ. σωτηρίαν

ΥΜΝ. ς'. VI.

Habac. Cap. III. v. 2. seqq.

Προσευχὴ Ἀμβακούμ.
2. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην·
Κύριε κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην.
Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ,
Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ,
Ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ·
Ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου,
ἐν ὀργῇ ἐλέους μνηθήσῃ.
3. Ὁ Θεὸς ἐκ Θαιμὰν ἥξει,
Καὶ ὁ ἅγιος ἐξ ὄρους (Φαρὰν) κατασκίου δασέος. Διάψαλμα.
Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ,
Καὶ αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ.
4. Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται·
Κέρατα ἐν χερσὶν αὐτοῦ ὑπάρχει αὐτῷ· τέρατα
Καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ.
5. Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος,
Καὶ ἐξελεύσεται ἐν πεδίλοις κατὰ πόδας οἱ πόδες αὐτοῦ.
6. Ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ·
Ἐπέβλεψε, καὶ ἐτάκη ἔθνη·
Καὶ διεθρύβη τὰ ὄρη βίᾳ,
Ἐτάκησαν βουνοὶ αἰώνιοι
Πορείαις αἰωνίοις αὐτοῦ· 7. Ἀντὶ κόπων Πορείας
εἶδον. αἰωνίας

Σκηνώματα Αἰθιόπων, πλοηθήσονται
Καὶ αἱ σκηναὶ γῆς Μαδιάμ. Διάψαλμα.
Μαδιάμ
8. Μὴ ἐν ποταμοῖς ὠργίσθης Κύριε;
Μὴ ἐν ποταμοῖς ὁ θυμός σε;
Ἢ ἐν θαλάσσῃ τὸ ὁρμημά σε;
Ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σε,
Καὶ ἡ ἱππασία σε σωτηρία.
9. Ἐνείνων ἐντενεῖς τὸ τόξον σε ἐπὶ τὰ
σκῆπτρα, λέγει Κύριος. Διάψαλμα.
ποταμῶν 10 Ποταμοῖς ῥαγήσεται γῆ·
Ὄψονταί σε καὶ ὠδινήσουσι λαοὶ,
Σκορπίζων ὕδατα πορείας (αὐτῆ).
Ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς·
Ὕψος φαντασίας αὐτῆς
Ἐπήρθη. 11. Ὁ ἥλιος καὶ ἡ σελήνη
ἔστη ἐν τῇ τάξει αὐτῆς·
Εἰς φῶς βολίδες σε πορεύσονται,
Εἰς φέγγος ἀστραπῆς ὅπλων σε.
12. Ἐν ἀπειλῇ (σε) ὀλιγώσεις γῆν,
Καὶ ἐν θυμῷ κατάξεις ἔθνη.
13. Ἐξῆλθες εἰς σωτηρίαν λαῆ σε, τῆ
σῶσαι τοὺς χριστούς σε.
Ἔβαλας εἰς κεφαλὰς ἀνόμων θάνατον·
Ἐξήγειρας δεσμὲς (σε) ἕως τραχήλε εἰς τὸ τέλος.
14. Διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν,
Σεισθήσονται ἐν αὐτῇ·
Διανοίξουσι χαλινοὺς αὐτῶν, ὡς ἔθων πλωχὸς λάθρα.
15. Καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σε, ταράσσοντας ὕδατα πολλά.
16. Ἐφυλαξάμην, καὶ ἐπλοήθη ἡ κοιλία με
Ἀπὸ φωνῆς προσευχῆς χειλέων με,
Καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ με,
Καὶ ὑποκάτωθέν με ἐταράχθη ἡ ἕξις με·
Ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεώς με,
Τῆ ἀναβῆναί με εἰς λαὸν παροικίας με.
17. Διότι συκῆ οὐ καρποφορήσει,
Καὶ οὐκ ἔσαι γενήματα ἐν ταῖς ἀμπέλοις·
Ψεύσεται ἔργον ἐλαίας,
Καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν·
Ἐξέλειπον ἀπὸ βρώσεως πρόβατα,
Καὶ οὐχ ὑπάρχουσι βόες ἐπὶ φάτναις
(ἐξιλάσεως αὐτῶν)·
18. Ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἀγαλλιάσομαι,
Χαρήσομαι ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί με.
19. Κύριος ὁ Θεός με δύναμίς με, Κύριε
Καὶ τάξει τοὺς πόδας με εἰς συντέλειαν·
Ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾶ με,
Τῆ νικῆσαι ἐν τῇ ᾠδῇ αὐτῆ.

ΥΜΝ. Ζ'. VII.

Προσευχὴ Ἐζεκίε. Esaiæ Cap. XXXVIII. v. 10. seqq.
10. Ἐγὼ εἶπα· ἐν τῷ ὕψει τῶν ἡμερῶν με
Πορεύσομαι ἐν πύλαις ᾅδε·
Καταλείψω τὰ ἔτη τὰ ἐπίλοιπα.
11. Εἶπα· ἐκέτι οὐ μὴ ἴδω τὸ σωτήριον τῆ Θεῆ ἐπὶ τῆς γῆς ※ ζώντων·
Οὐ μὴ ἴδω ἄνθρωπον ※ ἔτι μετὰ κατοικέντων".
12. Ἐξέλειπον ἐκ τῆς συγγενείας με,
Κατέλειπον τὸ λοιπὸν τῆς ζωῆς με·
Ἐξῆλθε καὶ ἀπῆλθεν ἀπ' ἐμῆ
Ὥσπερ ὁ καταλύων σκηνὴν πήξας·
Τὸ πνεῦμά με παρ' ἐμοὶ ἐγένετο

Ὡς

Ὡς ἰσὸς, ἐρίθε ἐγγιζέσης ἐκτεμεῖν.

13. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ παρεδόθην ἕως πρωΐ ὡς λέοντι,
Οὕτως συνέτριψε πάντα τὰ ὀστᾶ μου·
Ἀπὸ γὰρ τῆς ἡμέρας ἕως τῆς νυκτὸς παρεδόθην.

14. Ὡς χελιδὼν, ἔτω φωνήσω·
Καὶ ὡς περιστερὰ, ἔτω μελετήσω.
Ἐξέλειπον γὰρ οἱ ὀφθαλμοί μου, τοῦ βλέπειν
Εἰς τὸ ὕψος τοῦ οὐρανοῦ πρὸς τὸν Κύριον,
Ὅς ἐξείλατό με, 15. καὶ ἀφείλατό μου τὴν ὀδύνην τῆς ψυχῆς.

16. Κύριε (καὶ) περὶ αὐτῆς γὰρ ἀνηγγέλη σοι·
Καὶ ἐξήγειράς με τὴν πνοὴν, καὶ παρακληθεὶς ἔζησα.

17. ※ Ἰδὲ εἰς εἰρήνην πικρία μου·
Εἶλε γάρ με τὴν ψυχὴν, ἵνα μὴ ἀπόληται·
Καὶ ἀπέῤῥιψας ὀπίσω μου πάσας τὰς ἁμαρτίας μου.

18. Οὐ γὰρ οἱ ἐν ᾅδου αἰνέσουσί σε,
Οὐδὲ οἱ ἀποθανόντες εὐλογήσουσί σε,
Οὐδὲ ἐλπιοῦσιν οἱ ἐν ᾅδου τὴν ἐλεημοσύνην σου.

19. Οἱ ζῶντες εὐλογήσουσί σε, ὃν τρόπον κἀγώ·
Ἀπὸ γὰρ τῆς σήμερον παιδία ποιήσω,
Ἃ ἀναγγελεῖ τὴν δικαιοσύνην σου Κύριε τῆς σωτηρίας μου·

20. Καὶ ᾄσομαι εὐλογῶν σε μετὰ ψαλτηρίου
Πάσας τὰς ἡμέρας τῆς ζωῆς μου,
Κατέναντι τοῦ οἴκου τοῦ Θεοῦ.

ΥΜΝ. Η'. VIII.

Προσευχὴ Μανναση.

2. Paral. C. XXIII. juxta quædam exemplaria.

Κύριε παντοκράτωρ ἐπουράνιε,
Ὁ Θεὸς τῶν πατέρων ἡμῶν,
Τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ,
Καὶ τοῦ σπέρματος αὐτῶν τοῦ δικαίου·
Ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν σὺν παντὶ τῷ κόσμῳ αὐτῶν,
Ὁ πεδήσας τὴν θάλασσαν τῷ λόγῳ τοῦ προσάγματός σου,
Ὁ κλείσας τὴν ἄβυσσον, καὶ σφραγισάμενος αὐτὴν τῷ φοβερῷ καὶ ἐνδόξῳ ὀνόματί σου·
Ὃν πάντα φρίττει καὶ τρέμει ἀπὸ προσώπου δυνάμεώς σου,
Ὅτι ἄσκεπος ἡ μεγαλοπρέπεια τῆς δόξης σου,
Καὶ ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοὺς ἀπειλῆς σου·
Ἀμέτρητόν τε καὶ ἀνεξιχνίαστον τὸ ἔλεος ἔλαιον τῆς ἐπαγγελίας σου·
Ὅτι σὺ εἶ Κύριος ὕψιστος,
Εὔσπλαγχνος μακρόθυμος καὶ πολυέλεος,
Καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων.
Σὺ Κύριε κατὰ τὸ πλῆθος τῆς χρηστότητός σου ἐπηγγείλω μετάνοιαν καὶ ἄφεσιν τοῖς ἡμαρτηκόσι σοι,
Καὶ τῷ πλήθει τῶν οἰκτιρμῶν σου ὥρισας μετάνοιαν ἁμαρτωλοῖς εἰς σωτηρίαν.
Σὺ οὖν Κύριε ὁ Θεὸς τῶν δικαίων
Οὐκ ἔθου μετάνοιαν δικαίοις,
Τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, τοῖς οὐχ ἡμαρτηκόσι σοι,
Ἀλλ' ἔθου μετάνοιαν ἐμοὶ τῷ ἁμαρτωλῷ.
Διότι ἥμαρτον ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης·

Ὅτι ἐπλήθυναν αἱ ἀνομίαι μϵ,
Κύριϵ ἐπλήθυναν αἱ ἀνομίαι μϵ,
Καὶ ἐκ εἰμὶ ἄξιος ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τῦ ἐρανῦ ἀπὸ πλήθϵς τῶν ἀδικιῶν μϵ·
Κατακαμπτόμενος πολλῷ δεσμῷ σιδήρϵ,
Εἰς τὸ μὴ ἀνανεῦσαί με ὑπὲρ ἁμαρτιῶν μϵ τὴν κεφαλήν μϵ, καὶ ἐκ ἔστι μοι ἄνεσις·
Διότι παρώργισα τὸν θυμόν σϵ,
Καὶ τὸ πονηρὸν ἐνώπιόν σϵ ἐποίησα,
Μὴ ποιήσας τὸ θέλημά σϵ, καὶ μὴ φυλάξας τὰ προστάγματά σϵ,
Στήσας βδελύγματα, καὶ πληθύνας προσοχθίσματα.
Καὶ νῦν κλίνω γόνυ καρδίας μϵ, δεόμενος τῆς παρὰ σῦ χρηστότητος·
Ἡμάρτηκα, Κύριϵ, ἡμάρτηκα,
Καὶ τὰς ἀνομίας μϵ ἐγὼ γινώσκω·
Ἀλλ' αἰτοῦμαι δεόμενός σϵ·
Ἄνες μοι Κύριϵ, ἄνες μοι,
Καὶ μὴ συναπολέσῃς με ταῖς ἀνομίαις μϵ,
Μηδὲ εἰς τὸν αἰῶνα μηνίσας, τηρήσῃς τὰ κακά μοι,
Μηδὲ καταδικάσῃς με ἐν τοῖς κατωτάτοις τῆς γῆς·
Κύριϵ Ὅτι σὺ εἶ Θεὸς, ὁ Θεὸς τῶν μετανοούντων,
Καὶ ἐν ἐμοὶ δείξῃς πᾶσαν τὴν ἀγαθωσύνην σϵ,
Ὅτι ἀνάξιον ὄντα σώσϵις με κατὰ τὸ πολὺ ἔλεός σϵ.
Καὶ αἰνέσω σϵ διαπαντὸς ἐν πάσαις ταῖς ἡμέραις τῆς ζωῆς μϵ·
Ὅτι σὲ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν ἐρανῶν,
Καὶ σῦ ἐστιν ἡ δόξα εἰς τὸς αἰῶνας· Ἀμήν.

ΥΜΝ. Θ'. IX.

Danielis Cap. III. v. 26. seqq.

Προσευχὴ Ἀζαρίϵ.
† 26. Εὐλογητὸς εἶ Κύριϵ ὁ Θεὸς τῶν πατέρων ἡμῶν,
Καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σϵ εἰς τὸς αἰῶνας.
27. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν,
Καὶ πάντα τὰ ἔργα σϵ ἀληθινὰ, καὶ εὐθεῖαι αἱ ὁδοί σϵ,
Καὶ πᾶσαι αἱ κρίσϵις σϵ ἀληθεῖς·
28. Καὶ κρίματα ἀληθείας ἐποίησας,
Κατὰ πάντα ὅσα ἐπήγαγϵς ἡμῖν ἐποίησας
Καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν πατέρων ἡμῶν Ἱερυσαλήμ· τῶν
Ὅτι ἐν ἀληθείᾳ καὶ κρίσϵι ἐπήγαγϵς ταῦτα πάντα διὰ τὰς ἁμαρτίας ἡμῶν·
29. Ὅτι ἡμάρτομϵν καὶ ἠνομήσαμϵν ἀποστάντϵς ἀπὸ σῦ,
Καὶ ἐξημάρτομϵν ἐν πᾶσι, 30. καὶ τῶν ἐντολῶν σϵ ἐκ ἠκύσαμϵν,
Οὐδὲ συνετηρήσαμϵν, οὐδὲ ἐποιήσαμϵν
Καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται.
31. Καὶ πάντα ὅσα ἐπήγαγϵς ἡμῖν, καὶ πάντα ὅσα ἐποίησας ἡμῖν, ἐν ἀληθινῇ κρίσϵι ἐποίησας·
32. Καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων καὶ ἐχθίστων ἀποστατῶν,
Καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν.
33. Καὶ νῦν ἐκ ἔστιν ἡμῖν ἀνοίξαι τὸ στόμα·
Αἰσχύνη καὶ ὄνειδος ἐγενήθη τοῖς δούλοις σϵ καὶ τοῖς σϵβομένοις σϵ.
34. Μὴ δὴ παραδῷς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σϵ,

Καὶ

† Iſte hymnus, cum ſequente, totus lemniſcis ÷ à margine notandus.

Καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σε,
35. Καὶ μὴ ἀποσήσῃς τὸ ἔλεός σε ἀφ' ἡμῶν,
Διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ,
Καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σε,
Καὶ Ἰσραὴλ τὸν ἅγιόν σε,
36. Οἷς ἐλάλησας πρὸς αὐτοὺς λέγων,
Πληθῦναι τὸ σπέρμα αὐτῶν, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ,
Καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.
37. Ὅτι δέσποτα ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη,
Καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν·
38. Καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης καὶ ἡγέμενος,
Οὐδὲ ὁλοκαύτωσις, οὐδὲ θυσία,
Οὐδὲ προσφορὰ, οὐδὲ θυμίαμα,
Οὐ Οὐδὲ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σε,
καὶ εὑρεῖν ἔλεος·
39. Ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν.
40. Ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων,
Καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων,
Οὕτως γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σε σήμερον,
Καὶ ἐκλελέσαι ὄπισθέν σε·
Ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σοί.
41. Καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ καὶ φοβούμεθά σε,
Καὶ ζητοῦμεν τὸ πρόσωπόν σε·
42. Μὴ καταισχύνῃς ἡμᾶς,
Ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σε,
Καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σε·
43. Καὶ ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σε,
Καὶ δὸς δόξαν τῷ ὀνόματί σε, Κύριε.
44. Καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σε κακὰ,
Καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυνάμεως καὶ δυναστείας,
Καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη·
45. Καὶ γνώτωσαν, ὅτι σὺ εἶ Κύριος ὁ Θεὸς μόνος,
Καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην.

ΩΔΗ Ι'. X.

ΥΜνος τῶν πατέρων ἡμῶν. Danielis Cap. III. v. 52. seqq.
52. Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν,
Καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας·
Καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον (σου), καὶ ὑπεραινετὸν καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας.
53. Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου,
Καὶ ὑπερυμνητὸς καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας.
*55. Εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους, καθήμενος ἐπὶ τῶν Χερουβείμ, Χερουβεὶν
Καὶ ὑπερυμνητὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.
*54. Εὐλογημένος εἶ ἐπὶ θρόνου τῆς βασιλείας σου,
Καὶ ὑπερυμνητὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.
56. Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ,

Καὶ ὑπερυμνητὸς καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας.

57. Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίε τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τὲς αἰῶνας.

*59. Εὐλογεῖτε ἐρανοὶ τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὲς αἰῶνας.

*58. Εὐλογεῖτε ἄγγελοι Κυρίε τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὲς αἰῶνας.

60. Εὐλογεῖτε ὕδατα πάντα τὰ ἐπάνω τῦ ἐρανῦ τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὲς αἰῶνας.

61. Εὐλογεῖτε πᾶσαι αἱ δυνάμεις Κυρίε τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὲς αἰῶνας.

62. Εὐλογεῖτε ἥλιος καὶ σελήνη τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὲς αἰῶνας.

63. Εὐλογεῖτε ἄστρα τῦ ἐρανῦ τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὲς αἰῶνας.

64. Εὐλογεῖτε πᾶς ὄμβρος καὶ δρόσος τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὲς αἰῶνας.

65. Εὐλογεῖτε πάντα τὰ πνεύματα τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὲς αἰῶνας.

66. Εὐλογεῖτε πῦρ καὶ καῦμα τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὲς αἰῶνας.

67. Εὐλογεῖτε ψύχος καὶ καύσων τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὲς αἰῶνας.

68. Εὐλογεῖτε δρόσοι καὶ νιφετοὶ τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὲς αἰῶνας.

*71. Εὐλογεῖτε νύκλες καὶ ἡμέραι τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὲς αἰῶνας.

72. Εὐλογεῖτε Φῶς καὶ σκότος τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὲς αἰῶνας.

*69. Εὐλογεῖτε πάγος καὶ ψύχος τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὲς αἰῶνας.

*70. Εὐλογεῖτε πάχναι καὶ χιόνες τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὲς αἰῶνας.

73. Εὐλογεῖτε ἀστραπαὶ καὶ νεφέλαι τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τὲς αἰῶνας.

74. Εὐλογείτω ἡ γῆ τὸν Κύριον,
Ὑμνείτω καὶ ὑπερυψέτω αὐτὸν εἰς τὲς αἰῶνας.

75. Εὐλογεῖτε ὄρη καὶ βουνοὶ τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

76. Εὐλογεῖτε πάντα τὰ Φυόμενα ἐν τῇ γῇ τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

77. Εὐλο-

77. Εὐλογεῖτε αἱ πηγαὶ τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

78. Εὐλογεῖτε θάλασσαι καὶ ποταμοὶ τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

79. Εὐλογεῖτε κήτη καὶ πάντα τὰ κινέμενα ἐν τοῖς ὕδασι τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

80. Εὐλογεῖτε πάντα τὰ πετεινὰ τῷ ἀρανῷ τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

81. Εὐλογεῖτε τὰ θηρία καὶ πάντα τὰ κλήνη τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὰς αἰῶνας.

82. Εὐλογεῖτε υἱοὶ τῶν ἀνθρώπων τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τοὺς αἰῶνας.

83. Εὐλογείτω Ἰσραὴλ τὸν Κύριον,
Ὑμνείτω καὶ ὑπερυψώτω αὐτὸν εἰς τοὺς αἰῶνας.

84. Εὐλογεῖτε ἱερεῖς Κυρίω τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τοὺς αἰῶνας.

85. Εὐλογεῖτε δοῦλοι Κυρίω τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τοὺς αἰῶνας.

86. Εὐλογεῖτε πνεύματα καὶ ψυχαὶ δικαίων τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τὰς αἰῶνας.

87. Εὐλογεῖτε ὅσιοι καὶ ταπεινοὶ καρδίᾳ τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τοὺς αἰῶνας.

88. Εὐλογεῖτε Ἀνανία, Ἀζαρία, Μισαὴλ τὸν Κύριον,
Ὑμνεῖτε καὶ ὑπερυψῶτε αὐτὸν εἰς τοὺς αἰῶνας.

ΥΜΝ. ΙΑ′ XI.

Προσευχὴ Μαρίας τῆς Θεοτόκου. Luc. C. 1. v. 46. seqq.
46. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον,

47. Καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

48. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ·
Ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

49. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός·
Καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ.

50. Καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς γενεῶν τοῖς φοβουμένοις αὐτόν. ἀπὸ γενεᾶς εἰς γενεὰν

51. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ·
Διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

52. Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς.

53. Πεινῶντας ἐνέπλησεν ἀγαθῶν,
Καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

54. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ,
Μνησθῆναι ἐλέους 55. (καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν,
Τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ) ἕως αἰῶνος.

ὙΜΝ. ΙΒ'. XII.

Luc. Cap. II. v. 29. seqq.

Προσευχὴ Συμεών.

29. Νῦν ἀπολύεις τὸν δοῦλόν σε, δέσποτα κατὰ τὸ ῥῆμά σε, ἐν εἰρήνῃ·

30. Ὅτι εἶδον οἱ ὀφθαλμοί μὲ τὸ σωτήριόν σε,

31. Ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν,

32. Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν,
Καὶ δόξαν λαοῦ σε Ἰσραήλ.

ὙΜΝ. ΙΓ'. XIII.

Luc. Cap. I. v. 68. seqq.

Προσευχὴ Ζαχαρίου.

68. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ·
Ὅτι ἐπεσκέψατο, καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ,

69. Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν
Ἐν τῷ οἴκῳ Δαυὶδ τοῦ παιδὸς αὐτοῦ·

70. Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ·

71. Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν,
Καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς·

72. Ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν,
Καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ,

73. Ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν,
Τοῦ δοῦναι ἡμῖν, 74. ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν
Ῥυσθέντας, λατρεύειν αὐτῷ 75. ἐν ὁσιότητι καὶ δικαιοσύνῃ
Ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας ἡμῶν.

76. Καὶ σὺ δὲ παιδίον προφήτης ὑψίστου κληθήσῃ·
Προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ·

77. Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ,
Ἐν ἀφέσει ἁμαρτιῶν ἡμῶν

78. Διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν,
Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους,

79. Ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις,
Τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

ὙΜΝ. ΙΔ'. XIV.

Ὕμνος ἑωθινός.

Δόξα ἐν ὑψίστοις Θεῷ,
Καὶ ἐπὶ γῆς εἰρήνη,
Ἐν ἀνθρώποις εὐδοκία.
Αἰνοῦμέν σε,
Εὐλογοῦμέν σε,
Προσκυνοῦμέν σε,
Δοξολογοῦμέν σε,
Εὐχαριστοῦμέν σοι,
Διὰ τὴν μεγάλην σου δόξαν,
Κύριε βασιλεῦ
Ἐπουράνιε,
Θεὲ πατὴρ παντοκράτωρ,
Κύριε υἱὲ μονογενὲς μονογενοῦς
Ἰησοῦ Χριστὲ,
Καὶ ἅγιον πνεῦμα.
Κύριε ὁ Θεὸς,
Ὁ ἀμνὸς τοῦ Θεοῦ,
Ὁ υἱὸς τοῦ πατρὸς,
Ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου,
Ἐλέησον ἡμᾶς·

Ὁ αἴ-

Ὁ αἴρων τὰς ἁμαρτίας τῦ κόσμυ, (ἐλέησον ἡμᾶς)
Πρόσδεξαι τὴν δέησιν ἡμῶν·
Ὁ καθήμενος ἐν δεξιᾷ τῦ πατρὸς,
Ἐλέησον ἡμᾶς.
Ὅτι σὺ εἶ μόνος ἅγιος,
Σὺ εἶ μόνος Κύριος,
Ἰησοῦς Χριστὸς,
Εἰς δόξαν Θεῦ πατρός. Ἀμήν.
Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε,
Καὶ αἰνέσω τὸ ὄνομά συ εἰς τὸν αἰῶνα,
Καὶ εἰς τὸν αἰῶνα τῦ αἰῶνος.
Καὶ ἀξίωσον Κύριε καὶ τὴν ἡμέραν ταύτην
Ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.
Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν,
Καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά συ εἰς τὺς αἰῶνας. Ἀμήν.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά συ·
Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά συ.
Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά συ.
Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ.
Ἐγὼ εἶπα· Κύριε ἐλέησόν με,
Ἴασαι τὴν ψυχήν μυ, ὅτι ἥμαρτόν σοι.
Κύριε πρὸς σὲ κατέφυγα·
Δίδαξόν με τῦ ποιεῖν τὸ θέλημά συ, ὅτι σὺ εἶ ὁ Θεός μυ.
Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς·
Ἐν τῷ φωτί συ ὀψόμεθα φῶς.
Παράτεινον τὸ ἔλεός συ τοῖς γινώσκυσί σε.

Ὠδὴ
ιδ'.

ΙΩΒ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΑΝθρωπος ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι, ᾧ ὄνομα Ἰώβ·
Καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἄμεμπτος, δίκαιος, καὶ ἀληθινὸς, καὶ θεοσεβὴς,
Ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος.

2. Ἐγένοντο δὲ αὐτῷ υἱοὶ ἑπτὰ, καὶ θυγατέρες τρεῖς·

3. Καὶ ἦν τὰ κλήνη αὐτοῦ πρόβατα ἑπτακισχίλια,
Κάμηλοι τρισχίλιοι,
Ζεύγη βοῶν πεντακόσια,
Καὶ ὄνοι θήλειαι νομάδες πεντακόσιοι,
÷ Καὶ ὑπηρεσία πολλὴ σφόδρα",
Καὶ ἔργα μεγάλα ἦν αὐτῷ ἐπὶ τῆς γῆς·
Καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν.

4. Συμπορευόμενοι δὲ οἱ υἱοὶ αὐτοῦ πρὸς ἀλλήλους,
Ἐποίουν πότον καθ' ἑκάστην ἡμέραν,
Συμπαραλαμβάνοντες (ἅμα) καὶ τὰς τρεῖς ἀδελφὰς αὐτῶν,
Ἐσθίειν καὶ πίνειν μετ' αὐτῶν.

5. Καὶ ὡς ἂν συνετελέσθησαν αἱ ἡμέραι τοῦ πότου,
Ἀπέστειλεν Ἰὼβ, καὶ ἐκαθάριζεν αὐτὸς, ἀνιστάμενος τοπρωΐ·
Προσέφερέ τε θυσίας περὶ αὐτῶν κατὰ τὸν ἀριθμὸν αὐτῶν,
÷ Καὶ μόσχον ἕνα περὶ ἁμαρτίας ὑπὲρ τῶν ψυχῶν αὐτῶν". ÷
Ἔλεγε γὰρ Ἰώβ· μήποτε οἱ υἱοί μου ✕ ἥμαρτον, καὶ ἐν τῇ καρδίᾳ αὐτῶν κακὰ ἐνενόησαν πρὸς τὸν Θεόν.
Οὕτως ἐποίει Ἰὼβ πάσας τὰς ἡμέρας (αὐτῶν).

6. Καὶ ἐγένετο ὡς ἡ ἡμέρα αὕτη,
Καὶ ἦλθον οἱ ἄγγελοι τοῦ Θεοῦ παραστῆναι ἐνώπιον τοῦ Κυρίου·
Καὶ ὁ διάβολος ἦλθε μετ' αὐτῶν,
÷ περιελθὼν τὴν γῆν,
Καὶ ἐμπεριπατήσας τὴν ὑπ' ἐρανόν". ÷

7. Καὶ εἶπεν ὁ Κύριος πρὸς τὸν διάβολον· πόθεν παραγέγονας;
Καὶ ἀποκριθεὶς ὁ διάβολος τῷ Κυρίῳ, εἶπε·
Περιελθὼν τὴν γῆν, καὶ ἐμπεριπατήσας τὴν ὑπ' ἐρανὸν, πάρειμι.

8. Καὶ εἶπεν αὐτῷ ὁ Κύριος· Θεός

Προσέ-

ΙΩΒ. Cap. I. v. 1. Ἄνθρωπος ἦν) Ἄνθρωπός τις ἦν. ibid. ἄμεμπτος, δίκαιος, ἀληθινὸς, θεοσεβὴς) ἀληθινὸς, ἄμεμπτος, δίκαιος, θεοσεβὴς. v. 3. Καμ. τρισχίλιοι) κάμηλοι τρισχίλιαι. ibid. πεντακόσια ὄνοι θήλειαι v. πεντακόσιοι) πεντακόσιαι, θήλειαι ὄνοι νομάδες πεντακόσιαι. v. 4. Ἐποίουν) ἐποιοῦσαν. v. 5. Ἀπέστειλεν) Ἀπέστελλεν. ibid. Προσέφερέ τε θυσίας περὶ αὐτῶν) καὶ προσέφερε περὶ αὐτῶν θυσίας. ib. ὑπὲρ τῶν ψυχ.) περὶ τῶν ψυχῶν. ib. ἐν τῇ καρδίᾳ) ἐν τῇ διανοίᾳ ib. πρὸς τὸν Θεὸν) πρὸς Θεὸν. ib. Οὕτως ἐποίει) οὕτως οὖν ἐποίει Ἰὼβ. ib. (αὐτῶν) abeſt. v. 6. ſtich. 2. Καὶ ἦλθον) καὶ ἰδοὺ ἦλθον. ibid. ſtich. 3. & 4. περιελθὼν τὴν γῆν - - ἐρανόν.) deſunt omnia in Edit. Rom. v. 7. πρὸς τὸν διάβολον) τῷ διαβόλῳ. v. 8. ſtich. 1. ὁ Θεὸς) ὁ Κύριος.

Προσέχες τῇ διανοίᾳ σε κατὰ τὸ παιδός μὲ Ἰὼβ;
θεράποντος
Ὅτι ἐκ ἔστιν (ἄνθρωπος) ὅμοιος αὐτῷ τῶν ἐπὶ τῆς γῆς,
Ἄνθρωπος ἄμεμπτος, (δίκαιος), ἀληθινὸς, θεοσεβὴς,
Ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος.

9. Ἀπεκρίθη δὲ ὁ διάβολος ἐναντίον Κυρίε, καὶ εἶπε·
Μὴ δωρεὰν Ἰὼβ σέβεται τὸν Θεόν;

10. Οὐ σὺ περιέφραξας αὐτὸ τὰ ἔξω, καὶ τὰ ἔσω τῆς οἰκίας αὐτοῦ,
Καὶ τὰ ἔξωθεν πάντων τῶν ὄντων αὐτῷ κυκλόθεν;
Τὰ (δὲ) ἔργα τῶν χειρῶν αὐτοῦ εὐλόγησας,
Καὶ τὰ κλήνη αὐτοῦ πολλὰ ἐποίησας ἐπὶ τῆς γῆς.

11. Ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σε, καὶ ἅψαι πάντων ὧν ἔχει·
Εἰ μὴν εἰς πρόσωπόν ✕ σε σὲ εὐλογήσει.

12. Καὶ εἶπεν ὁ Κύριος τῷ διαβόλῳ·
Ἰδὲ πάντα ὅσα ἐστὶν αὐτῷ, ἐν τῇ χειρί σε δίδωμι,
δέδωκα
Ἀλλὰ αὐτοῦ μὴ ἅψῃ.
Καὶ ἐξῆλθεν ὁ διάβολος ἀπὸ προσώπε Κυρίε.

13. Καὶ ἐγένετο ὡς ἡ ἡμέρα αὕτη,
Καὶ οἱ υἱοὶ τοῦ Ἰὼβ καὶ αἱ θυγατέρες αὐτοῦ ✕ ἤθιον καὶ ἔπινον οἶνον
Ἐν τῇ οἰκίᾳ τοῦ ἀδελφοῦ αὐτῶν τοῦ πρεσβυτέρου.

14. Καὶ ἰδὲ ἄγγελος ἦλθε πρὸς Ἰὼβ, καὶ εἶπεν αὐτῷ·
Τὰ ζεύγη τῶν βοῶν ἠροτρία,
Καὶ αἱ θήλειαι ὄνοι ἐβόσκοντο ἐχόμεναι αὐτῶν·

15. Καὶ ἐλθόντες οἱ αἰχμαλωτεύοντες ἠχμαλώτευσαν αὐτὰς,
Καὶ τοὺς παῖδας ἐπάταξαν ἐν στόματι μαχαίρας· καὶ ἐσώθην ἐγὼ μόνος, καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.

16. Ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος πρὸς Ἰὼβ, καὶ εἶπεν αὐτῷ·
Πῦρ ✕ Θεοῦ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ (ἐπὶ τὴν γῆν),
Καὶ κατέκαυσε τὰ πρόβατα, καὶ τοὺς ποιμένας * κατέφαγεν ὁμοίως· κατέφαγεν
Καὶ ἐσώθην ἐγὼ μόνος, καὶ ἦλθον * κατέκαυσεν τοῦ ἀπαγγεῖλαί σοι.

17. Ἔτι τούτου λαλοῦντος, ἕτερος ἄγγελος ἔρχεται πρὸς Ἰὼβ,
Καὶ λέγει αὐτῷ· οἱ ἱππεῖς ἐποίησαν ἡμῖν ἀρχὰς τρεῖς, καὶ ἐκύκλωσαν

v. 8. stich. 2. θεράποντος) παιδὸς. ibid. st. 3. ἔστιν ἄνθρωπος ὅμοιος αὐτῷ τῶν ἐπὶ) ἔστι κατ' αὐτὸν ἐπὶ. ib. st. 4. (δίκαιος) abest. v. 9. ἐναντίον Κυρίε) καὶ εἶπεν ἐναντίον τοῦ κυρίου. ibid. τὸν Θεὸν) τὸν κύριον. v. 10. stich. 1. αὐτοῦ τὰ ἔξω) τὰ ἔξω αὐτοῦ. ib. st. 2. ἔξωθεν) ἔξω. ib. αὐτῷ κυκλόθεν) αὐτοῦ κύκλῳ. v. 11. Εἰ μὴν) ἢ μὴν. v. 12. stich. 1. Καὶ εἶπεν) τότε εἶπεν. ib. st. 2. ἐν τῇ χ. σε δέδωκα) δίδωμι ἐν τῇ χειρί σου. ib. st. 3. Ἀλλὰ) ἀλλ'. ib. st. 4. ἀπὸ προσώπου Κυρίου) παρὰ τοῦ κυρίε. v. 13. stich. 1. Καὶ ἐγένετο ὡς) καὶ ἦν ὡς. ibid. st. 2. Καὶ οἱ υἱοὶ τοῦ Ἰὼβ) οἱ υἱοὶ Ἰὼβ. ib. ἤθιον καὶ) deest. v. 15. stich. 1. αὐτὰς) αὐτὰς. ibid. st. 2. ἐπάταξαν ἐν - - τοῦ ἀπαγγεῖλαί σοι.) ἀπέκτειναν ἐν μαχαίρᾳ. σωθεὶς δὲ ἐγὼ μόνος ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. v. 16. stich. 1. πρὸς Ἰὼβ, καὶ εἶπεν αὐτῷ) καὶ εἶπεν πρὸς Ἰὼβ. ibid. st. 2. (ἐπὶ τὴν γῆν) non habet. ib. st. 3. κατέφαγε τὰ πρόβ.) κατέκαυσε τὰ πρόβατα. ib. κατέκαυσεν ὁμοίως) κατέφαγεν ὁμοίως. ib. st. 4. Καὶ ἐσώθην) σωθεὶς δὲ. ib. καὶ ἦλθον) ἦλθον. v. 17. stich. 1. ἕτερος ἄγγελος ἔρχεται πρὸς Ἰὼβ, καὶ λέγει αὐτῷ·) ἦλθεν ἕτερος ἄγγελος καὶ εἶπε πρὸς Ἰὼβ. ibid. st. 2. ἀρχὰς) κεφαλὰς.

τὰς καμήλες, καὶ ἠχμαλώτευσαν αὐτὰς,
Καὶ τὲς παῖδας ἀπέκλειναν ἐν μαχαίραις·
Καὶ ἐσώθην ἐγὼ μόνος, ÷ καὶ ἦλθον" τῦ ἀπαγγεῖλαί σοι.
18. Ἔτι τέτε λαλοῦντος, ἄλλος ἄγγελος ἔρχεται ÷ πρὸς Ἰωβ", λέγων·
Τῶν υἱῶν σε καὶ τῶν θυγατέρων σε
Ἐσθιόντων καὶ πινόντων ✕ οἶνον παρὰ (τῷ υἱῷ σε)
Τῷ ἀδελφῷ αὐτῶν τῷ πρεσβυτέρῳ,
19. Ἐξαίφνης πνεῦμα μέγα ἦλθεν ἀπὸ τῆς ἐρήμε,
Καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας,
Καὶ ἔπεσεν ἡ οἰκία ἐπὶ τὰ παιδία σε, καὶ ἐτελεύτησαν· καὶ ἐσώθην ἐγὼ μόνος, καὶ ἦλθον τῦ ἀπαγγεῖλαί σοι.
20. Οὕτως (ἀκέσας) Ἰωβ ἀνασὰς διέρρηξε τὰ ἱμάτια αὐτῦ,
Καὶ ἐκείρατο τὴν κόμην τῆς κεφαλῆς αὐτῦ, (καὶ κατεπάσατο γῆν ἐπὶ τῆς κεφαλῆς αὐτῦ,)
Καὶ πεσὼν χαμαὶ προσεκύνησε (τῷ Κυρίῳ), 21. καὶ εἶπεν·
Αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός με, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ·
Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο· ÷ Ὡς τῷ Κυρίῳ ἔδοξεν, ἔτω (καὶ) ἐγένετο".
Εἴη τὸ ὄνομα Κυρίε εὐλογημένον (εἰς τὲς αἰῶνας).
22. Ἐν τέτοις πᾶσι ÷ τοῖς συμβεβηκόσιν αὐτῷ" ἐχ ἥμαρτεν Ἰωβ ἐδὲν ÷ ἔναντι Κυρίε", (ἐδὲ ἐν τοῖς χείλεσιν αὐτῦ)·
Καὶ ἐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ.

ΚΕΦ. Β'. II.

ΕΓένετο δὲ ὡς ἡ ἡμέρα αὕτη,
Καὶ ἦλθον οἱ ἄγγελοι τῦ Θεῦ παραστῆναι ἐνώπιον Κυρίε·
Καὶ ὁ διάβολος ἐν μέσῳ αὐτῶν ἦλθε ✕ παραστῆναι ἔναντι Κυρίε".
2. Καὶ εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· πόθεν σὺ ἔρχῃ;
Τότε εἶπεν ὁ διάβολος ἔναντι Κυρίε·
Διαπορευθεὶς τὴν ὑπ' ἐρανὸν, καὶ ἐμπεριπατήσας τὴν σύμπασαν, πάρειμι. γῆν
3. Εἶπε δὲ ὁ Κύριος πρὸς τὸν διάβολον· Σαλανᾶν
Προσέχες σὺν τῷ θεράποντί με Ἰώβ;
Ὅτι ἐκ ἔστι κατ' αὐτὸν τῶν ἐπὶ τῆς γῆς ἄνθρωπος (ὅμοιος αὐτῷ),
Ἄμεμπλος, (δίκαιος) ἀληθινὸς, θεοσεβὴς,

Ἀπε-

v. 17. ſtich. 4. Καὶ ἐσώθην) ἐσώθην δὲ. v. 18. ſtich. 1. πρὸς Ἰωβ λέγων) λέγων τῷ Ἰώβ. ibid. ſt. 3. (τῷ υἱῷ σε) deeſt. v. 19. ſtich. 1. ἦλθεν ἀπὸ τῆς) ἐπῆλθεν ἐκ τῆς. ibid. ſt. 3. καὶ ἐσώθην) ἐσώθην δὲ. v. 20. (ἀκέσας) abeſt. ibid. Ἰωβ ἀνασὰς διέρρηξε) ἀνασὰς Ἰωβ ἔρρηξε. ib. αὐτοῦ) ἑαυτοῦ. ib. ſtich. 2. κεφαλῆς αὐτοῦ) κεφαλῆς. ib. (καὶ κατεπάσατο γῆν ἐπὶ τῆς κεφαλῆς αὐτῦ) hæc omnia deſunt. ib. ſt. 3. (τῷ Κυρίῳ) deeſt. v. 21. ſtich. 3. ἔτω καὶ) οὕτως. ibid. ſt. 4. (εἰς τὲς αἰῶνας) non habet. v. 22. ἐχ ἥμαρτεν - - Κυρίου,) οὐδὲν ἥμαρτεν Ἰωβ ἐναντίον τοῦ κυρίε. ibid. (ἐδὲ ἐν τοῖς χείλεσιν αὐτοῦ) deſunt. CAP. II. v. 1. ſtich. 2. ἐνώπιον) ἔναντι. ib. ſt. 3. ἐν μέσῳ αὐτῶν ἦλθεν) transpoſita. ib. ἔναντι Κυρίε·) ἐναντίον τοῦ Κυρίου. v. 2. ſtich. 2. ἔναντι Κυρίου) ἐνώπιον τῦ Κυρίου. ibid. ſt. 3. τὴν γῆν) τὴν σύμπασαν. v. 3. ſtich. 1. τὸν Σαταναῦν) τὸν διάβολον. ibid. ſt. 3. (ὅμοιος αὐτῷ) deſunt. ib. ſt. 4. ita legitur in *Rom.* ἄκακος, ἀληθινὸς, ἄμεμπλος, θεοσεβὴς.

Ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ, ἔτι δὲ ἔχεται ἀκακίας·
Σὺ δὲ εἶπας τὰ ὑπάρχοντα αὐτοῦ ἀπολέσαι διακενῶς.
4. Ὑπολαβὼν δὲ ὁ διάβολος, εἶπε τῷ Κυρίῳ· δέρμα ὑπὲρ δέρματος,
Καὶ πάντα ὅσα ὑπάρχει τῷ ἀνθρώπῳ, δώσει ὑπὲρ τῆς ψυχῆς αὐτοῦ·
5. Οὐ μὴν δὲ ἀλλὰ ἀποσείλας τὴν χεῖρά σε, ἅψαι τῶν ὀστῶν αὐτοῦ καὶ τῶν σαρκῶν αὐτοῦ,
Εἰ μὴ εἰς πρόσωπόν σε σὲ εὐλογήσει.
6. Εἶπε δὲ ὁ Κύριος τῷ διαβόλῳ· ἰδοὺ παραδίδωμί σοι αὐτόν·
διατήρησον Μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον.
7. Ἐξῆλθε δὲ ὁ διάβολος * ἀπὸ ※ προσώπε τοῦ Κυρίε,
* παρὰ Καὶ ἔπαισε τὸν Ἰωβ ἕλκει πονηρῷ ἀπὸ ποδῶν ἕως κεφαλῆς.
8. Καὶ ἔλαβεν (Ἰωβ) ※ ἑαυτῷ ὄστρακον, ἵνα ἀποξέῃ τὸν ἰχῶρα αὐτοῦ·
Καὶ ※ αὐτὸς" ἐκάθητο ἐπὶ τῆς κοπρίας ἔξω τῆς πόλεως.
9. Χρόνῳ δὲ πολλῷ προβεβηκότος, ※ καὶ
τῷ Ἰωβ εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ·
Μέχρις τίνος καρτερήσεις ÷ λέγων·
÷ ἰδοὺ, ἀναμενῶ χρόνον ἔτι μικρὸν,
÷ προσδεχόμενος τὴν ἐλπίδα τῆς
÷ σωτηρίας μου.
Ἰδοὺ γὰρ ἠφάνισαι τὸ μνημόσυνόν σε ÷
ἀπὸ τῆς γῆς, ÷
Υἱοί σε καὶ θυγατέρες, τῆς ἐμῆς κοι- ÷
λίας ὠδῖνες καὶ πόνοι, ÷
Οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ ÷
μόχθων· ÷
Σὺ δὲ αὐτὸς ἐν σαπρίᾳ σκωλήκων κά- ÷
θησαι διανυκτερεύων αἰθριος· ÷
Καὶ ἐγὼ πλανῆτις καὶ λάτρις, ÷
Τόπον ἐκ τόπε περιερχομένη, καὶ οἰ- ÷
κίαν ἐξ οἰκίας, ÷
Προσδεχομένη τὸν ἥλιον πότε δύσῃ, ÷
Ἵνα ἀναπαύσωμαι τῶν μόχθων, ÷
Καὶ τῶν περιεχόντων με ὀδυνῶν, αἵ ÷
με νῦν συνέχουσιν". ÷
Ἀλλ' εἰπόν τι ῥῆμα εἰς Κύριον, καὶ τε- πρὸς
λεύτα.
10. Ὁ δὲ ÷ ἐμβλέψας" αὐτῇ εἶπεν·
(Ἰνατί) ὥσπερ μία τῶν ἀφρόνων γυ-
ναικῶν (ἔτως) ἐλάλησας.
Εἰ τὰ μὲν ἀγαθὰ ἐδεξάμεθα ἐκ
χειρὸς Κυρίε, τὰ δὲ κακὰ οὐχ ὑ-
ποίσομεν;
Ἐν τούτοις πᾶσι ÷ τοῖς συμβεβηκό-
σιν αὐτῷ" οὐχ ἥμαρτεν Ἰωβ ἐδὲ
ἐν τοῖς χείλεσιν ※ αὐτοῦ" ÷ ἐναν-
τίον τοῦ Θεοῦ".
11. Ἀκέσαντες δὲ οἱ τρεῖς Φίλοι αὐτοῦ
τὰ κακὰ πάντα ※ ταῦτα τὰ ἐ-
πελθόντα αὐτῷ,

v. 3. ſtich. 6. τὰ ὑπάρχοντα) ὑπάρχοντα. ib. ἀπολέσαι διακενῶς) transpoſita. v. 4. ſtich. 2. Καὶ πάντα) deeſt. ibid. τῷ ἀνθρ.) τῷ deeſt. ib. δώσει ὑπὲρ τ. ψ. αὐτοῦ) ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἐκλίσει. v. 5. ſtich. 2. Εἰ μὴ) ἢ μὴν. v. 6. ſtich. 2. διατήρησον) διαφύλαξον. v. 7. ſtich. 1. παρὰ) ἀπὸ. v. 8. (Ἰωβ) deeſt. ibid. ἵνα ἀποξέῃ τὸν ἰχῶρα αὐτοῦ·) ἵνα τὸν ἰχῶρα ξύῃ. ib. ſt. 2. αὐτὸς) deeſt. v. 9. ſtich. 1. τῷ Ἰωβ) αὐτῷ. ibid. ſt. 2. Μέχρις) μέχρι. ib. ſt. 3. τὸ μνημ. σε) σου τὸ μνημόσυνον. ib. ſt. 4. Υἱοί σε) υἱοί. ib. τῆς ἐμῆς) ἐμῆς. ib. ſt. 6. Σὺ δὲ) σύ τε. ib. ſt. 7. Καὶ ἐγὼ πλανῆτις) κἀγὼ πλανωμένη. ib. ſt. 8. περιεχομένη) non habet. ib. ſt. 9. δύσῃ) δύσεται. ib. ſt. 10. μόχθων) addit μου. ib. ſt 11. περιεχόντων με) deficit. ib. ſt. 12. Ἀλλ') Ἀλλὰ. ib. πρὸς Κύριον) εἰς Κύριον. v. 10. ſtich. 1. αὐτῇ εἶπεν) transpoſita. ibid. ſt. 2. (Ἰνατί) deeſt. ib. (ἔτως) abeſt. ib. ſt. 3. Εἰ τὰ μὲν) εἰ τὰ. ib. τὰ δὲ κ.) τὰ κακὰ. ib. ſt. 4. Ἐν τούτοις πᾶσι) ἐν πᾶσι τούτοις. ib. οὐχ) οὐδὲν. ib. ἐδὲ ἐν τοῖς χ. αὐτοῦ) τοῖς χείλεσιν.

Παρεγένοντο ἕκαστος ἐκ τῆς ἰδίας
πόλεως χώρας πρὸς αὐτὸν (τὸ παρακαλέσαι καὶ ἐπισκέψαθαι αὐτόν)·
Ἐλιφὰζ ὁ Θαιμανῶν βασιλεὺς.
Βαλδὰς ✕ Καὶ" Βαλδὰδ ὁ Σαυχαίων τύραννος,
Καὶ Σωφὰρ ὁ Μιναίων βασιλεύς·
Καὶ παρεγένοντο ὁμοθυμαδὸν πρὸς αὐτὸν, τὸ παρακαλέσαι καὶ ἐπισκέψαθαι αὐτόν·

12. Ἰδόντες δὲ αὐτὸν πόρρωθεν, ἐκ ἐπέγνωσαν,
Καὶ βοήσαντες φωνῇ μεγάλῃ ἔκλαυσαν·
Ῥήξαντες δὲ ἕκαστος τὴν ἑαυτῦ στολὴν, καὶ καταπασάμενοι γῆν ἐπὶ τὰς κεφαλὰς αὐτῶν ※ εἰς τὸν ἀέρα,
13. Παρεκάθηντο αὐτῷ ※ ἐπὶ τῆς γῆς ἑπτὰ ἡμέρας καὶ ἑπτὰ νύκτας,
Καὶ ἀδεὶς αὐτῶν ἐλάλησε ※ πρὸς
※ αὐτὸν λόγον".
Ἑώρων γὰρ τὴν πληγὴν ÷ δεινὴν ἔσαν καὶ" μεγάλην σφόδρα.

ΚΕΦ. Γ'. III.

ΚΑΙ) μετὰ ταῦτα ἤνοιξεν Ἰωβ τὸ στόμα αὐτῦ,
Καὶ κατηράσατο τὴν ἡμέραν αὐτῦ·
2. ※ Καὶ ἀπεκρίθη Ἰωβ", λέγων·
3. Ἀπόλοιτο ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην ※ ἐν αὐτῇ"
Καὶ ἡ νὺξ ἐν ᾗ εἶπον· ἰδὲ ἄρσεν.
4. Ἡ ἡμέρα ἐκείνη εἴη σκότος, καὶ μὴ ἀναζητήσαι αὐτὴν ὁ Κύριος ἄνωθεν,
Μηδὲ ἔλθοι εἰς αὐτὴν φέγγος·
5. Ἐκλάβοι δὲ αὐτὴν σκότος καὶ σκιὰ θανάτε,
(Καὶ) ἐπέλθοι ἐπ' αὐτὴν γνόφος.
※ Καὶ ταραχθείη ἡ ἡμέρα (ἐκείνη), καλαρα-
6. καὶ ἡ νὺξ ἐκείνη· θείη
※ Ἀπενέγκοιτο αὐτὴν σκότος"·
Μὴ εἴη εἰς ἡμέρας ἐνιαυτῦ, ἐνιαυτῶν
Μηδὲ ἀριθμηθείη εἰς ἡμέρας μηνῶν". ※
7. Ἀλλὰ ἡ νὺξ ἐκείνη εἴη ὀδύνη, ὀδυνηρὰ
Καὶ μὴ ἔλθοι ἐπ' αὐτὴν εὐφροσύνη,
÷ μηδὲ χαρμονή"·
8. Ἀλλὰ καταράσαιτο αὐτὴν ὁ καταρώμενος τὴν ἡμέραν ἐκείνην,
Ὁ μέλλων τὸ μέγα κῆτος χειρώσαθαι.
9. Σκοτωθείη τὰ ἄστρα τῆς νυκτὸς ἐκείνης· ὑπομείναι, καὶ μὴ ἔλθοι εἰς καὶ μὴ
φωτισμὸν, φωτίσαι
v. 2. ſtich. 2. Ῥαμὰ) ῥὰμ. ib. ſt. 3. Καὶ ὠργίσθη) ὠργίσθη δὲ. ibid. ἔναντι) ἐναντίον. v. 3. δὲ τριῶν Φ. αὐτοῦ) τριῶν δὲ φίλων. ibid. ſtich. 2. τῷ Ἰωϐ) Ἰωϐ. v. 4. τῷ Ἰωϐ) τῷ deeſt. ib. ſt. 2. εἰσιν αὐτοῦ ἡμερῶν) αὐτοῦ εἰσιν ἡμέραις. v. 6. ὁ τοῦ Βαζὶ, λέγει) ὁ βαζίτης, εἶπεν. v. 7. ſtich. 3. Διότι) διὸ. ibid. ἀναγγεῖλαι ὑμῖν τὴν ἐμὴν) ὑμῖν ἀναγγεῖλαι τὴν ἐμαυτοῦ. v. 8. Εἶπον δὲ, ὅτι χρ.) εἶπα δὲ, ὅτι ἐχ ὁ χρόνος. v. 9. (Καὶ ἐχ ἅτως) deſunt. ibid. ſtich. 2. ἔσαι) ἐστὶν. ib. διδάσκουσά με) με abeſt. v. 10. Οὐ γὰρ οἱ) οὐχ οἱ. ibid. ſtich. 2. Οὐδὲ οἱ) οὐδ' οἱ. v. 11. εἶπον) εἶπα. ibid. ſtich. 2. τὰ ῥήματά με) με τὰ ῥήματα. ibid. ſtich. 3. Ἰδὲ, ἤκουσα - - συνέσεως ὑμῶν) omnia deſiderantur in *Rom.* ib. ſt. 4. τὰς λόγους ὑμῶν) λόγους. v. 12. ἕως) μέχρι. ibid. ſtich. 2. ὁ ἐλέγχων) ὁ deeſt. ibid ſtich. 3. ῥήμασιν) ῥήματα. v. 13. (δὲ) abeſt. ibid. προσθέμενοι Κυρίῳ) transpoſita. v. 18 ſtich 2. Ὀλέκει δέ με) ὠλέκει γὰρ με. v. 19. Καὶ ἡ γαστὴρ) ἡ δὲ γαστὴρ. ibid. γέμων) ζέων. ibid. ſtich. 2. δεδεμένος καὶ κατεῤῥηγὼς) ἐῤῥηγὼς.

20. Λαλήσω ἵνα ἀναπαύσωμαι, ἀνοίξας τὰ χείλη μου·
21. Ἄνθρωπον γὰρ ὃ μὴ αἰσχυνθῶ,
Ἀλλὰ μὴν οὐδὲ βροτὸν ὃ μὴ ἐντραπῶ·
22. ὃ γὰρ ἐπίσαμαι θαυμάσαι πρόσωπον·
Εἰ δὲ μή, καὶ ἐμὲ σῆτες ἔδονται.

ΚΕΦ. ΛΓ'. XXXIII.

Οὐ μὴν δὲ ἀλλὰ ἄκεσον Ἰὼβ τὰ ῥήματά μου,
Καὶ τὴν λαλιάν μου ἐνωτίζου·
2. Ἰδὲ γὰρ ἤνοιξα τὸ στόμα μου, καὶ ἐλάλησεν ἡ γλῶσσά μου.
3. Καθαρά μου ἡ καρδία ἐν ῥήμασι,
Σύνεσις δὲ χειλέων μου καθαρὰ νοήσει.
4. Πνεῦμα θεῖον τὸ ποιῆσάν με,
Πνοὴ δὲ παντοκράτορος ἡ διδάσκεσά με.
5. Ἐὰν δυνηθῇς, δός μοι ἀπόκρισιν πρὸς ταῦτα·
Ὑπόμεινον, (καὶ) στῆθι σὺ κατ' ἐμὲ,
καὶ ἐγὼ κατὰ σέ.
6. Ἐκ πηλοῦ διήρτισαι σὺ ὡς καὶ ἐγώ·
Ἐκ τοῦ αὐτοῦ διηρτίσμεθα (πηλοῦ).
7. Οὐχὶ ὁ φόβος μου στροβήσει σε,
Οὐδὲ ἡ χείρ μου βαρεῖα ἔσαι ἐπὶ σοί.
8. ※ Πλὴν εἶπας ἐν ὠσί μου", (φωνὴν δὲ ῥημάτων σου ἀκήκοα.)
9. Διότι λέγεις· καθαρός εἰμι, ἐχ ἡμαρτον (τοῖς ἔργοις),
Ἀμεμπτος (δὲ) εἰμι, ὃ γὰρ ἠνόμησα·
10. Μέμψιν δὲ κατ' ἐμοῦ εὗρε, καὶ ἥγηταί με ὥσπερ ὑπεναντίον ※ αὐτῷ·
11. Ἔθετο δὲ τὸν πόδα μου ἐν ξύλῳ, κυκλώ-
Καὶ ἐφύλαξέ μου πάσας τὰς ὁδούς. ματι
12. Πῶς γὰρ λέγεις· δίκαιός εἰμι, καὶ ἐκ ἐπακήκοέ μου;
Αἰώνιος γάρ ἐστιν (ὁ) ἐπάνω βροτῶν.
13. Λέγεις γὰρ· διατί τῆς δίκης μου ἐκ δικαιοσύ-
ἐπακήκοεν ἐν παντὶ ῥήματι; νης
14. Ἐν γὰρ τῷ ἅπαξ λαλήσει ὁ Κύριος· λαλήσαι
Ἐν δὲ τῷ δευτέρῳ 15. ἐνύπνιον,
Ἢ (ὡς φάσμα) ἐν μελέτῃ νυκτερινῇ,
Ὡς ὅταν ἐπιπίπτῃ φόβος δεινὸς ἐπ' ἀνθρώπους, ἐπὶ νυσταγμάτων ἐπὶ κοίτης·
16. Τότε ἀνακαλύπτει νοῦν ἀνθρώπων,
Ἐν εἴδεσι φόβου τοιούτοις ἐξεφόβησεν αὐτούς,
17. Ἀποστρέψαι ἄνθρωπον ἐξ ἀδικίας αὐτοῦ·
Τὸ δὲ σῶμα αὐτοῦ ἀπὸ (ἀδικίας) πλώματος ἐρρύσατο,
18. Καὶ ἐφείσατο τῆς ψυχῆς αὐτοῦ ἀπὸ θανάτου,
Τοῦ μὴ πεσεῖν αὐτὸν ἐν πολέμῳ.
19. Πάλιν δὲ ἤλεγξεν αὐτὸν ἐν μαλακίᾳ ἐπὶ κοίτης,

Καὶ

v. 20. τὰ χείλη μου) μου deest. v. 22. πρόσωπον) πρόσωπα. CAP. XXXIII. v. 1. stich. 2. τὴν λαλιάν μου ἐνωτίζου) λαλιὰν ἐνωτίζου μου. v. 3. ἐν ῥήμασι) ῥήμασι. v. 5. δυνηθῇς) δύνῃ. ibid. stich. 2. (καὶ) abest. ib. στῆθι σὺ) σὺ deest. v. 6. stich. 2. (πηλοῦ) abest. v. 7. Οὐχὶ) οὐχ. ibid. στροβήσει σε) transposita. v. 8. φωνὴν δὲ) δὲ non habet. v. 9. ἐχ ἥμαρτον τοῖς ἔργοις) οὐχ ἁμαρτῶν. ibid. stich. 2. (δὲ) abest. v. 10. καὶ ἥγηταί με) ἥγηταί με. v. 11. τὸν π. μου ἐν κυκλώματι) ἐν ξύλῳ τὸν πόδα μου. ibid. stich. 2. Καὶ ἐφύλαξε) ἐφύλαξε δὲ. v. 13. γὰρ) δὲ. ibid. τῆς δικαιοσύνης) τῆς δίκης. ibid. ἐν παντὶ ῥήματι) μου πᾶν ῥῆμα. v. 15. ἐνύπνιον ὡς φάσμα ἐν) ἐνύπνιον ἢ ἐν. ibid. Φόβος δεινὸς) transposita. v. 16. stich. 2. ἐξεφόβησεν αὐτούς) transposita. v. 17. ἐξ ἀδικίας αὐτοῦ) ἀπὸ ἀδικίας. ibid. stich. 2. (ἀδικίας) abest. v. 18. Καὶ ἐφείσατο) ἐφείσατο δὲ. ibid. stich. 2. τοῦ μὴ) καὶ μὴ. v. 19. μαλακίᾳ) ἐπὶ μαλακίᾳ.

Καὶ πλῆθος ὀστέων αὐτῦ ἐνάρκησε·
20. Πᾶν δὲ βρωτὸν σίτε ἃ μὴ δύνηται προσδέξασθαι,
※ Καὶ ἡ ψυχὴ αὐτῦ βρῶσιν ἐπιθυμήσει".
21. Ἕως ἂν σαπῶσιν αὐτῦ αἱ σάρκες,
Καὶ ἀποδείξῃ τὰ ὀστᾶ αὐτῦ κενά·
22. Ἐγγίσῃ δὲ ἡ ψυχὴ αὐτῦ εἰς θάνατον,
Ἡ δὲ ζωὴ αὐτῦ ἐν τῷ ᾅδῃ.
23. Ἐὰν ὦσι χίλιοι ἄγγελοι θανατηφόροι,
Εἷς ἐξ αὐτῶν ἃ μὴ τρώσῃ αὐτόν.
Ἐὰν νοήσῃ τῇ καρδίᾳ ἐπιστραφῆναι ἐπὶ τὸν Κύριον,
Ἀναγγείλῃ δὲ ἀνθρώπῳ τὴν ἑαυτῦ μέμψιν,
÷ Καὶ τὴν ἄνοιαν αὐτῦ δείξῃ"·
24. Ἀνθέξεται αὐτῦ, τῦ μὴ πεσεῖν αὐτὸν εἰς θάνατον,
÷ Ἀναανεώσει δὲ αὐτῦ τὸ σῶμα, ὥσπερ ἀλοιφὴν ἐπὶ τοίχε",
÷ Καὶ τὰ ὀστᾶ αὐτῦ ἐμπλήσει μυελῦ·
25. Ἀπαλυνεῖ δὲ αὐτῦ τὰς σάρκας ὥσπερ νηπίε,
Καὶ ἀποκαταστήσει αὐτὸν ἀνδρωθέντα ἐν ἀνθρώποις.
26. Εὔξεται πρὸς Κύριον, καὶ δεκτὰ αὐτῷ ἔσαι,
Εἰσελεύσεται δὲ προσώπῳ καθαρῷ σὺν ἐξηγορίᾳ·
Ἀποδώσει δὲ ἀνθρώπῳ τὴν δικαιοσύνην αὐτῦ.
27. Εἶτα τότε ἀπομέμψεται ἄνθρωπος αὐτὸς ἑαυτῷ, λέγων· ἀποπέμψεται
Οἷα συνετελέμην; καὶ ἐκ ἄξια ἤτασέ με ὧν ἥμαρτον.
28. ※ Σῶσον τὴν ψυχήν με, τῦ μὴ ἐλθεῖν εἰς διαφθοράν, ἐξελθεῖν
Καὶ ζωή με φῶς ὄψεται. ※
29. Ἰδὲ, ταῦτα πάντα ἐργᾶται ὁ ἰσχυρὸς ὁδὲς τρεῖς μετὰ ἀνδρός". ※ ※
30. Καὶ ἐρρύσατο τὴν ψυχήν με ἐκ θανάτε,
Ἵνα ἡ ψυχή με ἐν φωτὶ αἰνῇ αὐτόν.
(Ὑπολαβὼν δὲ Ἐλιὲς, λέγει·
Ἀκέσατέ με σοφοὶ, ἐπισάμενοι ἐνωτίζεσθε τὸ καλόν·
Ὅτι εἴρηκεν Ἰώβ· ἰδὲ, ταῦτα πάντα ἐργᾶται ὁ ἰσχυρὸς
Ὁδοὺς τρεῖς μετὰ ἀνδρὸς,
Τῦ ἐπιστρέψαι ψυχὴν αὐτῦ ἐκ διαφθορᾶς,
Τῦ φωτίσαι αὐτῷ ἐν φωτὶ ζώντων.)
31. Πρόσεχε Ἰώβ, καὶ ἄκεσόν με,
Κώφευσον, καὶ ἐγὼ λαλήσω. ἵνα
32. ※ Εἰ εἰσί σοι λόγοι, ἀποκρίθητί μοι,
Λάλησον, θέλω γὰρ σὲ δικαιωθῆναι· ※

v. 19. ſtich. 2. ὀστέων) ὀστῶν. v. 22. ſtich. 1. in *Rom.* ἤγγισε δὲ εἰς θάνατον ἡ ψυχὴ αὐτῦ. ibid. ſtich. 2. ἐν τῷ ᾅδῃ. v. 23. ſtich. 2. εἷς ἐξ αὐτῶν) εἷς αὐτῶν. ibid. ſtich. 3. ἐπὶ τὸν Κύριον) πρὸς κύριον. ib. ſt. 5. Καὶ τὴν) τὴν δὲ. v. 24. αὐτῦ) abeſt. ibid. αὐτὸν deeſt. ibid. ſtich. 3. Καὶ τὰ ὀστᾶ) τὰ δὲ ὀστᾶ. v. 25. ſtich. 2. Καὶ ἀποκατ.) ἀποκαταστήσει δὲ. v. 26. Εὔξεται πρὸς) εὐξάμενος δὲ πρὸς. ibid. ſtich. 2. δὲ) abeſt. ibid. καθαρῷ) ἱλαρῷ. ibid. ſtich. 3. ἀνθρώπῳ τὴν δικαιοσ. αὐτῦ) ἀνθρώποις δικαιοσύνην. v. 27. ἀποπέμψεται) ἀπομέμψεται. ibid. ſtich. 2. συνετελέμην) συνετέλουν. v. 28. τὴν ψυχὴν) ψυχὴν. ibid. ἐξελθεῖν) ἐλθεῖν. ibid. ſtich. 2. ζωὴ) ἡ ζωή. v. 30. ſtich. 2. ἡ ψυχὴ) ἡ ζωή. ibid. ſtich. 3. 4. 5. 6. 7. 8. quæ uncis incuſa ſunt non habet *Edit. Rom.* v. 31. ſtich. 1. in *Rom.* ἐνωτίζε Ἰωβ, καὶ ἄκουέ με. ibid. ſtich. 2. ἵνα λαλήσω) καὶ ἐγώ εἰμι λαλήσω. v. 32. ſtich. 2. σὲ δικαιωθῆναι) transpoſita.

※33. Εἰ δὲ μὴ, σὺ ἄκουσόν με,
※ Κώφευσον, καὶ διδάξω σε σοφίαν".

ΚΕΦ. ΛΔ'. XXXIV.

Τ Πολαβὼν δὲ Ἐλιὲς, λέγει·
2. Ἀκούσατε ῥήματά με σοφοὶ, ἐπιστάμενοι ἐνωτίζεσθε (τὸ καλόν)·
νῆς 3. ※ Ὅτι ἧς δοκιμάζει λόγος,
※ Λάρυγξ δὲ γεύεται βρῶσιν.
※ 4. Κρίσιν ἑλώμεθα ἑαυτοῖς·
※ Γνῶμεν ἀναμέσον αὐτῶν, τί καλόν".
5. Ὅτι εἴρηκεν Ἰώβ. δίκαιός εἰμι,
Καὶ ὁ Κύριος ἀπήλλαξέ με τὸ κρίμα,
6. Καὶ ἐψεύσατο τῷ κρίματί με·
※ Βίαιον τὸ βέλος με ἄνευ ἀδικίας.
※ 7. Τίς ἀνὴρ ὥσπερ Ἰώβ, πίνων μυκτηρισ-
※ μὸν ὥσπερ ὕδωρ";
8. Οὐχ ἁμαρτὼν, ἀδὲ ἀσεβήσας,
Οὐδὲ κοινωνήσας ὁδῷ μετὰ τῶν ποιούντων τὰ ἄνομα,
Τῷ πορευθῆναι μετὰ ※ ἀνδρῶν ἀσεβῶν.
9. Μὴ γὰρ εἶπης, ὅτι ἐκ ἔσιν ἐπισκοπὴ ἀνδρός·
Κυρίῳ Καὶ ἐπισκοπὴ αὐτῷ παρὰ Κυρίῳ.
10. Διὸ συνετοὶ καρδίαι, ἀκούσατέ με·
Μή μοι εἴη ἔναντι Κυρίῳ ἀσεβῆσαι,
Ἐναντι δὲ παντοκράτορος ταράξαι τὸ δίκαιον·
11. Ἀλλὰ γὰρ ἀποδίδωσιν ἀνθρώπῳ
※ καθ' ἃ ποιεῖ ἕκαστος αὐτῶν,
Καὶ ἐν τρίβῳ ἀνδρὸς εὑρήσει αὐτόν".
12. Οἴη δὲ τὸν Κύριον τὰ ἄτοπα ποιήσειν;
Ἢ ὁ παντοκράτωρ ταράξει τὸ δίκαιον;
13. Ὃς ἐποίησε τὴν γῆν;
Τίς δέ ἐσιν ὁ ποιήσας τὴν ὑπ' ἐρανὸν,
καὶ τὰ ἐνόντα πάντα;
14. Εἰ γὰρ βέλοιτο συνέχειν, καὶ τὸ πνεῦμα παρ' αὐτῷ καταχεῖν,
15. Τελευτήσει πᾶσα σὰρξ ὁμοθυμαδὸν,
Βροτὸς δὲ εἰς γῆν ἀπελεύσεται ÷ ὅθεν καὶ ἐπλάσθη".
16. Εἰ δὲ μὴ νοητὴ, ἄκουε ταῦτα (Ἰώβ), ἐνωτίζε φωνὴν ῥημάτων.
17. Εἰ δὲ σὺ ἐκ οἴει τὸν μισοῦντα τὰ ἄνομα καὶ τὸν ὀλλύντα τὸς πονηρὸς, σοὶ
Ὄντα αἰώνιον καὶ δίκαιον; εἶναι
18. ※ Ἀσεβὴς ὁ λέγων βασιλεῖ, παρανομεῖς, † ἀσεβέ-
† Ἀσεβέσατε, τοῖς ἄρχουσιν". σατοι
19. Ὃς ἐκ αἰσχυνθῇ πρόσωπον ἐντίμων, ἔντιμε
Οὐδὲ οἶδεν (δὲ) τιμὴν θέσθαι [a] ἀδροῖς, Οὐκ ἔ-
Τῷ θαυμασθῆναι τὰ πρόσωπα αὐτῶν. δωκεν
Κενὰ δὲ αὐτοῖς ἀποβήσεται * τῷ κεκραγέναι καὶ δεῖσθαι ἀνδρός· [a] ἀνδρῶν * τὸ
20. Ἐχρήσαντο γὰρ παρανόμως, ἐκκλειομένων ἀδυνάτων.] ἀνόμοις
ἐκκλειο-
21. Αὐ- μένοις
καὶ ἀδυ-
νάτοις

v. 33. Εἰ δὲ μὴ) εἰ μὴ. ibid. στich. 2. σοφίαν) deeſt. CAP. XXXIV. v. 2. (τὸ καλόν.) deeſt. v. 3. νῆς δοκ. λόγος) ἧς λόγος δοκιμάζει. ibid. στich. 2. Λάρυγξ δὲ) καὶ λάρυγξ. v. 4. στich. 2. αὐτῶν, τί) ἑαυτῶν, ὅτι. v. 6. Καὶ ἐψεύσ.) ἐψεύσατο δὲ. v. 8. στich. 2. in *Rom.* ἢ οὐδ' οὐ κοινωνήσας μεταποιούντων τὰ ἄνομα. v. 9. ἔσιν) ἔσαι. ibid. στich. 2. αὐτῷ) αὐτῷ. v. 10. καρδίαι) καρδίας. ibid. στich. 3. Ἐναντι δὲ) καὶ ἔναντι. v. 11. Ἀλλὰ γὰρ ἀποδίδωσιν ἀνθρ. καθ' ἃ) ἀλλὰ ἀποδιδοῖ ἀνθρώπῳ καθὰ. v 12. Οἴη) οἴει. ibid. τὰ ἄτοπα) ἄτοπα. ibid. στich. 2. τὸ δίκαιον) κρίσιν. v. 13. στich. 2. ποιήσας) ποιῶν. v. 15. στich. 2. Βροτὸς δὲ) πᾶς δὲ βροτὸς. v. 16. Εἰ δὲ μὴ) ἴδε μὴ. ibid. (Ἰώβ) deeſt. v. 17. Εἰ δὲ σοὶ ἐκ οἴει τὸν μ. τὰ ἄνομα) ἴδε σὺ τὸν μισοῦντα ἄνομα. ibid. στich. 2. ἔναι δίκαιον) ἔναι deeſt. v. 18. στich. 2. ἀσεβέσατοι) ἀσεβέσατε. v. 19. αἰσχυνθῇ) ἐπαισχυνθῇ. ibid. στich. 2. in *Rom.* οὐδὲ οἶδε τιμὴν θέσθαι ἀδροῖς. ib. στich. 3. τῷ) deeſt. ib. τὰ πρόσωπα) τὰ deeſt. v. 20. in *Rom.* ἐχρήσαντο γὰρ παρανόμως, ἐκκλειομένων ἀδυνάτων.

21. Αὐτὸς γὰρ ὁρατής ἐστιν ἔργων ἀνθρώπων,
Λέληθε δὲ αὐτὸν ἐδὲν ὧν πράσσουσιν·
22. Οὐδὲ ἐστὶ τόπος ※ ἐδὲ σκιὰ θανάτε, τῦ κρυβῆναι τὸς ποιοῦντας τὰ ἄνομα·
23. ※ Ὅτι ἐκ ἐπ' ἄνδρα θήσει ἔτι".
Ὁ γὰρ Κύριος τὰ πάντα ἐφορᾷ,
24. Ὁ καταλαμβάνων ἀνεξιχνίασα,
Ἐνδοξά τε καὶ ἐξαίσια, ὧν ἐκ ἔστιν ἀριθμός·
25. ※ Γνωρίζων αὐτῶν τὰ ἔργα·
※ Καὶ στρέψει νύκτα, καὶ ταπεινωθήσονται.
※ 26. Ἔσβεσε δὲ ἀσεβεῖς, καὶ ὁρατοὶ ἐγένοντο ἐναντίον τῶν ἐχθρῶν·
※ 27. Ὅτι ἐξέκλιναν ἐκ νόμε Θεῦ,
※ Δικαιώματα δὲ αὐτῦ ἐκ ἐπέγνωσαν·
※ 28. Τῦ ἐπαγαγεῖν ἐπ' αὐτὸν κραυγὴν πένητος,
※ Καὶ κραυγὴν πλωχῶν εἰσακόσεται.
※ 29. Καὶ αὐτὸς ἡσυχίαν παρέξει, καὶ τίς καταδικάσεται;
※ Καὶ κρύψει πρόσωπον, καὶ τίς ὄψεται αὐτόν;
※ Καὶ κατὰ ἔθνες, καὶ κατὰ ἀνθρώπε ὁμῦ,
※ 30. Βασιλεύων ἄνθρωπον ὑποκριτὴν ἀπὸ δυσκολίας λαῦ.
※ 31. Ὅτι πρὸς τὸν ἰσχυρὸν ὁ λέγων· εἴληφα, ἐκ ἐνεχυράσω· 32. ἄνευ ἐμαυτῦ
ἐνεχύρασα Ὄψομαι, σὺ δίδαξόν με·
Εἰ ἀδικίαν ἠργασάμην, ἃ μὴ προσθῶ. ※
33. Μὴ παρὰ σῦ ἀποτίσει αὐτὴν, ὅτι ※
ἀπώσω; ※
Ὅτι σὺ ἐκλέξῃ καὶ ἐκ ἐγὼ, καὶ τί ἔγνως, λάλησον". ἐκλέξω ※
34. Διὸ συνετοὶ καρδίᾳ ἐρῦσι ταῦτα,
Ἀνὴρ δὲ Φρόνιμος ἀκήκοέ με ÷ τὸ ῥῆμα".
35. Ἰὼβ ἐκ ἐν συνέσει ἐλάλησεν, ἐλάλησας
Τὰ δὲ ῥήματα * αὐτῦ ἐκ ἐν ἐπιστήμῃ. * σε
36. Οὐ μὴν δὲ ἀλλὰ μάθε Ἰὼβ,
Μὴ δῷς ἔτι ἀπόκρισιν ὥσπερ οἱ ἄφρονες·
37. Ἵνα μὴ προσθῶμεν ἐφ' ἁμαρτίαις ἡμῶν·
Ἀνομία δὲ ἐφ' ἡμῖν λογισθήσεται, πολλὰ λαλῆσι ῥήματα ἔναντι Κυρίε. ἔσαι

ΚΕΦ. ΛΕ'. XXXV.

Ὑπολαβὼν δὲ Ἐλιὺς, λέγει·
2. Τί τῦτο ἡγήσω ἐν κρίσει;
※ Σὺ τίς εἶ ὅτι εἶπας· δίκαιός εἰμι ἔναντι Κυρίε; ※
3. Ἢ ἐρεῖς· τί συμβαλεῖταί σοι; τί ποιήσω ※
ἁμαρτών"; ※
4. Ἐγώ σοι δώσω ἀπόκρισιν, καὶ τοῖς τρισί σε φίλοις.
5. Ἀνάβλεψον εἰς τὸν ἀρανὸν, καὶ ἴδε·
Κατάμαθε δὲ τὰ νέφη, (καὶ ἴδε) ὡς ὑψηλὰ ἀπὸ σῦ.
6. Εἰ ἥμαρτες, τί πράξεις;

Εἰ δὲ

V. 23. ſtich. 2. τὰ πάντα) πάντας. **V.** 25. Γνωρίζων) ὁ γνωρίζων. **V.** 26. καὶ ὁρατοὶ ἐγένοντο ἐναντίον τῶν ἐχθρῶν) ὁρατοὶ δὲ ἐναντίον αὐτῦ. **V.** 28. πένητος) πενήτων. **V.** 31. ἐνεχύρασα) ἐνεχυράσω. **V.** 32. δίδαξόν με) δεῖξόν μοι. ibid. ſt. ult. ἠργασάμην, ἃ μὴ προσθῶ) εἰργασάμην, ἃ μὴ προσθήσω. **V.** 33. παρὰ σῦ) ἀπὸ σοῦ. ibid. ὅτι ἀπώσω) ὅτι σὺ ἀπώσῃ. ibid. ſtich. 2. ἐκλέξῃ, καὶ ἐγὼ) ἐκλέξῃ, καὶ ἐκ ἐγὼ. **V.** 34. καρδίᾳ) καρδίας. ibid. ſtich. 2. Φρόνιμος) σοφὸς. **V.** 35. Ἰὼβ) addit δὲ. ibid. ἐλάλησας) ἐλάλησεν. ibid. ſtich. 2. Τὰ δὲ ῥήματά σε) τὰ ῥήματα αὐτοῦ. **V.** 36. ſtich. 2. ἀποκρισιν) ἀνταποκρισιν. **V.** 37. ſtich. 2. ἔσαι) λογισθήσεται. ibid. λαλῆσι ῥήματα ἔναντι Κυρίε) λαλούντων ῥήματα ἐναντίον τοῦ κυρίου. CAP XXXV. v. 3. non habetur in *Edit. Rom.* **V.** 4. σε φίλοις) transpoſita. **V.** 5. ſtich. 2. τὰ νέφη καὶ ἴδε ὡς) ἐὰν νέφη, ὡς.

Εἰ δὲ καὶ ἠνόμησας πολλά, τί δύνασαι ποιῆσαι;
7. Καὶ εἰ δίκαιος εἶ, τί δώσεις αὐτῷ;
※ Ἢ τί ἐκ χειρός σε λήψεται;
※ 8. Ἀνδρὶ τῷ ὁμοίῳ σε ἡ ἀσέβειά σε,
※ Καὶ υἱῷ ἀνθρώπε ἡ δικαιοσύνη σε.
※ 9. Ἀπὸ πλήθες συκοφαντέμενοι κεκράξονται,
※ Βοήσονται ἀπὸ βραχίονος πολλῶν".
10. Καὶ ἐκ εἶπε· πῆ ἐστιν ὁ Θεὸς, ὁ ποιήσας με; ὁ καταπάστων φυλακὰς νυκλερινὰς,
11. Ὁ διορίζων με ἀπὸ τετραπόδων γῆς, καὶ ἀπὸ πετεινῶν ἐρανῆ ※ σοφίζει με.
κέκραζον 12. Ἐκεῖ κεκράξονται, καὶ ἐ μὴ εἰσακέσῃ" ἀπὸ ὕβρεως πονηρῶν.
13. Ἄτοπα γὰρ ἰδεῖν ἐ βέλεται ὁ Κύριος·
Αὐτὸς γὰρ ὁ παντοκράτωρ ὁρατής ἐστι 14. τῶν συντελούντων τὰ ἄνομα, καὶ σώσει με.
ὃς
Κρίθητι δὲ ἐναντίον αὐτῆ, εἰ δύνασαι αὐτὸν αἰνέσαι ὡς ἔστι.
15. ※ Καὶ νῦν ὅτι ἐκ ἔστιν ἐπισκεπτόμενος ὀργὴν αὐτῆ,
※ Καὶ ἐκ ἔγνω παράπτωμά τι σφόδρα.
※ 16. Καὶ Ἰὼβ ματαίως ἀνοίγει τὸ στόμα αὐτῆ,
※ Ἐν ἀγνωσίᾳ ῥήματα βαρύνει".

ΚΕΦ. Λς'. XXXVI.

Προθεὶς δὲ Ἐλιὲς ἔτι, λέγει·
2. Μικρόν με μεῖνον ἔτι, ἵνα διδάξω σε· ἔτι γάρ μοι ἔνεστι λέξις.
3. Ἀναλαβὼν τὴν ἐπιστήμην με μακρὰν, Ἔργοις δὲ με δίκαια ἐρῶ ἐπ' ἀληθείας·
4. Καὶ ἐκ ἄδικα ῥήματα ἀδίκως συνιεῖς.
5. Γίνωσκε δὲ, ὅτι ὁ Κύριος ἐ μὴ ἀποποιήσηται τὸν ἄκακον. γινώσκω δὲ ἐγὼ.
※ Δυνατὸς ἰσχύϊ καρδίας 6. ἀσεβῆ ἐ ἀσεβῶν
μὴ ζωοποιήσει, ※
Καὶ κρίμα πλωχῶν δώσει. ※
7. Οὐκ ἀφελεῖ ἀπὸ δικαίε ὀφθαλμὸν ※
αὐτῆ, ※
Καὶ μετὰ βασιλέων εἰς θρόνον καθιεῖ αὐτὲς (καὶ) εἰς νῖκος, καὶ ὑψωθήσονται. ※ ὑψωθήσεται.
8. Καὶ εἰ πεπεδημένοι ἐν χειροπέδαις, οἱ
συχεθήσονται ἐν σχοινίοις πενίας· ※
9. Καὶ ἀναγγελεῖ αὐτοῖς τὰ ἔργα αὐτῶν, ※
※
Καὶ τὰ παραπλώματα αὐτῶν, ὅταν ※
ἰσχύσωσιν. ※
10. Ἀλλὰ τῆ δικαίε εἰσακέσεται· ※
Καὶ εἶπεν, ὅτι ἐπιστραφήσονται ἐξ ※
ἀδικίας. ※
11. Ἐὰν ἀκέσωσι καὶ δεδεύσωσι, ※
Συντελέσεσι τὰς ἡμέρας αὐτῶν ἐν ※
ἀγαθοῖς, ※

Καὶ

v. 6. ſtich. 2. ἠνόμησας πολλὰ) transpoſita. v. 7. Καὶ εἰ δίκαιος) ἐπεὶ δὲ οὖν δίκαιος. v. 11. καὶ ἀπὸ πετ.) ἀπὸ δὲ πετεινῶν. v. 12. κέκραζον) κεκράξονται. ibid. ἀπὸ ὕβρεως) καὶ ἀπὸ ὕβρεως. v. 13. ἰδεῖν οὐ βέλεται) transpoſita. v. 14. ὃς σώσει) καὶ σώσει. CAP. XXXVI. v. 1. Ἐλιὲς ἔτι) transpoſita. v. 2. Μικρόν με μεῖνον ἔτι) μεῖνόν με μικρὸν ἔτι. ibid. μοι ἔνεστι) ἐν ἐμοί ἐστι. v. 5. γινώσκω δὲ ἐγὼ) γίνωσκε δὲ. v. 6. ἀσεβῶν) ἀσεβῆ. ibid. ζωοποιήσει) ζωοποιήσῃ. v. 7. ὀφθαλμὸν) ὀφθαλμὲς. ibid. ſtich. 2. καθιεῖ αὐτὲς καὶ εἰς νῖκος ὑψωθήσεται) καὶ καθιεῖ αὐτὲς εἰς νῖκος καὶ ὑψωθήσονται. v. 9. ſtich. 2. ὅταν ἰσχύσωσιν) ἔτι ἰσχύσωσιν.

※ Καὶ τὰ ἔτη αὐτῶν ἐν εὐπρεπείαις".
12. Ἀσεβεῖς δὲ ὁ διασώζει, παρὰ τὸ μὴ
βέλεσθαι αὐτὸς εἰδέναι τὸν Κύριον,
Καὶ διότι νεθετέμενοι ἀνήκοοι ἦσαν.
13. ※ Καὶ ὑποκριταὶ καρδίᾳ τάξεσι
※ θυμόν·
※ Οὐ βοήσονται, ὅτι ἔδησεν αὐτούς".
14. Ἀποθάνῃ τοίνυν ἐν νεότητι ἡ ψυχὴ
αὐτῶν,
Ἡ δὲ ζωὴ αὐτῶν τιτρωσκομένη εἴη ὑ-
πὸ ἀγγέλων·
15. Ἀνθ' ὧν ἔθλιψαν ἀσθενῆ καὶ ἀδύναλον.
Κρίμα δὲ πραέων ἐκθήσει·
πρὸς ἐπὶ 16. ※ Καὶ προσέτι ἠπάτησέ σε ἐκ σόμα-
※ τος ἐχθρᾶ,
※ (Ἄβυσσος κατάχυσις ὑποκάτω αὐ-
※ τῆς,)
※ Καὶ κατέβη τράπεζά σε πλήρης πιό-
※ τήλος".
17. Καὶ ἐχ ὑστερήσει ἀπὸ δικαίων κρί-
ἤξει μα· 18 Θυμὸς δὲ ἐπ' ἀσεβεῖς ἔσαι,
Διὰ ἀσέβειαν δώρων ὧν ἐδέχοντο ἐπ'
ἀδικίας ἀδικίαις.
19. Μή σε ἐκκλίνῃ ὁ νῆς ἐκὼν
Δεήσεως ἀδυνάτων ἐν ἀνάγκῃ ὄντων·
ἰσχὺν 20. Καὶ πάντας τὲς κραταιοῦντας ἰσχύι
μὴ ἐξελκύσῃς τὴν νύκλα,
※ Τῆ ἀναβῆναι λαὲς ἀντ' αὐτῶν.
※ 21. Ἀλλὰ φύλαξαι μὴ πράξῃς ἄνομα·
τῆτον Ἐπὶ τῆτο γὰρ ἐξείλω ἀπὸ πλωχείας".
22. Ἰδὲ, ὁ ἰσχυρὸς κραταιώσει (σε) ἐν
ἰσχύι αὐτῆ·
Τίς γὰρ ἐσι κατ' αὐτὸν δυνάσης;
23. Τίς δέ ἐσιν ὁ ἐτάζων αὐτῆ τὰ ἔργα;
Ἢ τίς ὁ εἰπών· ἔπραξεν ἄδικα;
24. Μνήθητι (οὖν Ἰὼβ),
Ὅτι μεγάλα αὐτῆ ἐσι τὰ ἔργα, ὧν
ἤρξαν ἄνδρες.
25. ※ Πᾶς ἄνθρωπος ἴδεν ἐν ἑαυτῷ,
ὅσοι τιτρωσκόμενοί εἰσι βροτοί. ※
26. Ἰδὲ, ὁ ἰσχυρὸς πολὺς, καὶ ἀ γνω- ※
σόμεθα· ※
Ἀριθμὸς ἐτῶν αὐτῆ καὶ ἀπέραντος. ※
27. Ἀριθμηταὶ δὲ αὐτῷ ὑετῆ σαγόνες· ※
Καὶ ἐπιχυθήσονται ὑετῷ εἰς νεφέλην· ※
28. Ῥυήσονται παλαιώματα, ※
Ἐσκίασε δὲ νέφη ἐπὶ ἀμυθήτῳ βροτῷ". ἀμυθή-
Ὥραν ἔθετο κλήνεσιν, καὶ οἴδασι των βρο-
κοίτης τάξιν. Ἐπὶ τέτοις πᾶσιν τῶν
ἐκ ἐξίσατό σε ἡ διάνοια;
Οὐδὲ διαλλάσσεταί σε ἡ καρδία ἀπὸ
τῆ σώματος";
29. ※ Καὶ ἐὰν συνῇ ἐπεκτάσεις νεφέλης, ἰσό- συνῆς ἐ-
τητα σκηνῆς αὐτῆ· πέκλασιν
30. Ἰδὲ ἐκτείνει ἐπ' αὐτὴν * ἠδὼ, ἐκλενεῖ
Καὶ † ῥιζώματα τῆς θαλάσσης ἐκά- * τὸ τό-
λυψεν. ξον
31. Ἐν γὰρ αὐτοῖς κρινεῖ λαὲς· † ῥίζωμα
Δώσει τροφὴν τῷ ἰσχύοντι. ※
32. Ἐπὶ χειρῶν ἐκάλυψε φῶς, ※
Καὶ ἐνετείλατο περὶ αὐτῆς ἐν ἀπαν- ※
τῶντι· 33 ἀναγγελεῖ περὶ αὐτῆ ※
φίλῳ αὐτῆ (Κυρίε) κλήσεις, καὶ φίλον
περὶ ἀδικίας. ※

v. 14. Ἀποθάνῃ) ἀποθάνοι. ibid. ſtich. 2. εἴη) deeſt. v. 17. Καὶ ἐχ ὑστερήσει) οὐχ ὑστερήσει δὲ. v. 18. ἤξει, Διὰ ἀσέβειαν) ἔσαι δὲ ἀσέβειαν. ibid. ſtich. 2. ἀδικίας) ἀδικίαις. v. 19. in *Rom.* μή σε ἐκκλινάτω ἐκὼν ὁ νοῦς. δεήσεως ἐν ἀνάγκῃ ὄντων ἀδυνάτων. v. 21. ἄνομα) ἄτοπα. ib. ſtich. 2. τῆτον) τέτων. v. 22. (σὲ) abeſt. v. 24. (οὖν Ἰὼβ) deeſt. ibid. ſtich. 2. αὐτῆ ἐσι) transpoſita. v. 27. ὑετοῦ σαγόνες) transpoſita. v. 28. ſtich. 2. ἀμυθήτων βροτῶν) ἀμυθήτῳ βροτῷ. ibid. ſtich. 3. καὶ οἴδασι) οἴδασι δὲ. ibid. ἐξίσατό σε) ἐξίσαταί σου. ibid. ſtich. 4. τῆ σώματος) σώματος. v. 29. συνῆς ἐπέκτασιν) συνῇ ἀπέκλασις. v. 30. ἐπ' αὐτὴν τὸ τόξον) ἐπ' αὐτὸν ἠδὼ. ibid. ſtich. 2. ῥίζωμα) ῥιζώματα. v. 33. Κυρίε κλήσεις) κύριος, κλῆσις.

※ 34. Καὶ ὑπὲρ ταύτης ἐταράχθη ἡ καρ-
※ δία μϐ,
※ Καὶ ἀπερρύη ἐκ τῆ τόπϐ αὐτῆς.

ΚΕΦ. ΛΖ'. XXXVII.

※ Ακϐε (Ἰωϐ) ἀκοὴν ἐν ὀργῇ θυμῆ Κυρίϐ,
※ Καὶ μελέτη ἐκ ϛόματος αὐτῆ
※ ἐξελεύσεται.
※ 2. Ὑποκάτω παντὸς τῆ ἀρανῆ ἡ ἀρχὴ αὐτῆ,
※ Καὶ τὸ φῶς αὐτῆ ἐπὶ πλερύγων γῆς.
※ 3. Ὀπίσω αὐτῆ βοήσεται Φωνὴ,
※ Βροντήσει ἐν Φωνῇ ὕϐρεως αὐτῆ·
※ Καὶ ἐκ ἀνταλλάξει αὐτὸς, ὅτι ἀκέ-
※ σει Φωνὴν αὐτῆ.
※ 4. Βρονῆσει ὁ ἰσχυρὸς ἐν Φωνῇ αὐτῆ θαυ-
※ μάσια"·
Ἐποίησε γὰρ μεγάλα, ἃ ἐκ ᾔδειμεν.

5. ※ Συντάσων χιόνι, ἐπὶ γῆς γίνϐ·
※ Καὶ χειμὼνι ὑετῆ, καὶ χειμὼν ὑετῶν
χειμῶνι ἵνα ἢ ὑε- * δυναϛείας αὐτῆ.
τὸς *δυνα- 6. ※ Ἐν χειρὶ παντὸς ἀνθρώπϐ καται-
ϛείαις σφραγίζει",
Ἵνα γνῷ πᾶς ἄνθρωπος τὴν ἑαυτῆ
ἀσθένειαν.
Εἰσῆλθον κοίτης 7. Εἰσῆλθε δὲ θηρία ὑπὸ ϛέπης, καὶ ἠ-
ὀδύναι σύχασεν ἐπὶ κοίταις.
8. Ἐκ ταμείων ἐξέρχονται αἱ δίναι·
Ἀπὸ δὲ ἀκρωτηρίων ψύχος.

9. ※ Καὶ ἀπὸ πνοῆς ἰσχυρῆ δώσει πάγος".
Οἰακίζει δὲ ὕδωρ, ὡς ἐὰν βάληται.
10. Καὶ ἐκλεκτὸν καταπλήσει νεφέλη· καται-
Διασκορπίσει νέφος φῶς αὐτῆ. πλήσει
11. Καὶ αὐτὸς κυκλώματα διαϛρέψει.
Ἐν Θεεϐλαθῶθ εἰς ἔργα αὐτῶν τοῖς κα-
Πάντα ὅσα ἂν ἐντείλῃ αὐτοῖς, τωτάτω
Ταῦτα συντέτακται παρ' αὐτῆ ἐπὶ θεὶς
τῆς γῆς·
12. ※ Ἐάν τε εἰς παιδείαν, ἐάν τε εἰς
τὴν γῆν αὐτῆ, ἐάν τε εἰς ἔλεος ※
(αὐτῆ), εὑρήσει αὐτόν". ※
13. Ἐνωτίζε Ἰωϐ ταῦτα·
Στῆθι καὶ νϐθετῆ δύναμιν Κυρίϐ.
14. Οἶδας ὡς ἔθετο ὁ Θεὸς ἔργα αὐτῆ,
ποιήσας φῶς ἐκ σκότους;
15. Ἐπίϛασαι δὲ διάκρισιν νεφῶν,
Ἐξαίσια δὲ πλώματα πονηρῶν;
16. Σῆ δὲ ἡ ϛολὴ θερμὴ, ἡσυχάζεται
δὲ ἐπὶ τῆς γῆς ※ ἀπὸ νότϐ.
17. Στερεώσεις μεθ' αὐτῆ εἰς παλαιώματα, ϛερεω-
* Ἰσχυρὰ ὡς ὅρασις ἐπισχύσεως"; θεὶς
18. Διατί διδαξόν με, τί ἐρῆμεν αὐτῷ· * ἰσχυραὶ
Καὶ παυσώμεθα πολλὰ λέγοντες.

19. Μὴ βίϐλος ἢ γραμματεύς μοι πα-
ρέσηκεν, ἵνα ἄνθρωπον ἑσὼς κα-
ταισιωπήσω;
20. Πᾶσι γὰρ ἐχ ὁρατὸν φῶς·
Ταλαυγές ἐσιν ἐν τοῖς παλαιώμασιν,
Ὥσπερ

v. 34. ab hoc verſu incipit Cap. 37. in *Edit. Rom.* ibid. ὑπὲρ) ἀπὸ. CAP. XXXVII. v. 1. (Ἰωϐ) deeſt. v. 2. ſtich. 2. Supplementum minoribus litteris expreſſum habetur in *Edit. Rom.* ibid. ſtich. 2. γῆς) τῆς γῆς. v. 5. ἐπὶ γῆς γίνου) transpoſita. ibid. ſtich. 2. in *Rom.* καὶ χειμὼν ὑετὸς, καὶ χειμὼν ὑετῶν δυναϛείας αὐτοῦ. v. 7. in *Rom.* εἰσῆλθε δὲ θηρία ὑπὸ τὴν σκέπην, ἡσύχασαν δὲ ἐπὶ κοίτης. v. 8. ταμείων ἐξέρχονται) ταμιείων ἐπέρχονται. v. 9. ſtich. 2. ὕδωρ) τὸ ὕδωρ. v. 10. καταπλήσσει) καταπλάσσει. ibid. ſtich. 2. Διασκορπίσει) διασκορπιεῖ. v. 11. ſtich. 2. Ἐν τοῖς κατωτάτω θεὶς) ἐνθεεϐουλαθῶθ, εἰς. ibid. ſtich. 3. ἐντείλῃ) ἐντείληται. v. 12. ἐάν τε) altero & tertio loco *Rom.* ἐὰν. ibid. ἔλεος αὐτῆ) ἔλεος εὑρήσει αὐτόν. v. 13. Ἰωϐ ταῦτα) transpoſita. ibid. ſtich. 2. νϐθετῆ) νϐθετήμενος. v. 14. Οἶδας ὡς ἔθετο ὁ Θεὸς) οἴδαμεν ὅτι ὁ Θεὸς ἔθετο. ibid. ποιήσας φῶς) transpoſita. v. 15. Ἐπίσασαι) ἐπίσαται. v. 17. ϛερεωθεὶς) ϛερεώσεις. v. 19. ἑσὼς) ἑσηκὼς. v. 20. Πᾶσι γὰρ) πᾶσι δὲ. ibid. φῶς) τὸ φῶς.

Ὥσπερ τὸ παρ' αὐτῆ ἐπὶ νεφῶν ἐξῆλθεν.

21. Ἀπὸ βορρᾶ νέφη χρυσαυγοῦντα·
Ἐπὶ τέτοις μεγάλη ἡ δόξα καὶ τιμὴ τῆ παντοκράτορος,

22. Καὶ οὐχ εὑρίσκομεν ἄλλον ὅμοιον (αὐτῷ καὶ) τῇ ἰσχύϊ αὐτῆ.
Ὁ τὰ δίκαια κρίνων, οἶει ὅτι ἐκ εἰσακήει αὐτός;

23. Διὸ φοβηθήσονται αὐτὸν ἄνθρωποι·
Φοβηθήσονται δὲ αὐτὸν καὶ οἱ σοφοὶ τῇ καρδίᾳ.

ΚΕΦ. ΛΗ'. XXXVIII.

ΜΕτὰ δὲ τὸ παύσασθαι Ἐλιοὺν τῆς λέξεως, εἶπεν ὁ Κύριος τῷ Ἰωβ διὰ λαίλαπος καὶ νέφους·

2. τίς ἔτος ὁ κρύπλων με βελὴν, συνέχων δὲ ῥήματα ἐν καρδίᾳ, ἐμὲ δὲ οἴεται κρύπλειν;

3. Ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σε·
Ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι.

4. Πῆ ἦσθα ὅτε ἐθεμελίωσα τὴν γῆν;
Ἀνάγγειλόν μοι εἰ ἐπίστασαι σύνεσιν.

5. Τίς ἔθετο τὰ μέτρα αὐτῆς, ※ εἰ οἶδας"·
Ἢ τίς ὁ ἐπαγαγὼν σπαρτίον ἐπ' αὐτῆς;

σύλοι 6. Ἐπὶ τίνος (δὲ) οἱ κρίκοι αὐτῆς πεπήγασι;
Τίς δὲ ἐστιν ὁ βαλὼν λίθον γωνιαῖον (ἐπ') αὐτῆς;

7. Ὅτε ἐγενήθη ἄστρα, ἤνεσάν με ἐν φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου (καὶ ὕμνησαν).

8. Ἔφραξα δὲ θάλασσαν πύλαις, ὅτε ἐμαιᾶτο,
Καὶ ἐκ κοιλίας μητρὸς αὐτῆς ἐξεπορεύετο·

9. Ἐθέμην δὲ αὐτῇ νέφος ἀμφίασιν,
Ὁμίχλῃ δὲ αὐτὴν ἐσπαργάνωσα·

10. Ἐθέμην δὲ αὐτῇ ὅρια, περιθεὶς κλεῖθρα καὶ πύλας·

11. Εἶπον δὲ αὐτῇ· μέχρι τέτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ,
Ἀλλ' ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα.

12. Ἢ ἐπὶ σοῦ συντέταχα φέγγος πρωϊνόν·
Ἑωσφόρος δὲ οἶδε τὴν ἑαυτοῦ τάξιν, ἐπίδεν

13. ἐπιλαβέσθαι πλερύγων γῆς, καὶ ἐκλιναίζαι ἀσεβεῖς ἐξ αὐτῆς;

14. Ἢ σὺ, λαβὼν γῆν πηλὸν ἔπλασας ζῶον;
Καὶ λαλητὸν αὐτὸ ἔθου ἐπὶ γῆς;

15. Ἀφείλω δὲ ἀπὸ ἀσεβῶν τὸ φῶς;
Καὶ βραχίονα ὑπερηφάνων συνέτριψας;

16. Ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης; ἐν γῆν
δὲ ἴχνεσιν ἀβύσου περιεπάτησας;

17. Ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου;

v. 20. ſtich. 3. ἐξῆλθεν) deeſt. v. 21. τῆ παντοκρ.) τῆ abeſt. v. 22. (αὐτῷ καὶ) non habet. ibid. ſtich. 2. οἶει ὅτι ἐκ εἰσακήει αὐτός;) οὐκ οἶει ἐπακήειν αὐτόν; v. 23. ἄνθρωποι) οἱ ἄνθρωποι. ibid. ſtich. 2. τῇ καρδίᾳ) καρδίᾳ. CAP. XXXVIII. v. 1. νέφους) νεφῶν. v. 4. in *Rom.* πῆ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν; ἀπάγγειλον δέ μοι εἰ ἐπίστῃ σύνεσιν. v. 6. (δὲ) abeſt. ibid. οἱ σύλοι) οἱ κρίκοι. v. 7. ἐγενήθη) ἐγενήθησαν. ibid. ἐν φωνῇ) φωνῇ. ib. (καὶ ὕμνησαν) deeſt. v. 8. ἐμαιᾶτο Καὶ ἐκ) ἐμαίμασσε ἐκ. ibid. ſtich. 2. ἐξεπορεύετο) ἐκπορευομένη. v. 11. Εἶπον) ἔπα. v. 12. ſtich. 2. ἐπίδεν) εἶδεν. v. 13. γῆς, καὶ ἐκλιν.) καὶ deeſt. v. 14. ſtich. 2. αὐτὸ) αὐτόν. v. 15. Ἀφείλω) ἀφεῖλες. ibid. ſtich. 2. Καὶ βραχίονα) Βραχίονα δὲ. v. 16. γῆν) πηγὴν.

Πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπληξαν;
18. Νενοθέτησαι δὲ τὸ εὖρος τῆς ὑπ' ἐρανόν;
Ἀνάγγειλον δέ μοι, πόση ἥτις ἐστίν.
19. Ἐν ποίᾳ δὲ γῇ αὐλίζεται φῶς;
Σκότος δὲ ποῖός ἐστι τόπος;
20. Εἰ ἄρα ἀγάγοις με εἰς ὅρια αὐτῶν;
Εἰ δὲ καὶ ἐπίστασαι τρίβους αὐτῶν;
Οἶδα 21. Οἶδας ἄρα, ὅτι * τότε γεγέννησαι,
* εἰς τῦτο Ἀριθμὸς δὲ ἐτῶν σε πολύς;
22. Ἦλθες δὲ ἐπὶ θησαυρὸς χιόνος;
Θησαυρὸς δὲ χαλάζης ἑώρακας;
23. Ἀπόκεινται δέ (σοι) εἰς ὥραν ἐχθρῶν,
Εἰς ἡμέραν πολέμε καὶ μάχης.
24. Πόθεν δὲ ἐκπορεύεται πάχνη,
Ἢ διασκεδάννυται νότος εἰς τὴν ὑπ' ἐρανόν;
25. Τίς δὲ ἡτοίμασεν ὑετῷ λάβρῳ ῥύσιν, ὁδὸν δὲ κυδοιμῷ;
κυδοιμῶν γῆς 26. ※ Τῦ ὑετίσαι ἐπὶ γῆν ἣ ἐκ ἀνὴρ,
※ Ἔρημον ἣ ἐχ ὑπάρχει ἄνθρωπος ἐν
※ αὐτῇ·
※ 27. Τῦ χορτάσαι ἄβατον καὶ ἀοίκητον,
※ Καὶ τῦ ἐκβλασῆσαι ἔξοδον χλόης".
28. Τίς ἐστιν ὑετῦ πατήρ; τίς δὲ ἐστιν ὁ τετοκὼς (συνοχὰς καὶ) βώλυς δρόσε;
29. Ἐκ γαστρὸς δὲ τίνος ἐκπορεύεται κρύσταλλος;
Πάχνην δὲ ἐν ἐρανῷ τίς τέτοκεν,
30. Ἡ καταβαίνει ὡς ὕδωρ ῥέον;
Πρόσωπον δὲ ἀβύσσου τίς * ἔπηξε, συνῆ- ἀσεβῆς
καας; * ἔτηξεν
31. Δεσμὸν δὲ πλειάδος ἔγνως;
Ἢ φραγμὸν ὠρίωνος ἤνοιξας;
32. ※ Ἢ διανοίξεις Μαζερωθ ἐν καιρῷ αὐτῦ;
Καὶ ἕσπερον ἐπὶ κώμης αὐτῦ (καὶ) ἄ- κόμης
ξεις αὐτά";
33. Ἐπίστασαι δὲ τροπὰς ἐρανῦ,
Ἢ τὰ ὑπ' ἐρανὸν ὁμοθυμαδὸν γινόμενα;
34. Καλέσεις δὲ νέφος φωνῇ, καὶ δρόμῳ ὕδατος λάβρε ὑπακύσεταί σε;
35. Ἀποστελεῖς δὲ κεραυνοὺς, καὶ πορεύσονται; ἐρῦσι δέ σοι, τί ἐστι;
36. Τίς ἔδωκε γυναιξὶν ὑφάσμαΐος σοφίαν, γυναικὶ
Καὶ ποικιλτικὴν (σοφίας) ἐπιστήμην;
37. Τίς δὲ ὁ ἀριθμῶν νέφη σοφίᾳ,
Οὐρανὸν δὲ εἰς γῆν ἔκλινε;
38. Κέχυται γὰρ ὥσπερ γῆ χωνείᾳ, γῆς κονία
Κεκόλληκε δὲ αὐτὸν ὥσπερ κύβον λίθοις.
39. Θηρεύσεις δὲ λέοσι βοράν,
Ψυχὰς δὲ δρακόντων ἐμπλήσεις;
40. Δεδοίκασι γὰρ ἐν κοίταις αὐτῶν,
Κάθηνται δὲ ἐν ὕλαις ἐνεδρεύοντες.
41. Τίς δὲ ἡτοίμασε κόρακι βοράν;
Νεοσσοὶ δὲ αὐτῦ πρὸς Κύριον (αὐτῦ) κεκράγασι, πλανώμενοι τὰ σῖτα ζητῦντες.

ΚΕΦ.

v. 18. ſtich. 2. δὲ μοι π. ἥτις) δὴ μοι π. τίς. v. 19. Ἐν ποίᾳ) ἐν abeſt. ibid. φῶς) τὸ φῶς. ibid. ſtich. 2. ἐστιν τόπος) ὁ τόπος. v. 20. Εἰ ἄρα) ἄρα deeſt. v. 21. εἰς τῦτο) τότε. v. 23. Ἀπόκεινται) ἀπόκειται. ibid. ſtich. 2. πολέμε) πολέμων. v. 26. γῆς) γῆν. v. 28. (συνοχὰς καὶ) non habet. v. 29. κρύσταλλος) ὁ κρύσταλλος. v. 30. ὡς) ὥσπερ. ibid. ſtich. 2. δὲ) abeſt. ib. ἔτηξεν) ἔπληξεν. v. 31. Δεσμὸν - - Φραγμὸν) δὲ δεσμὸν πλειάδος, καὶ φραγμὸν. v. 32. ſtich. 2. (καὶ) abeſt. v. 34. δρόμῳ) τρόμῳ. v. 36. Τίς ἔδωκε γυναικὶ) τίς δὲ ἔδωκε γυναιξὶν. ib. ſtich. 2. Καὶ) ἢ. ibid. (σοφίας) deeſt. v. 38. γὰρ) δὲ. ibid. γῆς κονία) γῆ κονία. ibid. ſtich. 2. Κεκόλληκε) κεκόλληκα. ibid. κύβον λίθοις) λίθῳ κύβον. v. 41. ſtich. 2. δὲ πρὸς) γὰρ αὐτῦ πρὸς. ibid. (αὐτῦ) deeſt.

ΚΕΦ. ΛΘ'. XXXIX.

※ Ἦ ἔγνως καιρὸν τοκετῦ τραγελάφων πέτρας",
※ Ἐφύλαξας δὲ ὠδῖνας ἐλάφων;
2. Ἠρίθμησας δὲ αὐτῶν μῆνας πλήρεις τοκετῦ,
Ὠδῖνας δὲ αὐτῶν ἔλυσας;
3. Ἐξέθρεψας δὲ αὐτῶν τὰ παιδία ἄνευ φόβε,
※ Ὠδῖνας δὲ αὐτῶν ἐξαποστελεῖς;
※ 4. Ἀποῤῥήξεσι τὰ τέκνα αὐτῶν,
※ Πληθυνθήσονται ἐν γεννήματι·
※ Ἐξελεύσονται, καὶ ὁ μὴ ἀνακάμψεσιν αὐτοῖς
ἑαυτοῖς". αὐτῶν".
5. Τίς δὲ ἔστιν ὁ ἀφεὶς ὄνον ἄγριον ἐλεύθερον;
Δεσμοὺς δὲ αὐτῦ τίς ἔλυσεν;
6. Ἔθέμην δὲ αὐτῦ τὴν δίαιταν ἔρημον,
※ Καὶ τὰ σκηνώματα αὐτῦ ἁλμυρίδα".
7. Καταγελῶν πολυοχλίας πόλεως,
Μέμψιν δὲ φορολόγε οὐκ ἀκούων.
8. ※ Κατασκέψεται ὄρη νομὴν αὐτῦ,
Καὶ ὀπίσω παντὸς χλωρῦ ζητήσει".
9. Βεληθήσεταί δέ σοι (ἀτράπελος) μονόκερως δεδεῦσαι,
Ἢ κοιμηθῆναι ἐπὶ φάτνης σε;
10. Δήσεις δὲ αὐτῦ ἐν ἱμᾶσι ζυγόν;
Ἢ ἑλκύσει σοι αὐλακας ἐν πεδίῳ;
11. Πέποιθας δὲ ἐπ' αὐτῷ, ὅτι πολλὴ ἡ ἰσχὺς αὐτῦ;
Καὶ ἐπαφήσεις αὐτῷ τὰ ἔργα σε;
12. Πιστεύσεις δὲ αὐτῷ, ※ ὅτι ἀποδώσει σοι τὸν σπόρον,
※ Καὶ εἰσοίσει σε τὴν ἅλωνα;
※ 13. Πτέρυξ τερπομένων Νεέλασα,
※ Ἐὰν συλλάβῃ Ἀσίδα καὶ Νέεσσα·
※ (ἐλάλησαν)
14. Ὅτι ἀφήσει εἰς γῆν τὰ ὠὰ αὐτῆς, ὦτα
Καὶ ἐπὶ χοῦν θάλψει·
※ 15. Καὶ ἐπελάθετο ὅτι πῆς σκορπιεῖ ※
αὐτὰ,
※ Καὶ θηρία ἀγρῦ καταπατήσει αὐτά.
※ 16. Ἀπεσκλήρυνε τὰ τέκνα αὐτῆς ὥσε ※
μὴ ἑαυτῇ,
ἑαυτὴν
※ Εἰς κενὸν ἐκοπίασεν ἄνευ φόβε·
※ 17. Ὅτι κατεσιώπησεν αὐτῇ ὁ Θεὸς ※
σοφίαν,
※ Καὶ οὐκ ἐμέρισεν αὐτῇ (ὁ Θεὸς) ἐν ※
τῇ συνέσει.
※ 18. Κατὰ καιρὸν ἐν ὕψει ὑψώσει, καίρων
Καταγελάσεται ἵππε καὶ τῦ ἐπιβάτε αὐτῦ". ※
※ 19. Ἢ σὺ περιέθηκας ἵππῳ δύναμιν,
Καὶ ἐνέδυσας τραχήλῳ αὐτῦ φόβον;
20. Περιέθηκας δὲ αὐτῷ πανοπλίαν,
Καὶ δόξῃ σηθέων αὐτῦ τόλμην;
21. Ἀνορύσσων ἐν πεδίῳ γαυριᾷ,
Ἐκπορεύεται δὲ εἰς πεδίον ἐν ἰσχύϊ·
Συναντῶν βέλει 22. καταγελᾷ,

CAP. XXXIX. v. 1. Ἢ ἔγνως) Εἰ ἔγνως. v. 2. αὐτῶν μῆνας) transposita. ibid. τοκετῦ) addit αὐτῶν. v. 3. ἄνευ φόβε) ἔξω Φόβου. v. 4. stich. 3. ἑαυτοῖς) αὐτοῖς. v. 6. αὐτῦ τὴν δίαιταν) transposita. v. 8. stich. 2. ζητήσει) ζητεῖ. v. 9. (ἀτράπελος) deest. v. 10. αὐτῦ ἐν ἱμ. ζ.) ἐν ἱμᾶσι ζυγὸν αὐτῦ. ibid. stich. 2. σοι) σου. v. 11. stich. 2. Καὶ ἐπαφήσεις) ἐπαφήσεις δὲ. v. 12. αὐτῷ) deest. ibid. stich. 2. Καὶ εἰσοίσει) εἰσοίσει δὲ. ibid. τὴν ἅλωνα) τὸν ἅλωνα. v. 13. Νεέλασα) νεέλασσα. ibid. stich. 2. Νέεσσα) νέσσα. ibid. (ἐλάλησαν) deest. v. 14. ὦτα) ὠὰ. v. 16. αὐτῆς) ἑαυτῆς. v. 17. ἐμέρισεν) ἐπεμέρισεν. ibid. (ὁ Θεὸς) abest. v. 18. καιρὸν) καιρῶν. v. 19. stich. 2. Καὶ ἐνέδυσας) ἐνέδυσας δὲ. v. 20. stich. 2. in *Rom.* δόξαν δὲ σηθέων αὐτῦ τόλμην. v. 21. stich. 3. βέλει) βασιλεῖ.

σίδηρον Καὶ ἐὰν μὴ ἀποσταφῇ σιδήρα.
23. Ἐπ᾽ αὐτῷ γαυρίᾳ τόξον καὶ ὀξυθενὴς μάχαιρα·
24. Καὶ ὀργῇ ἀφανιεῖ τὴν γῆν.
σημανιεῖ Καὶ ἐὰν μὴ πιστεύσει ἕως ἂν σημάνῃ σάλπιγξ·
25. Σάλπιγγος δὲ σημαινούσης, ἐρεῖ· εὖγε.
Πόρρωθεν δὲ ὀσφραίνεται πολέμου,
ἅλματι (Καὶ) σὺν ἀλαλάγματι καὶ κραυγῇ (ἐκπορεύεται).
ἔσηκεν 26. Ἐκ δὲ Ἰῆς σῆς ἐπισήμης ἔπηκεν ἱέραξ,
Ἀναπετάσας τὰς πτέρυγας ἀκίνητος, ※ καθορῶν τὰ πρὸς νότον";
27. Ἢ ἐπὶ τῷ σῷ προσάγματι ὑψῶται ἀετός;
Γὺψ δὲ ἐπὶ νοσσιᾶς αὐτῆ 28. καθεδεῖς αὐλίζεται
※ Ἐπ᾽ ἐξοχῇ πέτρας καὶ ἀποκρύφῳ";
29. Ἐκεῖσε ὧν ζητεῖ τὰ σῖτα· ※ πόρρωθεν (δὲ) οἱ ὀφθαλμοὶ αὐτῆ σκοπεύσι".
30. Νεοσσοὶ δὲ αὐτῆ φύρονται ἐν αἵματι·
Οὗ δὲ ἐὰν ὦσι τεθνεῶτες, παραχρῆμα εὑρίσκονται.
31. Καὶ ἀπεκρίθη Κύριος ὁ Θεὸς τῷ Ἰῶβ, καὶ εἶπε· 32. μὴ κρίσιν μετὰ ἰκανῆ ἐκκλινεῖ; ※ ἐλέγχων Θεὸν, ἀποκριθήσεται αὐτήν";
33. Ὑπολαβὼν δὲ Ἰῶβ, εἶπε τῷ Κυρίῳ·
34. ÷ Τί ἔτι ἐγὼ κρίνομαι, νουθετέμενος καὶ ἐλεγχόμενος ὑπὸ Κυρίε, ÷
Ἀκέων τοιαῦτα"; μηδὲν ὢν ἐγὼ, ÷
Ἀπόκρισιν δὲ τίνα δῶ πρὸς ταῦτα;
Χεῖρα θήσω ἐπὶ στόματί μου·
35. Ἅπαξ ἐλάλησα, ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω.

ΚΕΦ. Μ′. XL.

ΕΤι δὲ ὑπολαβὼν ὁ Κύριος, εἶπε τῷ Ἰῶβ διὰ τῆς νέφες·
2. Μὴ, ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σε·
Ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθηθι.
3. Μὴ ἀποποιῇ με τὸ κρίμα; ἀποποιῆ
Οἴει δέ με ἄλλως σοι κεχρηματικέναι, μηδὲ οἴε
ἀλλ᾽ ἵνα δίκαιος ἀναφανῇς;
4. Εἰ βραχίων σοί ἐστι κατὰ Κύριον,
Ἢ φωνῇ (βροντῆς) κατ᾽ αὐτὸν βροντᾷς;
5. Ἀνάλαβε * δὴ ὕψος καὶ δύναμιν· Βροντᾷ ἴσα.
Δόξαν καὶ τιμὴν ἀμφίασαι. * δὲ εἰς ὕψος
6. Ἀπόστειλον δὲ ἀγγέλες ἐν ὀργῇ (σε),
Πάντα δὲ ὑβριστὴν ταπείνωσον,
7. Ὑφερήφανον δὲ σβέσον·
Σῆψον δὲ ἀσεβεῖς παραχρῆμα,
8 Κρύψον δὲ αὐτοὺς εἰς γῆν (ἔξω) ὁμοθυμαδὸν, τὰ δὲ πρόσωπα αὐτῶν ἀτιμίας ἔμπλησον·
9. Ὁμο-

V. 22. ἐὰν μὴ) οὐμὴν. ibid. σίδηρον) ἀπὸ σιδήρου. V. 23. ὀξυθενὴς) deeſt. V. 24. ſtich. 2. σημανιεῖ) σημάνῃ. V. 25. ἐρεῖ) λέγει. ibid. ſtich. 3. (Καὶ) abeſt. ibid. (ἐκπορεύεται) deeſt. V. 27. Ἢ ἐπὶ τῷ σῷ) ἐπὶ δὲ σῷ. V. 29. (δὲ) abeſt. V. 30. ſtich. 2. οὗ δὲ ἐὰν) οὗ δ᾽ ἂν. V. 32. ἐλέγχων) addit δὲ. V. 33. εἶπε) λέγει. V. 34. ἐλεγχόμενος ὑπὸ Κυρίου) ἐλέγχων κύριον. ibid. ſtich. 2. 3. μηδὲν ὢν ἐγὼ, Ἀπόκρισιν δὲ τίνα δῶ) ἀθὲν ὢν; ἐγὼ δὲ τίνα ἀπόκρισιν δῶ. V. 35. ἐλάλησα) λελάληκα. CAP. XL. V. 1. διὰ τῆς) ἐκ τοῦ. V. 2. ſtich. 2. ἀποκρίθητι) ἀπόκριναι. V. 3. ſtich. 2. μηδὲ οἴε) οἴει δὲ. ibid. ἀλλ᾽ ἵνα δίκαιος ἀναφανῇς) ἢ ἵνα ἀναφανῇς δίκαιος. V. 4. Εἰ) ἢ. ibid. κατὰ Κύριον) κατὰ τῆς κυρίε. ibid. ſtich. 2. (βροντῆς) deeſt. ibid. κατ᾽ αὐτὸν βροντᾷς ἴσα) κατ᾽ αὐτοῦ βροντᾷς. V. 5. δὲ εἰς ὕψος) δὴ ὕψος καὶ. ibid. ſtich. 2. Δόξαν καὶ) δόξαν δὲ καὶ. V. 6. ἐν ὀργῇ σε) ὀργῇ. V. 8. αὐτὰς) abeſt. ibid. (ἔξω) abeſt.

9. Ὁμολογήσω ἄρα ὅτι δύναταί σε ἡ δεξιά σῶσαί σε.
10. Ἀλλ' ἰδὲ, παρὰ σοὶ θηρία ἴσα βασὶν χόρτον ἐσθίει·
11. Ἰδὲ δὴ ἡ ἰσχὺς αὐτῆ ἐπὶ ὀσφύος ※ αὐτῆ",
Ἡ δὲ δύναμις ※ αὐτῆ" ἐπ' ὀμφαλοῦ γαστρὸς ✕ αὐτῆ"· 12. ἔσησεν ἀρὰν ✕ αὐτῆ" ὥσπερ κυπάριστον,
Τὰ δὲ νεῦρα αὐτῆ (ὥσπερ χοινίκα) συμπέπλεκται.
13. Αἱ πλευραὶ αὐτῆ ὡς πέτραι χαλκαῖ,
σίδηρος Ἡ δὲ ῥάχις αὐτῆ ὡς τύχος σιδήρεος.
χυτός 14. 15. Τοῦτό ἐστιν ἀρχὴ πλάσματος Κυρίε, πεποιημένον
Εἰς τὸ ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων αὐτῆ.
Ἐπελθὼν δὲ ἐπ' ὄρος ἀκρότομον,
Ἐποίησε χαρμονὴν τετράποσιν ἐν τῷ
ταρίχευσε ἀγρῷ.
16. Ὑπὸ παντοδαπὰ δένδρα κοιμᾶται,
Παρὰ κάλαμον καὶ πάπυρον καὶ βέτομον·
17. Σκιάζονται δὲ αὐτῷ δένδρα μεγάλα
Σὺν ῥαδάμνοις, καὶ κλῶνες ἄγνε.
18. ※ Ἐὰν γένηται πλημμύρα, ὃ μὴ
※ αἴσθηται,
ὅτι ※ Πέποιθεν ὅτε προσκρέσει ὁ Ἰορδάνης
※ εἰς τὸ στόμα αὐτῆ·
19. Ἐν τῷ ὀφθαλμῷ αὐτῆ δέξεται ※
αὐτὸν, ※
Ἐνσκωλευόμενος τρήσει ῥῖνα (αὐτῆ)". ἐνσκολιευόμενος
20. 21. Ἄξεις δὲ δράκοντα ἐν ἀγκίστρῳ; Περιθήσεις δὲ Φορβαίαν περὶ ῥῖνα αὐτῆ; (καὶ) ※ εἰ εἰλήσεις κλοιὸν ἐν τῷ μυκτῆρι αὐτῆ;
Ψελίῳ δὲ τρυπήσεις τὸ χεῖλος αὐτῆ; Ψελίῳ
22. Λαλήσει δέ σοι δεήσεις καὶ ἱκετηρίας μαλακῶς;
23. Θήσεται δὲ μετὰ σῆ διαθήκην;
Λήψῃ δὲ αὐτὸν δοῦλον αἰώνιον;
24. Καὶ ἐμπαίξεις αὐτῷ ὥσπερ ὀρνέῳ;
Δήσεις δὲ αὐτὸν ὥσπερ στρουθίον παιδίῳ;
25. Ἐνσιτοῦνται δὲ ἐν αὐτῷ ἔθνη, αὐτὸν
Καὶ μεριτεύονται αὐτὸν Φοινίκων γένη;
26. Πᾶν δὲ πλωτὸν συνελθὸν ὃ μὴ ἐνέγκῃ (μίαν) βύρσαν ἐρᾶς αὐτῆ,
※ Καὶ ἐν πλοίοις ἁλιέων κεφαλὴν αὐτῆ"
27. Ἐπιθήσεις δὲ ἐπ' αὐτῷ χεῖρα, μνηθεὶς πολέμε τῆ γιγνομένε ἐν τῷ σώματι αὐτῆ;
Καὶ μηκέτι γινέσθω
28. Οὐχ ἑώρακας αὐτὸν, ὃδε ἐπὶ τοῖς λεγομένοις τεθαύμακας;

ΚΕΦ.

v. 9. ἄρα) non habet. ibid. σε ἡ δεξιὰ) transposita. v. 20. in *Rom.* ἀλλὰ δὴ ἰδοὺ θηρία παρὰ σοὶ, χόρτον ἴσα βασὶν ἐσθίουσιν. v. 11. ἐπὶ ὀσφύος αὐτῆ) ἐπ' ὀσφύϊ. ibid. stich. 2. γαστρὸς αὐτῆ) αὐτοῦ deest. v. 12. ἀρὰν αὐτῆ ὥσπερ) ἀρὰν ὡς. ibid. (ὥσπερ χοινίκα) non habet. v. 13. ὡς πέτραι χαλκαῖ) πλευραὶ χάλκειαι. ibid. stich 2. ὡς σίδηρος) ὡς abest. v. 14. 15. Τοῦτό ἐστιν) τουτέστιν. ibid. stich. 2. Εἰς τὸ) abest. v. 16. stich. 2. κάλαμον καὶ πάπυρον) transposita. v. 17. δὲ αὐτῷ) δὲ ἐν αὐτῷ. ibid. stich. 2. ἄγνε) ἁγνῆ. v. 18. αἴσθηται) αἰσθηθῇ. v. 19. st. 2. (αὐτῆ) deest. v. 20. 21. καὶ εἰλήσεις κλοιὸν) ἢ δήσεις κρίκον. ibid. stich. 3. Ψελίῳ) Ψελίφ. v. 22. δεήσεις καὶ ἱκετηρίας) δεήσει ἱκετηρία. v. 24. Καὶ ἐμπαίξεις αὐτῷ) παίξῃ δὲ ἐν αὐτῷ. ibid. stich. 2. Δήσεις δὲ) ἢ δήσεις. v. 25. αὐτὸν) ἐν αὐτῷ. ibid. stich. 2. Καὶ μεριτ.) μεριτεύονται δὲ. ibid. γένη) ἔθνη. v. 26. ἐνέγκῃ μίαν βύρσαν) ἐνέγκωσι βύρσαν μίαν. v. 27. ἐπ' αὐτῷ) αὐτῷ. ib. πολέμε τῆ γιγνομένε ἐν τῷ σώματι) πόλεμον τὸν γινόμενον ἐν σώματι. v. 28. ab hoc versu *Edit. Rom.* incipit Cap. 41.

ΚΕΦ. ΜΑ'. XLI.

σοι Ὀ δέδοικας (αὐτὸν), ὅτι ἡτοίμασαί μοι;
Τίς γάρ ἐστιν ὁ ἐμοὶ ἀνθιστάμενος;
2. Ἢ τίς (ἐστιν ὃς) ἀντιστήσεταί μοι, καὶ ὑπομενεῖ;
(Ἢ ἐχὶ) πᾶσα ἡ ὑπ' ἐρανὸν ἐμή ἐστιν.
3. ※ Οὐ σιωπήσομαι δι' αὐτὸν,
δυνάμεως Καὶ λόγος δυνάμεων ἐλεήσει τὸν ἴσον
※ αὐτῦ".
4. Τίς (δὲ) ἀνακαλύψει πρόσωπον ἐνδύσεως αὐτῦ, εἰς δὲ πλύξιν θώρακος αὐτῦ τίς ἂν εἰσέλθοι;
5. Πύλας (δὲ) προσώπε αὐτῦ τίς ἀνοίξει;
Κύκλῳ ὀδόντων αὐτῦ φόβος.
6. Ἔγκαλα (δὲ) αὐτῦ ἀσπίδες χαλκαῖ,
σύνδεσμοι Καὶ σύνδεσμος αὐτῦ ὥσπερ * σμυρίτης
*σμίριλος λίθος, 7. ※ εἷς ἐκ τῦ ἑνὸς κολλῶνται,
※ Πνεῦμα δὲ ἐ μὴ διέλθῃ αὐτόν·
※ 8. Ἀνὴρ τῷ ἀδελφῷ αὐτῦ προσκολληθήσεται, συνέχωνται, καὶ ἐ μὴ ἀποσπασθῶσιν".
※ 9. Ἐν πλαρμῷ αὐτῦ ἐπιφώσκεται φέγγος·
Οἱ δὲ ὀφθαλμοὶ αὐτῦ εἶδος ἑωσφόρε.
10. Ἐκ στόματος αὐτῦ ἐκπορεύονται λαμπάδες καιόμεναι,
Καὶ διαριπλοῦνται ἐχάραι πυρός·
11. Ἐκ μυκλήρων αὐτῦ ἐκπορεύεται καπνὸς καμίνε καιομένης πυρὶ ἀνθράκων· Φλογὶ
12. Ἡ ψυχὴ αὐτῦ ἄνθρακες,
Φλὸξ δὲ ἐκ στόματος αὐτῦ ἐκπορεύεται. 13. Ἐν δὲ τραχήλῳ αὐτῦ αὐλίζεται δύναμις·
Ἔμπροσθεν αὐτῦ προτρέχει ἀπώλεια.
14. Σάρκες δὲ σώματος αὐτῦ κεκόλληνται·
※ Καταχέει ἐπ' αὐτὸν, ἐ σαλευθήσεται".
15. Ἡ καρδία αὐτῦ πέπηγεν ὥσπερ λίθος, ἔσηκε δὲ ὥσπερ ἄκμων ἀνήλατος.
16. Στραφέντος αὐτῦ, φόβος θηρίοις τετράποσιν ἁλωμένοις ἐπὶ γῆς.
17. Ἐὰν συναντήσωσιν αὐτῷ λόγχαι, ἐδὲν ἐ μὴ ποιήσωσιν αὐτῷ ※ δόρυ ἐκπεμπόμενον καὶ θώρακ".
18. Ἡγηται μὲν γὰρ σίδηρον ὥσπερ ἄχυρα,
Χαλκὸν δὲ ὥσπερ ξύλον σαθρόν·
19. Οὐ μὴ τρώσῃ αὐτὸν τόξον χάλκεον·
Ἡγήται γὰρ πετροβόλον ὡς χόρτον,
20. Ὡς καλάμη ἐλογίθη αὐτῷ σφύρα·
Καταγελᾷ δὲ σεισμῦ πυρφόρε.
21. Ἡ στρωμνὴ αὐτῦ ὀβελίσκοι ὀξεῖς,
Πᾶς δὲ χρυσὸς θαλάσσης ὑπ' αὐτὸν ὥσπερ πηλὸς ἀμύθητος.

22. Ἀνα-

CAP. XLI. v. 1. (αὐτὸν) deeſt. ibid. σοι) μοι. ibid. ſtich. 2. ἀνθισάμενος) ἀντισὰς. v. 2. (ἐστιν ὃς) abeſt. ibid. ſtich. 2. Ἢ ἐχὶ πᾶσα) εἰ πᾶσα. v. 3. ſtich. 2. λόγος) λόγον. ibid. ἴσον αὐτῦ) ἶσον αὐτῷ. v. 4. Τίς δὲ ἀνακαλύψει) τίς ἀποκαλύψει. v. 5. (δὲ) abeſt. v. 6. Ἔγκαλα δὲ) τὰ ἔγκατα. ibid. χαλκαῖ) χάλκεαι. ibid. ſtich. 2. in *Rom.* σύνδεσμος δὲ αὐτῦ ὥσπερ σμυρίτης λίθος. v. 7. εἷς ἐκ τῦ) εἷς τῦ. v. 8. συνέχωνται) συνέχονται. v. 9. ἐπιφώσκεται) ἐπιφαύσκεται. v. 10. λαμπάδες) ὡς λαμπάδες. ibid. ſtich. 2. ἐχάραι) ὡς ἐχάραι. v. 11. Φλογὶ) πυρὶ. v. 13. ſtich. 2. προτρέχει) τρέχει. v. 15. ὥσπερ λίθος) ὡς λίθος. v. 16. αὐτῦ) δὲ αὐτῦ. ibid. ἁλωμένοις ἐπὶ γῆς) transpoſita. v. 17. ἐ μὴ) μὴ. ibid. αὐτῷ δόρυ καὶ θώραξ) δόρυ, καὶ θώρακα. v. 18. ὥσπερ ἄχυρα) ὥσπερ deeſt. v. 19. αὐτὸν Ἡγηται γὰρ π. ὡς χόρτον.) αὐτὸν τόξον χάλκεον. ἥγηται μὲν πέτροβόλον χόρτον. v. 20. ἐλογίθη αὐτῷ) ἐλογίθησαν.

22. Ἀναζεῖ τὴν ἄβυσσον ὥσπερ χαλκεῖον·
Ἥγηται δὲ τὴν θάλασσαν ὥσπερ ἐξ-
άλειπτρον,

23. Τὸν δὲ τάρταρον τῆς ἄβύσσε ὥσπερ
αἰχμάλωτον·
※ Ἐλογίσατο ἄβυσσον εἰς περίπαλον".

24. Οὐκ ἔστιν ἐδὲν ἐπὶ γῆς ὅμοιον αὐτῷ,
Πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ
τῶν ἀγγέλων με·

25. Πᾶν ὑψηλὸν ὁρᾷ, αὐτὸς δὲ βασιλεὺς
πάντων τῶν ἐν τοῖς ὕδασιν.

ΚΕΦ. ΜΒ′ XLII.

ΤΟ δὲ Ἰὼβ, λέγει τῷ Κυρίῳ·
2. Οἶδα ὅτι δύνασαι πάντα, ἀ-
δυνατεῖ δέ σοι ἐδέν.

3. Τίς γάρ ἐστιν ὁ κρύπτων σε βελὴν,
Φειδόμενος δὲ ῥημάτων, καὶ σὲ οἴε-
ται κρύπτειν;
Ἀνηγγέλη δέ μοι ἃ ἐκ ἤδειν,
÷ Μεγάλα καὶ" θαυμαστὰ, ἃ ἐκ
ἠπιστάμην.

4. Ἄκουσον δή με Κύριε, ἵνα κἀγὼ λα-
λήσω·
Ἐρωτήσω δέ σε, σὺ δέ με δίδαξον.

"Εως 5. Ἀκοῇ μὲν ὠτὸς (ἀκοῆς) ἤκουόν σε το-
πρότερον,
Νυνὶ δὲ ὁ ὀφθαλμός με ἑώρακέ σε·

6. Διὸ ἐφαύλισα ἐμαυτὸν, καὶ ἐτάκην,
Ἥγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν.

7. Ἐγένετο δὲ μετὰ τὸ λαλῆσαι τὸν Κύ-
ριον πάντα τὰ ῥήματα ταῦτα τῷ
Ἰὼβ,
Εἶπεν ὁ Κύριος Ἐλιφὰζ τῷ Θαιμα-
νίτῃ·
Ἥμαρτες σὺ, καὶ οἱ δύο φίλοι σε·
ἐ γὰρ ἐλαλήσατε ἐνώπιόν με ἀ-
ληθὲς ἐδέν, ὥσπερ ὁ θεράπων με
Ἰώβ.

8. Καὶ νῦν λάβετε ※ ἑαυτοῖς ἑπτὰ μό-
σχους καὶ ἑπτὰ κριὸς, καὶ πορεύ-
θητε πρὸς τὸν παῖδά με Ἰὼβ,
Καὶ ποιήσεις κάρπωμα περὶ ὑμῶν·
Ἰὼβ δὲ ὁ θεράπων με εὔξεται περὶ
ὑμῶν·
Ὅτι εἰ μὴ πρόσωπον αὐτῷ λήψομαι,
Καὶ εἰ μὴ δι' αὐτὸν, ἀπώλεσα ἂν
ὑμᾶς·
Οὐ γὰρ ἐλαλήσατε ※ πρὸς με κατὰ
τῷ θεράποντός με Ἰὼβ ἐδέν, ἀ-
γαθόν.

9. Ἐπορεύθησαν δὲ Ἐλιφὰζ ὁ Θαιμα-
νίτης,
Καὶ Βαλδὰδ ὁ Σαυχίτης, καὶ Σω-
φὰρ ὁ Μιναῖος,
Καὶ ἐποίησαν (ἑαυτοῖς) καθὼς συν-
έταξεν αὐτοῖς ὁ Κύριος·
Καὶ ἔλυσε τὴν ἁμαρτίαν αὐτῶν διὰ
Ἰώβ.

10. Ὁ δὲ Κύριος ἤυξησε τὸν Ἰὼβ· εὐξα-
μένε δὲ αὐτῷ περὶ τῶν φίλων
αὐτῷ,

v. 24. ἐπὶ γῆς) ἐπὶ τῆς γῆς. CAP. XLII. v. 2. δύνασαι πάντα) transposita. v. 3. stich. 2. Ἀνηγγέλη δέ μοι) τίς δὲ ἀναγγελεῖ μοι. ibid. stich. 3. ἠπιστάμην) ἐπισάμην. v. 4. δή με) δέ μου. v. 5. Ἕως μὲν) ἀκοὴν μὲν. ibid. (ἀκοῆς) deest. v. 7. ῥήματα) addit ταῦτα. v. 8. Καὶ νῦν) νῦν δὲ. ibid. τὸν παῖδα) τὸν θεράποντα. ibid. stich. 2. in *Rom.* καὶ ποιήσει κάρπωσιν ὑπὲρ ὑμῶν. ibid. stich. 5. Καὶ εἰ μὴ δι') εἰ μὴ γὰρ δι'. ibid. ὑμᾶς) ἡμᾶς. ibid. stich. 6. ἐλαλήσατε) addit ἀληθὲς. ibid. ἐδὲν ἀγαθόν.) abest. v. 9. Ἐπορεύθησαν) ἐπορεύθη. ibid. stich. 3. (ἑαυτοῖς) abest. ibid. stich. 4. αὐτῶν) αὐτοῖς. v. 10. αὐτοῦ περὶ) αὐτῷ καὶ περὶ.

Ἀφῆκεν αὐτοῖς τὴν ἁμαρτίαν.

προσέθηκεν * τὰ Ἔδωκε δὲ ὁ Κύριος τῷ Ἰὼβ * πάντα διπλᾶ ὧν εἶχεν ἔμπροσθεν (εἰς διπλασιασμόν).

11. Ἦκεσαν δὲ πάντες οἱ ἀδελφοὶ αὐτῆ καὶ αἱ ἀδελφαὶ αὐτῆ πάντα τὰ συμβεβηκότα αὐτῷ, καὶ ἦλθον πρὸς αὐτὸν, καὶ πάντες (δὲ) ὅσοι πρὸ τότε ἤδεισαν αὐτὸν ἐκ πρώτης.

Φαγόντες δὲ καὶ πιόντες παρ' αὐτῷ, παρεκάλεσαν αὐτόν·

Καὶ ἐθαύμασαν ἐπὶ πᾶσιν ✕ κακοῖς, οἷς ἐπήγαγεν αὐτῷ ὁ Κύριος·

Καὶ ἔδωκαν αὐτῷ ἕκαστος ἀμνάδα μίαν, καὶ τετράδραχμον χρυσοῦν ἄσημον.

τὸν 12. Ὁ δὲ Κύριος ηὐλόγησε τῆ Ἰὼβ τὰ ἔσχατα μᾶλλον ἢ τὰ ἔμπροσθεν·

Ἦν δὲ τὰ κλήνη αὐτῆ, πρόβατα μύρια τετρακισχίλια,

Κάμηλοι ἑξακισχίλιαι,

Ζεύγη βοῶν χίλια,

Ὄνοι θήλειαι νομάδες χίλιαι.

13. Γεννῶνται δὲ αὐτῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς·

14. Καὶ ἐκάλεσε τὴν μὲν πρώτην, Ἡμέραν·

Τὴν δὲ δευτέραν, Κασίαν·

Τὴν δὲ τρίτην, Ἀμαλθείας κέρας.

15. Καὶ οὐχ εὑρέθησαν κατὰ τὰς Ἰὼβ θυγατέρας (καὶ τὰς υἱὰς αὐτῆ)

Βελτίους αὐτῶν ὑπὸ τὴν ὑπ' οὐρανόν·

Ἔδωκε δὲ αὐταῖς ὁ πατὴρ κληρονομίαν Ἰὼβ ταῖς θυγατράσιν αὐτῆ
ἐν τοῖς ἀδελφοῖς [a] αὐτῶν.

16. Ἔζησε δὲ Ἰὼβ μετὰ τὴν πληγὴν ἔτη ἑκατὸν [b] τεσσαράκοντα.

÷ Τὰ δὲ πάντα [c] ἃ ἔζη ἔτη διακόσια τεσσαράκοντα ὀκτώ".

※ Καὶ εἶδεν Ἰὼβ τὰς υἱὰς αὐτῆ, καὶ τὰς υἱὰς τῶν υἱῶν αὐτῆ, τετάρτην γενεάν".

17. Καὶ ἐτελεύτησεν Ἰὼβ πρεσβύτερος, καὶ πλήρης ἡμερῶν.

÷ Γέγραπται δὲ πάλιν ἀναστήσεσθαι αὐτὸν μεθ' ὧν ἀνίστησιν ὁ Κύριος. ÷

Οὗτος ἑρμηνεύεται ἐκ τῆς Συριακῆς βίβλου, ÷

Ἐν μὲν γῇ κατοικῶν τῇ Αὐσίτιδι, ἐπὶ τοῖς ὁρίοις τῆς Ἰδουμαίας καὶ Ἀραβίας· ÷

Προϋπῆρχε δὲ αὐτῷ ὄνομα Ἰωβάβ. ÷

Λαβὼν δὲ γυναῖκα Ἀράβισσαν, γεννᾷ υἱὸν ᾧ ὄνομα Ἐννών. ÷

Ἦν δὲ αὐτὸς πατρὸς μὲν Ζαρὲθ, τῶν υἱῶν Ἡσαῦ υἱὸς, ÷

Μητρὸς δὲ Βοσόρας· ὥστε εἶναι αὐτὸν πέμπτον ἀπὸ Ἀβραάμ. ÷

Καὶ

[a] αὐτῆ
[b] ἑβδομήκοντα
[c] ζῆ

v. 10. ſtich. 3. in *Rom.* Ἔδωκεν δὲ ὁ κύριος διπλᾶ, ὅσα ἦν ἔμπροσθεν Ἰὼβ εἰς διπλασιασμόν. v. 11. (δὲ) abeſt. ibid. πρὸ τότε) ἐκ πρώτης. ibid. ſtich. 2. πίοντες αὐτῷ) πίοντες παρ' αὐτῷ. ibid. ſtich. 3. ἐπήγαγεν αὐτῷ) ἐπήγαγεν ἐπ' αὐτῷ. ibid. ſtich. 4. Καὶ ἔδωκαν) ἔδωκεν δὲ. ibid. χρυσᾶν ἄσημον) χρυσᾶ καὶ ἀσήμου. v. 12. τὸν Ἰὼβ τὰ ἔσχατα μᾶλλον ἢ) τὰ ἔσχατα Ἰὼβ, ἤ. v. 14. ſtich. 2. Κασσίαν) κασίαν. ibid. ſtich. 3. Ἀμαλθείας) ἀμαλθαίας. v. 15. Ἰὼβ θυγατέρας) transpoſita. ibid. (καὶ τὰς υἱοὺς αὐτῆ) deſunt. ibid. ſtich. 2. ὑπὸ τὴν ὑπ') ἐν τῇ ὑπ'. ibid. ſtich. 3. Ἰὼβ ταῖς θυγατράσιν αὐτῆ) αὐταῖς ὁ πατὴρ. ibid. ἀδελφοῖς αὐτῆ) αὐτῆ deeſt. v. 16. ſtich. 2. ζῇ ἔτη) ἔτη ἔζησεν. ibid. ὀκτώ) deeſt. v. 17. ſtich. 2. Γέγραπται πάλιν ἀναστήσεσθαι αὐτὸν μεθ' ὧν ἀνίστησιν ὁ Κύριος.) γέγραπται δὲ, αὐτὸν πάλιν ἀναστήσεσθαι μεθ' ὧν ὁ κύριος ἀνίστησιν. ibid. ſtich. 6. Ζαρὲθ, τῶν υἱῶν Ἡσαῦ) Ζαρὲ, ἐκ τῶν ἡσαῦ υἱῶν. ibid. ſtich. 7. Βοσσόρας) βοσόρρας.

÷ Καὶ ἔτοι εἱ βασιλεῖς οἱ βασιλεύσαντες
÷ ἐν Ἐδὼμ, ἧς καὶ αὐτὸς ἦρξε χώ-
÷ ρας.
Σεμφὼρ Πρῶτος Βαλὰκ ὁ τῦ Βεὼρ, καὶ ὄνομα τῇ
÷ πόλει αὐτῦ Δενναβά.
÷ Μετὰ δὲ Βαλὰκ Ἰωβὰβ, ὁ καλέμενος
÷ Ἰώβ.
÷ Μετὰ δὲ τῦτον Ἀσὼμ, ὁ ὑπάρχων ἡγε-
÷ μὼν ἐκ τῆς Θαιμανίτιδος χώρας.
÷ Μετὰ δὲ τῦτον Ἀδὰδ, υἱὸς Βαρὰδ, ὁ
÷ ἐκκόψας Μαδιὰμ ἐν τῷ πεδίῳ
÷ Μωάβ.
Γεθθαὶμ Καὶ ὄνομα τῇ πόλει αὐτῦ Γεθαίμ.
÷ Οἱ δὲ ἐλθόντες πρὸς αὐτὸν φίλοι,
÷ Ἐλιφὰζ (υἱὸς Σωφὰν) τῶν υἱῶν Ἠσαῦ,
÷ Θαιμανῶν βασιλεὺς,
÷ Βαλδὰδ (υἱὸς Ἀμνὼν τῦ Χοβὰρ) ὁ Σαυ- τῦ Αὐ-
χαίων τύραννος, χίτε τυ-
Σωφὰρ ὁ Μιναίων βασιλεύς. ράννε
÷ (Θαιμὰν υἱὸς Ἐλιφὰζ, ἡγεμὼν τῆς
÷ Ἰδυμαίας· Οὗτος ἑρμηνεύεται ἐκ
÷ τῆς Συριακῆς βίβλε,
÷ Ἐν μὲν γῇ κατοικῶν τῇ Αὐσίτιδι, ἐπὶ
÷ τῶν ὁρίων τῦ Εὐφράτε·
÷ Προϋπῆρχε δὲ τὸ ὄνομα αὐτῦ Ἰωβάβ·
÷ ἦν δὲ ὁ πατὴρ αὐτῦ Ζαρὲθ, ἐξ ἀ-
÷ νατολῶν ἡλίε.)

ΙΩΒ.

ibid. ſtich. 9. Σεμφὼρ) βεὼρ. ibid. ſtich. 11. Ἀσσὼμ) ἀσὼμ. ibid. ſtich. 13. Γεθθαὶμ) γεθαὶμ. ibid. ſtich. 15. (υἱὸς Σωφὰν) non habet. ibid. τῶν υἱῶν Ἠσαῦ) τῶν ἡσαῦ υἱῶν. ibid. ſtich. 16. in *Rom.* βαλδὰδ ὁ σαυχαίων τύραννος. ibid. ſtich. 18. 19. 20. uncis incluſi non habentur in *Edit. Rom.*

ΠΑΡΟΙΜΙΑΙ.

ΚΕΦΑΛΑΙΟΝ Α'.



Παροιμίαι Σολομῶντος υἱοῦ Δαυὶδ,
Ὃς ἐβασίλευσεν ἐν Ἰσραὴλ,
2. Γνῶναι σοφίαν καὶ παιδείαν,
Νοῆσαί τε λόγους φρονήσεως,
3. Δέξασθαί τε τροφὰς λόγων,
Νοῆσαί τε δικαιοσύνην ἀληθῆ,
Καὶ κρῖμα κατευθύνειν·
4. Ἵνα δῷ ἀκάκοις πανουργίαν,
Παιδὶ δὲ νέῳ αἴσθησίν τε καὶ ἔννοιαν.
5. Τῶν τε γὰρ ἀκούσας σοφὸς σοφώτερος ἔσται,
Ὁ δὲ νοήμων κυβέρνησιν κλήσεται·
6. Νοήσει τε παραβολὴν καὶ σκολεινὸν λόγον,
Ῥήσεις τε σοφῶν καὶ αἰνίγματα.
7. Ἀρχὴ σοφίας φόβος Κυρίου,
(Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν·
ἀρετὴ Εὐσέβεια δὲ εἰς Θεὸν ἀρχὴ αἰσθήσεως)·
Σοφίαν δὲ καὶ παιδείαν ἀσεβεῖς ἐξουθενήσουσιν.
νόμους 8. Ἄκουε υἱὲ παιδείαν πατρός σου,
Καὶ μὴ ἀπώσῃ θεσμὰς μητρός σου·
9. Στέφανον γὰρ χαρίτων ἔξῃ σῇ κορυφῇ,
Καὶ κλοιὸν χρύσεον περὶ σῷ τραχήλῳ.
10. Υἱὲ μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς,
Μηδὲ βουληθῇς, 11. ἐὰν παρακαλέσωσί σε, λέγοντες·
Ἐλθὲ μεθ' ἡμῶν, κοινώνησον αἵματος·
Κρύψωμεν δὲ εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως,
12. Καταπίωμεν δὲ αὐτὸν ὥσπερ ᾅδης ζῶντα,
Καὶ ἄρωμεν αὐτοῦ τὴν μνήμην ἐκ γῆς,
13. Τὴν κλῆσιν αὐτοῦ τὴν πολυτελῆ καταλαλαβώμεθα, κλίσιν
Πλήσωμεν δὲ οἴκους ἡμετέρους σκύλων.
14. Τὸν δὲ σὸν κλῆρον βάλε ἐν ἡμῖν·
Κοινὸν δὲ βαλλάντιον κλησώμεθα πάντες,
Καὶ μαρσίππιον ἓν γενηθήτω ἡμῖν.
15. Μὴ πορευθῇς ἐν ὁδῷ μετ' αὐτῶν· ὁδοὺς
Ἔκκλινον δὲ τὸν σὸν πόδα ἐκ τῶν τρίβων αὐτῶν.
16. Οἱ γὰρ πόδες αὐτῶν εἰς κακίαν τρέχουσι,
Καὶ ταχινοί εἰσι τοῦ ἐκχέαι αἷμα·
17. Οὐ γὰρ ἀδίκως ἐκλίνεται δίκτυα πτερωτοῖς.
18. Αὐτοὶ γὰρ οἱ φόνου μετέχοντες, θησαυρίζουσιν ἑαυτοῖς κακά·

(Ἡ δὲ

ΠΑΡΟΙΜΙΑΙ. Titulus in *Rom.* Παροιμίαι Σαλωμῶντος. CAP. I. v. 1. Σολομῶντος) σαλωμῶντος. v. 5. Τῶν τε) τῶν δὲ. v. 7. ſtich. 3. ἀρετὴ) ἀρχὴ. v. 8. νόμους) παιδείαν. v. 9. ἔξῃ) δέξῃ. v. 13. κλίσιν) κλῆσιν. v. 14. ſtich. 2. βαλλάντιον) βαλάντιον. v. 15. ὁδοὺς) ἐν ὁδῷ. ibid. ſtich. 2. τὸν σὸν πόδα) τὸν πόδα σου. v. 16. integer deſideratur in *Edit. Rom.*

(Ἡ δὲ καταϛροφὴ ἀνδρῶν παρανόμων κακή).

19. Αὗται αἱ ὁδοὶ εἰσι πάντων τῶν συντελούντων τὰ ἄνομα·
Τῇ γὰρ ἀσεβείᾳ τὴν ἑαυτῶν ψυχὴν ἀφαιρεῖνται.

20. Σοφία ἐν ἐξόδοις ὑμνεῖται,
Ἐν δὲ πλατείαις παῤῥησίαν ἄγει·

21. Ἐπ' ἄκρων (δὲ) τειχέων κηρύσσεται,
(Ἐπὶ δὲ πύλαις δυνατῶν παρεδρεύει,)
Ἐπὶ δὲ πύλαις πόλεως θαῤῥοῦσα λέγει·

22. Ὅσον ἂν χρόνον ἄκακοι ἔχωνται τῆς δικαιοσύνης, ἐκ αἰσχυνθήσονται·
Οἱ δὲ ἄφρονες τῆς ὕβρεως ὄντες ἐπιθυμηταὶ, ἀσεβεῖς γενόμενοι ἐμίσησαν αἴσθησιν,

23. Καὶ ὑπεύθυνοι ἐγένοντο ἐλέγχοις.
Ἰδὲ προήσομαι ὑμῖν ἐμῆς πνοῆς ῥῆσιν·
Διδάξω δὲ ὑμᾶς τὸν ἐμὸν λόγον.

24. Ἐπειδὴ ἐκάλεν, καὶ ἐκ ὑπηκούετε,
Καὶ ἐξέτεινον λόγους, καὶ ἐ προσείχετε,

25. Ἀλλὰ ἀκύρους ἐποιεῖτε ἐμὰς βουλὰς,
Τοῖς δὲ ἐμοῖς ἐλέγχοις ἐ προσείχετε·

26. Τοιγαροῦν καγὼ τῇ ὑμετέρᾳ ἀπωλείᾳ ἐπιγελάσομαι,
Καταχαρήσομαι δὲ ἡνίκα ἂν ἔρχηται
ὑμῖν ὑμῶν ὄλεθρος,

27. Καὶ ὡς ἂν ἀφίκηται ὑμῖν ἄφνω θόρυβος,
Ἡ δὲ καταϛροφὴ ὁμοίως καταιγὶδι παρῇ,
Ἢ ὅταν ἔρχηται ὑμῖν θλῖψις καὶ πολιορκία.

(Ἢ ὅταν ἔρχηται ὑμῖν ὄλεθρος)

28. Ἔσαι γὰρ ὅταν ἐπικαλέσησθέ με, ἐγὼ δὲ ἐκ εἰσακούσομαι ὑμῶν·
Ζητήσουσί με κακοὶ, καὶ ἐχ εὑρήσουσιν.

29. Ἐμίσησαν γὰρ σοφίαν, τὸν δὲ * φόβον παιδείαν
Κυρίου ἐ προείλαντο· * λόγον

30. Οὐδὲ ἠθέλησαν ἐμαῖς προσέχειν βουλαῖς,
Ἐμυκτήριζον δὲ ἐμὲς ἐλέγχους.

31. Τοιγαροῦν ἔδονται τῆς ἑαυτῶν ὁδοῦ τοὺς καρπούς,
Καὶ τῆς ἑαυτῶν ἀσεβείας πλησθήσονται·

32. Ἀνθ' ὧν γὰρ ἠδίκουν νηπίους, φονευθήσονται,
Καὶ ἐξετασμὸς ἀσεβεῖς ὀλεῖ.

33. Ὁ δὲ ἐμοῦ ἀκούων κατασκηνώσει ἐν ἐλπίδι,
Καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ.

ΚΕΦ. Β'. II.

ΥΙΕ ἐὰν δεξάμενος ῥῆσιν ἐμῆς ἐντολῆς κρύψῃς παρὰ σεαυτῷ,
2. Ὑπακούσεταί σοφίας τὸ οὖς σου,
Καὶ παραβαλεῖς καρδίαν σου εἰς σύνεσιν·
Παραβαλεῖς δὲ αὐτὴν ἐπὶ νουθέτησιν τῷ υἱῷ σου.

3. Ἐὰν γὰρ τὴν σοφίαν ἐπικαλέσῃ,
Καὶ τῇ συνέσει δῷς φωνήν σου,
÷ Τὴν δὲ αἴσθησιν ζητήσῃς μεγάλῃ τῇ φωνῇ"·

v. 22. ἔχωνται) ἔχονται. v. 24. ὑπηκούετε) ὑπηκούσατε. v. 25. ſtich. 2. ἐ προσείχετε) ἠπειθήσατε. v. 26. ſtich. 2. ἡνίκα ἂν ἔρχηται) ἡνίκα ἔρχηται. v. 27. ſtich. 3. Ἢ ὅταν) καὶ ὅταν. v. 29. παιδείαν) σοφίαν. ibid. Κυρίου) τοῦ κυρίου. CAP. II. v. 3. ſtich. 3. abeſt ab *Edit. Rom.*

4. Καὶ ἐὰν ζητήσῃς αὐτὴν ὡς ἀργύριον,
Καὶ ὡς θησαυρὸς ἐξερευνήσῃς αὐτήν·
5. Τότε συνήσεις φόβον Κυρίε,
Καὶ ἐπίγνωσιν Θεοῦ εὑρήσεις·
6. (Ὅτι Κύριος δίδωσι σοφίαν,
Καὶ ἀπὸ προσώπε αὐτοῦ γνῶσις καὶ σύνεσις·
7. Καὶ θησαυρίζει τοῖς κατορθοῦσι σωτηρίαν,
Ὑπερασπιεῖ τὴν πορείαν αὐτῶν, 8. τοῦ φυλάξαι ὁδὸν δικαιωμάτων,
Καὶ ὁδὸν εὐλαβεμένων αὐτὸν διαφυλάξει.)
9. Τότε συνήσεις δικαιοσύνην καὶ κρίμα,
Καὶ καλορθώσεις πάντας ἀξονας ἀγαθές.
10. Ἐὰν γὰρ ἔλθῃ ἡ σοφία εἰς σὴν διάνοιαν,
Ἡ δὲ αἴσθησις τῇ σῇ ψυχῇ καλὴ εἶναι δόξῃ,
11. Βελὴ καλὴ φυλάξει σε,
Ἔννοια δὲ ὁσία τηρήσει σε·
12. Ἵνα ῥύσηταί σε ἀπὸ ὁδοῦ κακῆς,
Καὶ ἀπὸ ἀνδρὸς λαλοῦντος μηδὲν πιστόν.
13. Ὦ οἱ ἐγκαταλείποντες ὁδὸς εὐθείας,
Τοῦ πορεύεσθαι ἐν ὁδοῖς σκότες,
14. Οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς,
Καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῇ,
15. Ὧν αἱ τρίβοι σκολιαὶ,
Καὶ καμπύλαι αἱ τροχιαὶ αὐτῶν,
16. Τοῦ μακράν σε ποιῆσαι ἀπὸ ὁδοῦ εὐθείας,
Καὶ ἀλλότριον τῆς δικαίας γνώμης.
Υἱὲ μή σε καταλάβῃ κακὴ βελὴ,
17. Ἡ ἀπολιποῦσα διδασκαλίαν νεότητος,
Καὶ διαθήκην θείαν ἐπιλελησμένη.
18. Ἔθετο γὰρ παρὰ τῷ θανάτῳ τὸν οἶκον αὐτῆς,
Καὶ παρὰ τῷ ᾅδῃ μετὰ τῶν γηγενῶν τὰς ἄξονας αὐτῆς· αὐξονας
19. Πάντες οἱ πορευόμενοι ἐν αὐτῇ, οὐκ ἀναστρέψεσιν,
Οὐδὲ μὴ καταλάβωσι τρίβες εὐθείας·
Οὐ γὰρ καταλαμβάνονται ὑπὸ ἐνιαυτῶν ζωῆς.
20. Εἰ γὰρ ἐπορεύοντο τρίβες ἀγαθὰς,
Εὕρασαν ἂν τρίβες δικαιοσύνης λείας. λειας
21. Χρηστοὶ ἔσονται οἰκήτορες γῆς,
Ἄκακοι δὲ ὑπολειφθήσονται ἐν αὐτῇ·
(Ὅτι εὐθεῖς κατασκηνώσουσι γῆν,
Καὶ ὅσιοι ὑπολειφθήσονται ἐν αὐτῇ·)
22. Ὁδοὶ δὲ ἀσεβῶν ἐκ γῆς ὀλοῦνται,
Οἱ δὲ παράνομοι ἐξωθήσονται ἀπ' αὐτῆς.

ΚΕΦ. Γ'. III.

ΥΙΕ ἐμῶν νομίμων μὴ ἐπιλανθάνε,
Τὰ δὲ ῥήματά με τηρείτω σὴ καρδία·
2. Μῆκος γὰρ βίε, καὶ ἔτη ζωῆς, καὶ εἰρήνην προσθήσουσί σοι.
3. Ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλειπέτωσάν σε· πίστις
Ἄφαψαι δὲ αὐτὰς ἐπὶ σῷ τραχήλῳ, καὶ εὑρήσεις χάριν·
Γράψον δὲ αὐτὰς ἐπὶ πλακὸς τῆς καρδίας σε· τὸ πλάτος
4. Καὶ προνοοῦ καλὰ ἐνώπιον Κυρίε καὶ ἀνθρώπων.
5. Ἴθι

v. 8. φυλάξαι ὁδὸν) φυλάξαι ὁδὸς. v. 9. ſtich. 2. ἄυξονας) ἄξονας. v. 12. ῥύσηται) addit σε. v. 18. ſtich. 2. αὔξονας) ἄξονας. v. 19 ſtich. 3. καταλαμβάνωνται) καταλαμβάνονται. v. 20. ſtich. 2. λειας) λείας. v. 21. ſtich 1. 2. non habet *Edit. Rom.* v. 22. Ὁδοὶ δὲ) δὲ abeſt. CAP. III. v. 3. πίσις) πίστεις. ibid. ſtich. 3. integer deſideratur in *Edit. Rom.*

5. Ἴδθι πεποιθὼς ἐν ὅλῃ καρδίᾳ ἐπὶ Θεῷ,
Ἐπὶ δὲ σῇ σοφίᾳ μὴ ἐπαίρεϑ·
αὐτὴν 6. Ἐν πάσαις ὁδοῖς σϑ γνώριζε αὐτὸν,
Ἵνα ὀρθοτομῇ τὰς ὁδές σϑ.
7. Μὴ ἴδθι φρόνιμος παρὰ σεαυτῷ·
Φοβοῦ δὲ τὸν Θεὸν, καὶ ἔκκλινε ἀπὸ παντὸς κακοῦ·
8. Τότε ἴασις ἔσαι τῷ σώματί σϑ,
Καὶ ἐπιμέλεια τοῖς ὀστέοις σϑ.
9. Τίμα τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων,
Καὶ ἀπάρχϑ αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης·
10. Ἵνα πίμπληται τὰ ταμιεῖά σϑ πλησμονῆς σίτϑ,
Οἶνῳ δὲ αἱ ληνοί σϑ ἐκβλύζωσιν.
11. Υἱὲ μὴ ὀλιγώρει παιδείας Κυρίϑ,
Μηδὲ ἐκλύϑ ὑπ' αὐτοῦ ἐλεγχόμενος·
12. Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει,
Μασιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται.
13. Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν,
Καὶ θνητὸς ὃς ἴδε φρόνησιν.
14. Κρεῖττον γὰρ αὐτὴν ἐμπορεύεϑαι
Ἢ χρυσίϑ καὶ ἀργυρίϑ θησαυρὸς,
15. Τιμιωτέρα δέ ἐσι λίθων πολυτελῶν·
Οὐκ ἀντιτάσσεται αὐτῇ ὃδὲν πονηρόν.
Alia interpretatio Εὔγνωστός ἐσι πᾶσι τοῖς ἐγγίζουσιν αὐτῇ,
Πᾶν δὲ τίμιον ἐκ ἄξιον αὐτῆς ἐσι.
16. Μῆκος γὰρ βίϑ καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς,
Ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα·
Ἐκ τῶ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη,
Νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης Φορεῖ.
17. Αἱ ὁδοὶ αὐτῆς ὁδοὶ καλαὶ,
Καὶ πάντες οἱ τρίβοι αὐτῆς (ἐν) εἰρήνῃ·
18. Ξύλον ζωῆς ἐσι πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς,
Καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτὴν, ὡς ἐπὶ Κύριον, ἀσφαλής.
19. Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν,
Ἡτοίμασε δὲ οὐρανὸς ἐν Φρονήσει·
20. Ἐν αἰσθήσει αὐτῶ ἄβυσσοι ἐῤῥάγησαν,
Νέφη δὲ ἐῤῥύησαν δρόσον, δρόσους
21. Υἱὲ μὴ παραρυῆς,
Τήρησον δὲ ἐμὴν βουλὴν καὶ ἔννοιαν·
22. Ἵνα ζήσῃ ἡ ψυχή σϑ, καὶ χάρις ἢ περὶ σῷ τραχήλῳ·
(Ἔσαι δὲ ἴασις ταῖς σαρξί σϑ,
Καὶ ἐπιμέλεια τοῖς ὀστέοις σϑ·)
23. Ἵνα πορεύῃ πεποιθὼς ἐν εἰρήνῃ πάσας τὰς ὁδές σϑ,
Ὁ δὲ πούς σϑ ὃ μὴ προσκόψῃ.
24. Ἐὰν κάθῃ, ἄφοβος ἔσῃ,
Ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις·
25. Καὶ ὃ μὴ φοβηθήσῃ πλόησιν ἐπελθοῦσαν,
Οὐδὲ ὁρμὰς ἀσεβῶν ἐπερχομένας·
26. Ὁ γὰρ Κύριος ἔσαι ἐπὶ πασῶν ὁδῶν σϑ,
Καὶ ἐρείσει σὸν πόδα, ἵνα μὴ σαλευθῇς.
27. Μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεῆ, ποιεῖ
Ἡνίκα ἂν ἔχῃ ἡ χείρ σϑ εὖ ποιεῖν.

28. Μὴ

v. 5. ὅλῃ καρδίᾳ) ὅλῃ τῇ καρδίᾳ. v. 6. Ἐν πάσαις) ἐν deeſt. v. 10. σίτϑ) σίτῳ. v. 12. παιδεύει) ἐλέγχει. v. 15. ſtich. 2. ἀντιτάσσεται) ἀντιτάξεται. v. 17. ſtich. 2. Καὶ πάντες οἱ τρίβοι) καὶ πᾶσαι αἱ τρίβοι. v. 19. ſtich. 2. ἐν Φρονήσει) ἐν deeſt. v. 22. ſtich. 3. ὀστέοις σϑ) σοῖς ὀστέοις. v. 24. Ἐὰν κάθῃ) ἐὰν γὰρ. v. 25. Καὶ ὃ μὴ) μὴ deeſt. v. 27. ſtich. 2. εὖ ποιεῖ) βοηθεῖν.

28. Μὴ εἴπῃς· ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω, δυνατῷ σε ὄντος εὖ ποιεῖν·
Οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα.
29. Μὴ τέκταινε ἐπὶ σὸν φίλον κακὰ,
Παροικοῦντα καὶ πεποιθότα ἐπὶ σοί·
30. Μὴ φιλεχθρήσῃς πρὸς ἄνθρωπον μάτην,
Μήτι εἰς σὲ ἐργάσηται κακόν.
31. Μὴ κλῆσῃ κακῶν ἀνδρῶν ὁνείδη,
Μηδὲ ζηλώσῃ τὰς ὁδὸς αὐτῶν.
32. Ἀκάθαρτος γὰρ ἔναντι Κυρίε πᾶς παράνομος·
Ἐν δὲ δικαίοις ἡ συνεδριάζει.
Θεῦ 33. Κατάρα Κυρίε ἐν οἴκοις ἀσεβῶν·
Ἐπαύλεις δὲ δικαίων εὐλογοῦνται.
34. Κύριος ὑπερηφάνοις ἀντιτάσσεται·
Ταπεινοῖς δὲ δίδωσι χάριν.
35. Δόξαν σοφοὶ κληρονομήσουσιν·
Οἱ δὲ ἀσεβεῖς ὕψωσαν ἀτιμίαν.

ΚΕΦ. Δ'. IV.

Ἀκούσατε παῖδες παιδείαν πατρὸς,
Καὶ προσέχετε γνῶναι ἔννοιαν.
2. Δῶρον γὰρ ἀγαθὸν δωρεῖται ὑμῖν·
Τὸν ἐμὸν νόμον μὴ ἐγκαταλίπητε.
3. Υἱὸς γὰρ ἐγενόμην κἀγὼ πατρὶ ὑπήκοος,
Καὶ ἀγαπώμενος ἐν προσώπῳ μητρός·
ἔλεγον καὶ ἐδίδασκόν με 4. Οἳ ἐδίδασκόν με, καὶ ἔλεγον·
Ἐρειδέτω ὁ ἡμέτερος λόγος εἰς σὴν καρδίαν·
Φύλασσε ἐντολάς μου, (μὴ ἐπιλάθῃ,
Μηδὲ παρίδῃς ῥῆσιν ἐμῶν στόματος).
5. ✕ Κτῆσαι σοφίαν, κλῆσαι σύνεσιν· μὴ ἐπιλάθῃ, ✕
Μηδὲ ἐκκλίνῃς ἀπὸ ῥημάτων στόματός μου". ✕ ✕
6. Μὴ ἐγκαταλείπῃς αὐτὴν, καὶ ἀνθέξεταί σε·
Ἐράθητι αὐτῆς, καὶ τηρήσει σε.
7. ※ Ἀρχὴ σοφίας· κλῆσαι σοφίαν, καὶ ἐν πάσῃ κλήσει σε κλῆσαι σύνεσιν. ※
8. Περιχαράκωσον αὐτὴν, καὶ ὑψώσει σε·
Τίμησον αὐτὴν, ἵνα σε περιλάβῃ·
9. Ἵνα δῷ τῇ σῇ κεφαλῇ στέφανον χαρίτων,
Στεφάνῳ δὲ τρυφῆς ὑπερασπίσῃ σε.
10. Ἄκουε υἱὲ καὶ δέξαι ἐμοὺς λόγους,
Καὶ πληθυνθήσεταί σοι ἔτη ζωῆς σου,
Ἵνα σοι γένωνται πολλαὶ ὁδοὶ βίου.
11. Ὁδοὺς γὰρ σοφίας διδάσκω σε,
Ἐμβιβάζω δέ σε τροχιαῖς ὀρθαῖς·
12. Ἐὰν γὰρ πορεύῃ, οὐ συγκλεισθήσεταί σου τὰ διαβήματα·
Ἐὰν δὲ τρέχῃς, οὐ κοπιάσεις.
13. Ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφῇς·
Φύλαξον αὐτὴν σεαυτῷ εἰς ζωήν σου.
14. Ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς,
Μηδὲ ζηλώσῃς ὁδοὺς παρανόμων·
15. Ἐν ᾧ ἂν τόπῳ στρατοπεδεύσωσι, μὴ ἐπέλθῃς ἐκεῖ·
Ἔκκλινον (δὲ) ἀπ' αὐτῶν, καὶ παρέλθαζον.
16. Οὐ γὰρ μὴ ὑπνώσωσιν, ἐὰν μὴ κακοποιήσωσιν·

Ἀφή-

v. 28. καὶ αὔριον) αὔριον. v. 29. τέκταινε) τεκτήνῃ. v. 30. stich. 2. εἰς σὲ) σὲ. v. 31. stich. 2. ζηλώσῃ) ζηλώσῃς. CAP. IV. v. 5. integer desideratur in *Edit. Rom.* v. 6. Μὴ) μηδὲ. v. 10. stich. 2. σοι) deest. v. 13. stich. 2. Φύλαξον) κἀκὰ φύλαξον.

Ἀφήρηται ὁ ὕπνος (ἀπ') αὐτῶν,
καὶ ὲ κοιμῶνται.
17. Οἱ δε γὰρ σιτῶνται σῖτα ἀσεβείας·
Οἶνω δὲ παρανόμω μεθύσκονται.
18. Αἱ δὲ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ
λάμπεσι·
Προπορεύονται καὶ φωτίζεσιν, ἕως
κατορθώσῃ ἡ ἡμέρα.
19. Αἱ δὲ ὁδοὶ τῶν ἀσεβῶν σκοτειναί·
Οὐκ οἴδασι πῶς προσκόπτεσιν.
20. Υἱὲ ἐμῇ ῥήσει πρόσεχε,
Τοῖς δὲ ἐμοῖς λόγοις παράβαλλε σὸν
ὦς·
21. Ὅπως μὴ ἐκλίπωσί σε αἱ πηγαί σε,
Φύλαττε αὐτὰς ἐν σῇ καρδίᾳ·
22. Ζωὴ γάρ ἐσι τοῖς εὑρίσκεσιν αὐτὰς,
Καὶ πάσῃ σαρκὶ αὐτῦ ἴασις.
23. Πάσῃ φυλακῇ τήρει σὴν καρδίαν·
Ἐκ γὰρ τέτων ἔξοδοι ζωῆς.
24. Περίελε σεαυτῦ σκολιὸν ςόμα,
Καὶ ἄδικα χείλη ἀπὸ σῦ μακρὰν
ἄπωσον ποίησον.
25. Οἱ ὀφθαλμοί σε ὀρθὰ βλεπέτω-
σαν,
Τὰ δὲ βλέφαρά σε νευέτω δίκαια.
26. Ὀρθὰς τροχιὰς ποίει σοῖς ποσὶ,
Καὶ τὰς ὁδές σε κατεύθυνε·
27. Μὴ ἐκκλίνῃς εἰς τὰ δεξιὰ, μηδὲ εἰς
τὰ ἀριςερά·
Ἀπόςρεψον δὲ σὸν πόδα ἀπὸ ὁδῦ
κακῆς.
Ὁδὲς γὰρ τὰς ἐκ δεξιῶν οἶδεν ὁ Θεὸς,
Διεςραμμέναι δέ εἰσιν αἱ ἐξ ἀριςερῶν·
Αὐτὸς δὲ ὀρθὰς ποιήσει τὰς τρο-
χιάς σε,
Τὰς δὲ πορείας σε ἐν εἰρήνῃ προάξει. προάξαι

ΚΕΦ. Ε'. V.

ΥΙΕ ἐμῇ σοφίᾳ πρόσεχε,
Ἐμοῖς δὲ λόγοις παράβαλλε σὸν
ὦς,
2. Ἵνα φυλάξῃς ἔννοιαν ἀγαθήν·
Αἴσθησιν δὲ ἐμῶν χειλέων ἐντέλλομαί
σοι.
3. Μὴ πρόσεχε φαύλῃ γυναικί·
Μέλι γὰρ ἀποσάζει ἀπὸ χειλέων
γυναικὸς πόρνης,
Ἡ πρὸς χάριν λιπαίνει σὸν φάρυγγα· καιρὸν
4. Ὕςερον δὲ πικρότερον χολῆς εὑρήσεις,
Καὶ ἠκονημένον μᾶλλον μαχαίρας δι-
ςόμε.
5. Τῆς γὰρ ἀφροσύνης οἱ πόδες κατά-
γεσι τὲς χρωμένες αὐτῇ μετὰ
θανάτε εἰς τὸν ᾅδην,
Τὰ δὲ ἴχνη αὐτῆς ἐκ ἐρείδεται·
6. Ὁδὲς γὰρ ζωῆς ἐκ ἐπέρχεται,
Σφαλεραὶ δὲ αἱ τροχιαὶ αὐτῆς, καὶ
ἐκ εὔγνωςοι.
7. Νῦν οὖν υἱὲ ἄκεέ με,
Καὶ μὴ ἀκύρες ποιήσῃς ἐμὲς λόγες·
8. Μακρὰν ποίησον ἀπ' αὐτῆς σὴν ὁδὸν,
Καὶ μὴ ἐγγίσῃς πρὸς θύρας οἴκων αὐτῆς· προθύ-
9. Ἵνα μὴ πρόῃ ἄλλοις ζωήν σε, ραις
Καὶ σὸν βίον ἀνελεήμοσιν·
10. Ἵνα μὴ πληθῶσιν ἀλλότριοι σῆς
ἰσχύος,

V. 16. ſtich. 2. ἀπ' αὐτῶν, ὲ) αὐτῶν καὶ οὐ. V. 21. ſtich. 2. ἐν σῇ καρδίᾳ) ἐν καρδίᾳ. V. 22. ſtich. 2. αὐτοῦ) deeſt. V. 24. ſtich. 2. ἀπὸ σῦ μακρὰν ἄπωσον) μακρὰν ἀπὸ σῦ ἄπωσαι. V. 27. ſtich. 6. προάξαι) προάξει. CAP. V. v. 2. ſtich. 2. Αἴσθησιν) αἴσθησις. ibid. ἐντέλλομαί σοι) ἐντέλλεται σοι. v. 4. Ὕςερον δὲ) ὕςερον μέντοι. v. 7. ſtich. 2. ποιήσῃς) ποιήσεις. v. 8. ſtich. 2. προθύραις) πρὸς θύραις. V. 10. Ἵνα) addit μὴ.

Οἱ δὲ σοὶ πόνοι εἰς οἴκους ἀλλοτρίων εἰσέλθωσι,

11. Καὶ (μὴ) μεταμεληθῇς ἐπ' ἐσχάτων σε,
Ἡνίκα ἂν κατατριβῶσι σάρκες σώματός σε,

12. Καὶ ἐρεῖς· πῶς ἐμίσησα παιδείαν,
Καὶ ἐλέγχους ἐξέκλινεν ἡ καρδία με;

13. Οὐκ ἤκουον φωνὴν παιδεύοντός με καὶ διδάσκοντός με,
Οὐδὲ παρέβαλλον τὸ ἓς μου·

14. Παρ' ὀλίγον ἐγενόμην ἐν παντὶ κακῷ (με),
Ἐν μέσῳ ἐκκλησίας καὶ συναγωγῆς.

15. Πίνε ὕδατα ἀπὸ σῶν ἀγγείων,
Καὶ ἀπὸ σῶν φρεάτων πηγῆς·

16. Ὑπερεκχείθω σοι τὰ ὕδατα ἐκ τῆς σῆς πηγῆς,
Εἰς δὲ σὰς πλατείας διαπορευέσθω τὰ σὰ ὕδατα·

17. Ἔσω σοι μόνῳ ὑπάρχοντα,
Καὶ μηδεὶς ἀλλότριος μεταχέτω σοι·

18. Ἡ πηγή σε τῷ ὕδατος ἔσω σοι ἰδία,
Καὶ συνευφραίνε μετὰ γυναικὸς τῆς ἐκ νεότητός σε.

19. Ἔλαφος φιλίας καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι,
Ἡ δὲ ἰδία ἠγειάθω σε, καὶ συτέσω σοι ἐν παντὶ καιρῷ·
ταύτῃ τῇ Ἐν γὰρ τῇ ταύτης φιλίᾳ συμπεριφερόμενος, πολλοστὸς ἔσῃ.

20. Μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν,
ταῖς * ἰδίαις Μηδὲ συνέχε ἀγκάλαις τῆς μὴ * ἰδίας·

21. Ἐνώπιον γὰρ εἰσι τῶν τοῦ Θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρὸς,
Εἰς δὲ πάσας τροχιὰς * αὐτῆς σκοπεύει. σὰς

22. Παρανομίαι ἄνδρα ἀγρεύσουσι· * αὐτὸς
Σειραῖς δὲ τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται.

23. Οὗτος τελευτᾷ μετὰ ἀπαιδεύτων·
Ἐκ δὲ πλήθους τῆς ἑαυτοῦ βιότητος ἐξεριφη,
Καὶ ἀπώλετο διὰ ἀφροσύνην.

ΚΕΦ. ε'. VI.

ΤΙΕ ἐὰν ἐγγυήσῃ σὸν φίλον, ἐγγυῇ
Παραδώσεις σὴν χεῖρα ἐχθρῷ.

2. Παγὶς γὰρ ἰσχυρὰ τὰ ἴδια χείλη ἀνδρὶ,
Καὶ ἁλίσκεται ῥήμασιν ἰδίοις στόματος. χείλεσιν

3. Ποίει υἱὲ ἃ ἐγώ σοι ἐντέλλομαι, καὶ σώζου·
Ἧκεις γὰρ εἰς χεῖρας κακῶν διὰ σὸν φίλον·
Ἴθι μὴ * ἐκκλειόμενος· Ἴθι
Παρόξυνε δὲ καὶ τὸν φίλον σου, ὃν * ἐκλυόμενος
ἐνεγγυήσω.

4. Μὴ δῷς ὕπνον σοῖς ὄμμασι,
Μηδὲ ἐπινυσάξῃς σοῖς βλεφάροις·

5. Ἵνα σώζῃ ὥσπερ δορκὰς ἐκ βρόχων,
Καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος.

6. Ἴθι πρὸς τὸν μύρμηκα ὦ ὀκνηρὲ,
Καὶ ζήλωσον ἰδὼν τὰς ὁδοὺς αὐτοῦ,
Καὶ γενοῦ ἐκεῖνος σοφώτερος·

7. Ἐκείνῳ γὰρ γεωργὶς μὴ ὑπάρχοντος, ἐκείνου
Μηδὲ τὸν ἀναγκάζοντα ἔχων,
Μηδὲ ὑπὸ δεσπότην ὤν,

8. Ἑτοι-

v. 10. ſtich. 2. εἰσέλθωσι) ἔλθωσι. v. 11. (μὴ) deeſt. ibid. μεταμεληθῇς) μεταμεληθήσῃ. v. 14. (μου) abeſt. v. 16. Ὑπερεκχείθω σοι τὰ ὕδατα) μὴ ὑπερεκχ. σοι ὕδατα. v. 19. ſtich. 3. ταύτῃ τῇ) τῇ ταύτης. v. 20. ſtich. 2. ταῖς μὴ ἰδίαις) τῆς μὴ ἰδίας. v. 21. ſtich. 2. Εἰς δὲ σὰς τροχιὰς αὐτὰς) εἰς δὲ πάσας τὰς τροχιὰς αὐτοῦ. v. 23. ſtich. 3. διὰ) δι'. CAP. VI. v. 1. ἐγγυῇ) ἐγγυήσῃ. v. 2. τὰ ἴδια χείλη ἀνδρὶ) ἀνδρὶ τὰ ἴδια χείλη. v. 7. ἐκείνῳ) ἐκείνου.

8. Ἑτοιμάζεται θέρες τὴν τροφὴν,
Πολλὴν τε ἐν τῷ ἀμητῷ ποιεῖται τὴν παράθεσιν.
÷ Ἢ πορεύθητι πρὸς τὴν μέλισσαν,
÷ Καὶ μάθε ὡς ἐργάτις ἐστὶ,
ποιεῖται Τήν τε ἐργασίαν ὡς σεμνὴν ἐμπορεύεται·
÷ Ἧς τὰς πόνας βασιλεῖς καὶ ἰδιῶται
÷ πρὸς ὑγείαν φέρονται,
÷ Ποθεινὴ δὲ ἐστι πᾶσι καὶ ἐπίδοξος·
÷ Καίπερ ἔσα τῇ ῥώμῃ ἀσθενὴς,
÷ Τὴν σοφίαν τιμήσασα προήχθη.
9. Ἕως τίνος ὀκνηρὲ κατάκεισαι;
Πότε δὲ ἐξ ὕπνε ἐγερθήσῃ;
10. Ὀλίγον μὲν ὑπνοῖς, ὀλίγον δὲ κάθησαι, μικρὸν δὲ νυσάζεις,
Ὀλίγον δὲ ἐναγκαλίζῃ χερσὶ σήθη·
11 Εἶτ' ἐμπαραγίνεταί σοι ὥσπερ κακὸς ὁδοιπόρος ἡ πενία·
Καὶ ἡ ἔνδεια ὥσπερ ἀγαθὸς δρομεύς.
Ἐὰν δὲ ἄοκνος ἦς, ἥξει σοι ὥσπερ πηγὴ ὁ ἀμητός σε,
Ἡ δὲ ἔνδεια ὥσπερ κακὸς ἀνὴρ αὐτομολήσει.
12. Ἀνὴρ ἄφρων καὶ παράνομος πορεύεται ὁδὸς ἐκ ἀγαθάς·
13. Ὁ δ' αὐτὸς ἐννεύει ὀφθαλμῷ, σημαίνει δὲ ποδὶ,
Διδάσκει δὲ ἐννεύμασι δακτύλων,
14. Διεστραμμένη δὲ καρδία τεκταίνεται κακά·
Ἐν παντὶ καιρῷ ὁ τοιῶτος ταραχὰς συνίστησι πόλει.
15. Διὰ (δὲ) τῶτο ἐξαπίνης ἔρχεται ἡ ἀπώλεια αὐτῷ,
Διακοπὴ καὶ συντριβὴ ἀνίατος.
16. Ὅτι χαίρει πᾶσιν οἷς μισεῖ ὁ Κύριος,
Συντρίβεται δὲ διὰ ἀκαθαρσίαν ψυχῆς·
17. Ὀφθαλμὸς ὑβριστὴς, γλῶσσα ἄδικος, ὑβριστὴ
Χεῖρες ἐκχέσσαι αἷμα δίκαιον,
18. (Καὶ) καρδία τεκταινομένη λογισμὲς κακὲς, καὶ πόδες ἐπισπεύδοντες κακοποιεῖν.
19. Ἐκκαίει ψευδῆ μάρτυς ἄδικος,
Καὶ ἐπιπέμπει κρίσεις ἀναμέσον ἀδελφῶν.
20. Φύλασσε υἱὲ νόμες πατρός σε,
Καὶ μὴ ἀπώσῃ θεσμὲς μητρός σε·
21. Ἄφαψαι δὲ αὐτὲς ἐπὶ σῇ ψυχῇ διαπαντὸς,
Καὶ ἐγκλοίωσαι περὶ σῷ τραχήλῳ.
22. Ἡνίκα ἂν περιπατῇς, ἐπάγε αὐτὴν, καὶ μετὰ σὲ ἔξω·
Ὡς δ' ἂν καθεύδῃς, φυλασσέτω σε,
Ἵνα ἐγειρομένῳ συλλαλῇ σοι. συλλαλήσω
23. Ὅτι λύχνος ἐντολὴ νόμε καὶ φῶς,
Καὶ ὁδὸς ζωῆς ἔλεγχος καὶ παιδεία·
24. Τῦ διαφυλάσσειν σε ἀπὸ γυναικὸς ὑπάνδρε,
(Καὶ) ἀπὸ διαβολῆς γλώσσης ἀλλοτρίας.
25. Μή σε νικήσῃ κάλλες ἐπιθυμία,
Μηδὲ ἀγρευθῇς σοῖς ὀφθαλμοῖς,
Μηδὲ συναρπασθῇς ἀπὸ τῶν αὐτῆς βλεφάρων· συναρπάσῃς
26. Τιμὴ γὰρ πόρνης ὅση καὶ ἑνὸς ἄρτε·
Γυνὴ δὲ ἀνδρῶν τιμίας ψυχὰς ἀγρεύει.

V. 8. ſtich. 6. ὑγείαν φέρονται) ὑγίειαν προσφέρονται. V. 11. ſtich. 3. ἥξει σοι) σοι deeſt. ibid. ſtich. 4. ἀνὴρ αὐτομολήσει) δρομεὺς ἀπαύτομολήσει. V. 14. δὲ) abeſt. V. 15. (δὲ) abeſt. V. 16. ὁ Κύριος) ὁ Θεὸς. ibid. ſtich. 2. δὲ διὰ) δὲ δι'. V. 17. ſtich. 2. δίκαιον) δικαίου. V. 20. Φύλασσε υἱὲ) transpoſita. V. 22. ſtich. 3. συλλαλήσω) συλλαλῇ. V. 23. ſtich. 2. Καὶ ὁδὸς ζωῆς ἔλ.) ὁδὸς ζωῆς καὶ ἔλεγχος. V. 25. ſtich. 3. συναρπάσῃς) συναρπασθῇς.

27. Ἀποδέσει τις πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια ἐ κατακαύσει;
28. Ἢ περιπατήσει τις ἐπ' ἀνθράκων πυρὸς,
Τὰς δὲ πόδας ἐ κατακαύσει;
29. Οὕτως ὁ εἰσελθὼν πρὸς γυναῖκα ὕπανδρον
Οὐκ ἀθωωθήσεται, ἐδὲ πᾶς ὁ ἁπλόμενος αὐτῆς.
30. Οὐ θαυμαστὸν ἐάν τις ἁλῷ κλέπλων·
Κλέπλει γὰρ ἵνα ἐμπλήσῃ ψυχὴν πεινῶσαν πεινῶν·
31. Ἐὰν δὲ ἁλῷ, ἀποτίσει ἑπλαπλάσια,
Καὶ πάντα τὰ ὑπάρχοντα αὐτῷ δὲς ῥύσεται ἑαυτόν.
32. Ὁ δὲ μοιχὸς δι' ἔνδειαν φρενῶν
Ἀπώλειαν τῇ ψυχῇ αὐτῷ περιποιεῖται,
33. Ὀδύνας τε καὶ ἀτιμίας ὑποφέρει·
Τὸ δὲ ὄνειδος αὐτῷ ἐκ ἐξαλειφθήσεται εἰς τὸν αἰῶνα.
34. Μεξὸς γὰρ ζήλε θυμὸς ἀνδρὸς αὐτῆς·
Οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως·
35. Οὐκ ἀνταλλάξεται ἐδενὸς λύτρε τὴν ἔχθραν,
Οὐδὲ μὴ διὰ πολλῶν δώρων.

ΚΕΦ. Ζ'. VII.

ΥΙΕ φύλαξε ἐμὲς λόγες,
Τὰς δὲ ἐμὰς ἐντολὰς κρύψον παρὰ σεαυτῷ·
Υἱὲ τίμα τὸν Κύριον, καὶ ἰχύσεις·
Πλὴν δὲ αὐτῷ μὴ φοβῷ ἄλλον.
2. Φύλαξον ἐμὰς ἐντολὰς, καὶ βιώσεις,
Τὲς δὲ ἐμὲς λόγες ὥσπερ κόρας ὀμμάτων·
3. Περίθε αὐτὰς σοῖς δακτύλοις, αὐτοῖς
Ἐπίγραψον δὲ ἐπὶ πλακὸς τῆς καρδίας σε. τὸ πλάτος
4. Εἰπὸν τὴν σοφίαν σὴν ἀδελφὴν εἶναι,
Τὴν δὲ φρόνησιν γνώριμον περιποίησαι σεαυτῷ·
5. Ἵνα σε τηρήσῃ ἀπὸ γυναικὸς ἀλλοτρίας καὶ πονηρᾶς,
Ἐάν σε λόγοις τοῖς πρὸς χάριν ἐμβάληται.
6. Ἀπὸ γὰρ θυρίδος ἐκ τῆ οἴκε αὐτῆς εἰς τὰς πλατείας παρακύπλεσα,
7. Ὃν ἂν ἴδῃ τῶν ἀφρόνων τέκνων νεανίαν ἐνδεῆ φρενῶν,
8. Παραπορευόμενον ἐν ἀγορᾷ παρὰ γωνίαν ἐν διόδοις οἴκων αὐτῆς,
Καὶ ἁλῶντα 9. ἐν σκότει ἑσπερινῷ, λαλοῦντα
Ἡνίκα ἂν ἡσυχία νυκλερινὴ ᾖ καὶ γνόφος·
10. Ἡ δὲ γυνὴ συναντᾷ αὐτῷ, εἶδος ἔχεσα πορνικὸν,
Ἡ ποιεῖ νέων ἐξίπλαθαι καρδίας·
11. Ἀνεπλερωμένη δὲ ἐξι καὶ ἄσωτος,
Ἐν οἴκῳ δὲ ἐχ ἡσυχάζεσιν οἱ πόδες αὐτῆς·
12. Χρόνον γάρ τινα ἔξω ῥέμβεται,
Χρόνον δὲ ἐν πλατείαις παρὰ πᾶσαν γωνίαν ἐνεδρεύει.
13. Εἶτα ἐπιλαβομένη ἐφίλησεν αὐτὸν,
Ἀναιδεῖ δὲ προσώπῳ προσεῖπεν αὐτῷ·
14. Θυσία εἰρηνική μοι ἐξὶ,

Σήμε-

v. 27. Ἀποδέσει) ἀποδήσει. v. 30. τις ἁλῷ) transposita. ibid. stich. 2. ψυχὴν πεινῶσαν) τὴν ψυχὴν πεινῶν. v. 35. stich. 2. διὰ πολλῶν) διαλυθῇ πολλῶν. CAP. VII. v. 3. Περίθε αὐτοῖς) περίθε δὲ αὐτὰς. v. 5. stich. 2. ἐμβάληται) ἐμβάλληται. v. 8. stich. 3. ᾖ καὶ γνόφος.) καὶ γνοφώδης.

Σήμερον ἀποδίδωμι τὰς εὐχάς μου·
15. Ἕνεκα τούτου ἐξῆλθον εἰς συνάντησίν σου,
Ποθοῦσα τὸ σὸν πρόσωπον, εὗρηκά σε.
16. Κειρίαις τέτακα τὴν κλίνην μου,
Ἀμφιτάποις δὲ ἔστρωκα τοῖς ἀπ' Αἰγύπτου·
17. Διέῤῥαγκα τὴν κοίτην μου κρόκῳ,
Τὸν δὲ οἶκόν μου κινναμώμῳ·
18. Ἐλθὲ καὶ ἀπολαύσωμεν φιλίας ἕως ὄρθρου,
Δεῦρο καὶ ἐγκυλισθῶμεν ἔρωτι·
19. Οὐ γὰρ πάρεστιν ὁ ἀνήρ μου ἐν οἴκῳ,
Πεπόρευται (δὲ) ὁδὸν μακράν·
20. Ἔνδεσμον ἀργυρίου λαβὼν ἐν χειρὶ αὐτοῦ,
Δι' ἡμερῶν πολλῶν ἐπανήξει εἰς τὸν οἶκον αὐτοῦ.
21. Ἀπεπλάνησε δὲ αὐτὸν πολλῇ ὁμιλίᾳ, βρόχοις τε τοῖς ἀπὸ χειλέων ἐξώκειλεν αὐτόν·
κεφφωθεὶς 22. Ὁ δὲ ἐπηκολούθησεν αὐτῇ κεπφωθεὶς,
Ὡσπερ δὲ βοῦς ἐπὶ σφαγὴν ἄγεται,
Καὶ ὥσπερ κύων ἐπὶ δεσμούς,
23. Ἢ ὡς ἔλαφος τοξεύματι πεπληγὼς εἰς τὸ ἧπαρ·
Σπεύδει δὲ ὥσπερ ὄρνεον εἰς παγίδα,
Οὐκ εἰδὼς ὅτι περὶ ψυχῆς τρέχει.
24. Νῦν οὖν υἱὲ ἄκουέ μου,
ῥῆσιν Καὶ πρόσεχε ῥήμασι στόματός μου.
25. Μὴ ἐκκλινάτω εἰς τὰς ὁδὸς αὐτῆς ἡ καρδία σου·
Καὶ μὴ πλανηθῇς ἐν τραπέζαις αὐτῆς.
26. Πολλοὺς γὰρ τρώσασα καταβέβληκε,
Καὶ ἀναρίθμητοί εἰσιν οὓς πεφόνευκεν·
27. Ὁδοὶ ᾅδου ὁ οἶκος αὐτῆς,
Καταάγουσαι εἰς ταμιεῖα τοῦ θανάτου.

ΚΕΦ. Η'. VIII.

Οὐ τὴν σοφίαν κηρύξεις, ἵνα φρόνησίς σοι ὑπακούσῃ·
2. Ἐπὶ γὰρ τῶν ὑψηλῶν ἄκρων ἐστὶν,
Ἀναμέσον δὲ τῶν τρίβων ἔστηκε·
3. Παρὰ γὰρ πύλαις δυναστῶν παρεδρεύει,
Ἐν δὲ εἰσόδοις ὑμνεῖται.
4. Ὑμᾶς ὦ ἄνθρωποι παρακαλῶ,
Καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων.
5. Νοήσατε ἄκακοι πανουργίαν,
Οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν.
6. Εἰσακούσατέ μου· σεμνὰ γὰρ ἐρῶ,
Καὶ ἀνοίσω ἀπὸ χειλέων ὀρθά. ἀνοίγω
7. Ὅτι ἀλήθειαν μελετήσει ὁ φάρυγξ μου,
Ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χεῖλη ψευδῆ·
8. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα κρίματα τοῦ στόματός μου, στραγγαλώδες
Οὐδὲν ἐν αὐτοῖς σκολιὸν οὐδὲ στραγγαλώδες.
9. Πάντα ἐνώπια τοῖς συνιοῦσι,
Καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν.
10. Λάβετε παιδείαν καὶ μὴ ἀργύριον,
Καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον·

v. 15. σε) σοι. v. 17. κρόκῳ) κροκίνῳ. v. 22. κεφφωθεὶς) κεπφωθεὶς. v. 24. ſtich. 2. ῥῆσιν) ῥήμασι. v. 25. ſtich. 2. integer ab *Edit. Rom.* abeſt. v. 27. ſt. 2. εἰς ταμιεῖα) εἰς τὰ ταμιεῖα. CAP. VIII. v. 6. ſtich. 2. ἀνοίγω) ἀνοίσω. v. 8. κρίματα) ῥήματα. ibid. ſtich. 2. ἐν αὐτοῖς) ἑαυτοῖς. ibid. στραγγαλῶδες) στραγγαλιῶδες.

(Ἀνταναιρεῖσθε αἴσθησιν χρυσίε καὶ ἀργυρίε)

11. Κρείσσων γὰρ σοφία λίθων πολυτελῶν,
Πᾶν δὲ τίμιον ἐκ ἄξιον αὐτῆς ἐστιν.

12. Ἐγὼ ἡ σοφία κατεσκήνωσα βελὴν,
Καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην.

13. Φόβος Κυρίε μισεῖ ἀδικίαν,
Ὕβριν τε καὶ ὑπερηφανίαν καὶ ὁδὸς πονηρῶν·
Μεμίσηκα δὲ ἐγὼ διεστραμμένας ὁδὸς κακῶν.

14. Ἐμὴ βελὴ καὶ ἀσφάλεια,
Ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς·

15. Δι' ἐμοῦ βασιλεῖς βασιλεύσι,
Καὶ οἱ δυνάσται γράφουσι δικαιοσύνην·

16. Δι' ἐμοῦ μεγιστᾶνες μεγαλύνονται,
Καὶ τύραννοι δι' ἐμοῦ κρατοῦσι γῆς.

17. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ,
χάριν Οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσί με.

18. Πλοῦτος καὶ δόξα ἐμοὶ ὑπάρχει,
πολλῶν Καὶ κλῆσις παλαιῶν καὶ δικαιοσύνη.

19. Βέλτιον ἐμὲ καρπίζεσθαι ὑπὲρ χρυσίον καὶ λίθον τίμιον (πολύν).
κρεῖσσον Τὰ δὲ ἐμὰ γεννήματα κρείσσω ἀργυρίε ἐκλεκτοῦ.

20. Ἐν ὁδοῖς δικαιοσύνης περιπατῶ,
δικαιοσύ- Καὶ ἀναμέσον τριβῶν δικαιώματος ἀναστρέφομαι·
νης

21. Ἵνα μερίσω τοῖς ἐμὲ ἀγαπῶσιν ὕπαρξιν, καὶ τοὺς θησαυροὺς αὐτῶν ἐμπλήσω ἀγαθῶν.

Ἐὰν ἀναγγείλω ὑμῖν τὰ καθ' ἡμέραν γινόμενα, μνημονεύσω τὰ ἐξ αἰῶνος ἀριθμῆσαι.

22. Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ·

23. Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με·
Ἐν ἀρχῇ, πρὸ τοῦ τὴν γῆν ποιῆσαι,

24. Καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι,
Πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων,

25. Πρὸ τοῦ ὄρη ἑδραθῆναι,
Πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.

26. Κύριος ἐποίησε χώρας καὶ ἀοικήτους,
Καὶ ἄκρα οἰκέμενα τῆς ὑπ' ἐρανόν.

27. Ἡνίκα ἡτοίμαζε τὸν ἐρανὸν, συμπαρήμην αὐτῷ,
Καὶ ὅτε ἀφώριζε τὸν ἑαυτοῦ θρόνον ἐπ' ἀνέμων,

28. Ἡνίκα ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη·
Καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τῆς ὑπ' ἐρανὸν,

29. ✕ Ἐν τῷ τιθέναι αὐτὸν τῇ θαλάσσῃ ἀκριβασμὸν αὐτοῦ, ✕
Καὶ ὕδατα ὑ παρελεύσονται στόματος αὐτοῦ", ✕
Καὶ ὡς ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς θελή-
γῆς, ματα

30. Ἥμην παρ' αὐτῷ ἁρμόζουσα·
Ἐγὼ ἤμην, ᾗ προσέχαιρεν,
Καθ' ἡμέραν δὲ εὐφραινόμην ἐν προσώπῳ αὐτοῦ ἐν παντὶ καιρῷ,

31. Ὅτε ηὐφραίνετο τὴν οἰκεμένην συντελέσας,

Καὶ

v. 10. ſtich. 3. uncis incluſus integer abeſt ab *Edit. Rom.* v. 17. ſtich. 2. εὑρήσουσι χάριν) χάριν deeſt. v. 19. (πολὺν) abeſt. ibid. ſtich. 2. κρεῖσσον) κρείσσω. v. 20. ſtich. 2. δικαιοσύνης) δικαιώματος. v. 23. ſtich. 2. πρὸ τοῦ) ἐν ἀρχῇ πρὸ τοῦ. v. 26. ſtich. 2. ὑπ' οὐρανὸν) ὑπ' οὐρανῶν. v. 28. Ἡνίκα) καὶ ὡς. v. 29. ſtich. 1. & 2. integri deſiderantur in *Edit. Rom.* ibid. ſtich. 3. Καὶ) addit ὡς. ibid. θελήματα) θεμέλια. v. 31. ηὐφραίνετο) ἐνευφραίνετο.

Καὶ ἐνηυφραίνετο ἐν υἱοῖς ἀνθρώπων.
32. Νῦν οὖν υἱὲ ἄκουέ μου·
Φυλάσσοντες * σοφίαν ※ Καὶ μακάριοι οἱ ὁδούς μου φυλάξουσιν.
33. Ἀκούσατε * παιδείαν καὶ σοφίσθητε, καὶ μὴ ἀποφραγῆτε".
34. Μακάριος ἀνὴρ ὃς εἰσακούσεταί μου,
Καὶ ἄνθρωπος ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει, ἀγρυπνῶν ἐπ' ἐμαῖς θύραις καθ' ἡμέραν,
Τηρῶν σταθμοὺς ἐμῶν εἰσόδων·
35. Αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς,
Καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου.
36. Οἱ δὲ εἰς ἐμὲ ἁμαρτάνοντες, ἀσεβοῦσιν εἰς τὰς ἑαυτῶν ψυχάς·
Καὶ οἱ μισοῦντές με, ἀγαπῶσι θάνατον.

ΚΕΦ. Θ'. IX.

Η Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον,
Καὶ ὑπήρεισε στύλους ἑπτά·
2. Ἔσφαξε τὰ ἑαυτῆς θύματα,
Ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον,
Καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν.
3. Ἀπέστειλε τοὺς ἑαυτῆς δούλους,
Συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος ἐπὶ κρατῆρα, λέγουσα·
4. Ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρὸς μέ·
Καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν·
5. Ἔλθατε, φάγετε τῶν ἐμῶν ἄρτων,
Καὶ πίετε οἶνον οὗ ἐκέρασα ὑμῖν.
6. Ἀπολείπετε ἀφροσύνην, (ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε·
Καὶ ζητήσατε φρόνησιν,) ✕ ἵνα βιώσητε".
Καὶ κατορθώσατε ἐν γνώσει σύνεσιν.
7. Ὁ παιδεύων κακοὺς, λήψεται ἑαυτῷ ἀτιμίαν·
Ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτόν.
8. Μὴ ἔλεγχε κακούς, ἵνα μὴ μισῶσί σε·
Ἔλεγχε σοφὸν, καὶ ἀγαπήσει σε.
(Ἄσοφον, καὶ μισήσει σε)
9. Δίδου σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται·
Γνώριζε (δὲ) δικαίῳ, καὶ προσθήσει τῷ δέχεσθαι.
10. Ἀρχὴ σοφίας φόβος Κυρίου,
Καὶ βουλὴ ἁγίων σύνεσις·
Τὸ δὲ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς·
11. Τέτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσῃ χρόνον,
Καὶ προστεθήσεταί σοι ἔτη ζωῆς σκ.
12. Υἱὲ ἐὰν σοφὸς γένῃ, σεαυτῷ σοφὸς ἔσῃ καὶ τῷ πλησίον·
Ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἂν τλήσεις κακά. ἀντλήσεις
Ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, ἔτος ποιμαίνει ἀνέμους,
Ὁ δ' αὐτὸς διώκεται ὄρνεα πετόμενα·
Ἀπέλειπε γὰρ ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος,

Τὰς

v. 32. ſtich. 2. & v. 33. non habentur in *Edit. Rom.* v. 36. εἰς ἐμὲ ἁμαρτάνοντες) transpoſita. CAP. IX. v. 6. ſtich. 2. ἵνα βιώσητε) non habet. v. 8. μισῶσί σε) μισήσωσί σε. ibid. ſtich. 3. uncis incluſus abeſt ab *Edit. Rom.* v. 9. ſtich. 2. (δὲ) abeſt. v. 10. ſt. 3. Τὸ δὲ) τὸ γὰρ. v. 11. ζήσῃ) ζήσεις. ibid. ſtich. 2. ζωῆς) addit σκ. v. 12. τῷ πλησίον) τοῖς πλησίον. ibid. ſtich. 3. ποιμανεῖ) ποιμαίνει.

Τὰς δὲ ἄξονας τῇ ἰδίᾳ γεωργίᾳ πεπλάνηται·
Διαπορεύεται δὲ δι' ἀνύδρου ἐρήμου,
διαλελαγμένην Καὶ γῆν διατεταμένην ἐν διψώδεσι,
Συνάγει δὲ χερσὶν ἀκαρπίαν.

13. Γυνὴ ἄφρων καὶ θρασεῖα ἐνδεὴς ψωμῦ γίνεται·
Ἡ ἐκ ἐπίσταται αἰσχύνην,

14. Ἐκάθισεν ἐπὶ θύραις τῆ ἑαυτῆς οἴκου,
Ἐπὶ δίφρου ἐμφανῶς ἐν πλατείαις,

15. Προσκαλεμένη τοὺς παριόντας ὁδὸν,
Καὶ κατευθύνοντας ἐν ταῖς ὁδοῖς αὐτῶν·

16. Ὅς ἐστιν ὑμῶν ἀφρονέστατος, ἐκκλινάτω πρὸς μέ·
Ἐνδεέσι δὲ φρονήσεως παρακελεύομαι λέγουσα·

17. Ἄρτων κρυφίων ἡδέως ἅψασθε,
Καὶ ὕδατος κλοπῆς γλυκεροῦ.

18. Ὁ δὲ ἐκ οἶδεν ὅτι γηγενεῖς παρ' αὐτῇ ὄλλυνται,
Καὶ ἐπὶ πέταυρον ᾅδου συναντᾷ.
Ἀλλὰ ἀποπήδησον, μὴ ἐγχρονίσῃς ἐν τῷ τόπῳ,
Μηδὲ ἐπιστῇς τὸ σὸν ὄμμα πρὸς αὐτήν·
Οὕτως γὰρ διαβήσῃ ὕδωρ ἀλλότριον,
Καὶ ὑπερβήσῃ ποταμὸν ἀλλότριον.
Ἀπὸ δὲ ὕδατος ἀλλοτρίου ἀπόσχου,
Καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς·
Ἵνα πολὺν ζήσῃ χρόνον,
Προστεθῇ δέ σοι ἔτη ζωῆς.

ΚΕΦ. Ι'. Χ.

Υἱὸς σοφὸς εὐφραίνει πατέρα·
Υἱὸς δὲ ἄφρων λύπη τῇ μητρί.
2. Οὐκ ὠφελήσουσι θησαυροὶ ἀνόμους,
Δικαιοσύνη δὲ ῥύσεται ἐκ θανάτου.
3. Οὐ λιμοκτονήσει Κύριος ψυχὴν δικαίου, δικαίαν
Ζωὴν δὲ ἀσεβῶν ἀνατρέψει.
4. Πενία ἄνδρα ταπεινοῖ·
Χεῖρες δὲ ἀνδρείων πλουτίζουσιν.
5. Υἱὸς πεπαιδευμένος σοφὸς ἔσται,
Τῷ δὲ ἄφρονι διακόνῳ χρήσεται·
Διεσώθη ἀπὸ καύματος υἱὸς νοήμων,
Ἀνεμόφθορος δὲ γίνεται ἐν ἀμητῷ υἱὸς παράνομος.
6. Εὐλογία Κυρίου ἐπὶ κεφαλῆς δικαίου·
Στόμα δὲ ἀσεβῶν καλύψει πένθος ἄωρον.
7. Μνήμη δικαίου μετ' * ἐγκωμίων· δικαίων
Ὄνομα δὲ † ἀσεβῶν σβέννυται. * ἐγκω-
8. Σοφὸς καρδίᾳ δέξεται ἐντολάς· ὁ δὲ μίων
ἄστεγος χείλεσι σκελιάζων ὑποσκε- † ἀσεβῶς
λιωθήσεται.
9. Ὃς πορεύεται ἁπλῶς, πορεύεται πεποιθώς·
Ὁ δὲ διαστρέφων τὰς ὁδοὺς αὐτοῦ, γνωσθήσεται.
10. Ὁ ἐννεύων ὀφθαλμῷ μετὰ δόλου, συν- ὀφθαλ-
άγει ἀνδράσι λύπας· μοῖς
Ὁ δὲ ἐλέγχων μετὰ παῤῥησίας εἰρηνοποιεῖ.
11. Πηγὴ ζωῆς ἐν χείλει δικαίου· χειρὶ
Στόμα δὲ ἀσεβῶς καλύψει ἀπώλειαν.
12. Μῖσος ἐγείρει νεῖκος·

13. Ὃς

v. 15. ὁδὸν) abeſt. v. 16. ſtich. 2. Ἐνδεέσι δὲ) καὶ τοῖς ἐνδεέσι. v. 18. ſtich. 3. ἐγχρονίσῃς) χρονίσῃς. ibid. ſtich. 4. ἐπιστῇς τὸ σὸν ὄμμα) ἐπισήσῃς τὸ σὸν ὄνομα. ibid. ſtich. 6. integer deſideratur in *Edit. Rom.* ibid. ſtich. 9. ζήσῃ) ζήσῃς. CAP. X. v. 6. ἐπὶ κεφαλῆς) ἐπὶ κεφαλὴν

Πάντας δὲ τὰς μὴ φιλονεικοῦντας καλύψει φιλία.

13. Ὃς ἐκ χειλέων προφέρει σοφίαν, ῥάβδῳ τύπτει ἄνδρα ἀκάρδιον.

14. Σοφοὶ κρύψουσιν αἴσθησιν· στόμα δὲ προπετὲς ἐγγίζει συντριβῇ.

15. Κτῆσις πλουσίων πόλις ὀχυρά· συντριβὴ δὲ ἀθενῶν πενία.

ἀσεβῶν

16. Ἔργα δικαίων ζωὴν ποιεῖ, καρποὶ δὲ ἀσεβῶν ἁμαρτίας.

17. Ὁδὸς ζωῆς φυλάσσει παιδεία· παιδεία δὲ ἀνεξέλεγκτος πλανᾶται.

δίκαια

18. Καλύπτουσιν ἔχθραν χείλη ἄδικα· οἱ δὲ ἐκφέροντες λοιδορίας, ἀφρονέστατοί εἰσιν.

ἐκφεύξεται ἁμαρτία

19. Ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν· φειδόμενος δὲ χειλέων, νοήμων ἔσῃ.

20. Ἄργυρος πεπυρωμένος γλῶσσα δικαίου· καρδία δὲ ἀσεβῶς ἐκλείψει.

21. Χείλη δικαίων ἐπίσταται ὑψηλά· οἱ δὲ ἄφρονες ἐν ἐνδείᾳ τελευτῶσιν.

22. Εὐλογία Κυρίου ἐπὶ κεφαλῆς δικαίου, αὕτη πλουτίζει. Καὶ οὐ μὴ προσεθῇ αὐτῇ λύπη ἐν καρδίᾳ.

23. Ἐν γέλωτι ἄφρων πράσσει κακά· ἡ δὲ σοφία ἀνδρὶ τίκτει φρόνησιν.

ἀπωλείᾳ

24. Ἐν ἀπορίᾳ ἀσεβὴς περιφέρεται· (ἀσθενεῖ δὲ ἄφρων φρονίμῳ) ἐπιθυμία δὲ δικαίου δεκτή. (καρδία δὲ ἀσεβοῦς ἐκλείψει).

25. Παραπορευομένης καταιγίδος, ἀφανίζεται ὁ ἀσεβής·

Δίκαιος δὲ ἐκκλίνας σώζεται εἰς τὸν αἰῶνα.

26. Ὥσπερ ὄμφαξ ὀδοῦσι βλαβερὸς, καὶ καπνὸς ὄμμασιν· οὕτως παρανομία τοῖς χρωμένοις αὐτῇ.

27. Φόβος Κυρίου προσίθησιν ἡμέρας· ἔτη δὲ ἀσεβῶν ὀλιγωθήσεται.

28. Ἐγχρονίζει δικαίοις εὐφροσύνη· ἐλπὶς δὲ ἀσεβῶν ἀπολεῖται.

ὄλλυται

29. Ὀχύρωμα ὁσίᾳ ὁδὸς Κυρίου· συντριβὴ δὲ τοῖς ἐργαζομένοις κακά.

φόβος

30. Δίκαιος εἰς τὸν αἰῶνα οὐκ ἐνδώσει· ἀσεβεῖς δὲ οὐκ οἰκήσουσι γῆν.

31. Στόμα δικαίου ἀποσάζει σοφίαν· γλῶσσα δὲ ἀδίκου ἐξολεῖται.

32. Χείλη ἀνδρῶν δικαίων ἐπίσταται χάριτας· στόμα δὲ ἀσεβῶν ἀποστρέφεται.

ἀποσάζει

ΚΕΦ. ΙΑ'. XI.

1. Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου· στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ.

2. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν.

3. ※ Τελειότης εὐθείων ὁδηγήσει αὐτούς· ※
καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. ※

4. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ· ※
καὶ δικαιοσύνη ῥύσεται ἀπὸ θανάτου. ※

v. 12. stich. 2. καλύψει) καλύπτει. v. 17. Ὁδὸς ζωῆς) ὁδὸς δικαίας ζωῆς. v. 19. ἐκφεύξεται ἁμαρτία) ἐκφεύξῃ ἁμαρτίαν. v. 22. ἐπὶ κεφαλῆς δικαίᾳ, καὶ) ἐπὶ κεφαλὴν δικαίου, αὕτη πλουτίζει, καὶ. v. 24. stich. 2. & 4. uncis inclusi integri absunt ab *Edit. Rom.* v. 25. ὁ ἀσεβὴς) ἀσεβὴς. v. 26. βλαβερὸς) βλαβερόν. v. 28. ὄλλυται) ἀπολεῖται. v. 30. τὸν αἰῶνα) εἰς τὸν αἰῶνα. CAP. XI. v. 3. integer & v. 4. stich. 1. & 2. desiderantur in *Edit. Rom.*

(Ἀποθανὼν δίκαιος ἔλειπε μετάμελον·
Πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια).

5. Δικαιοσύνη ἀμώμε ὀρθοτομεῖ ὁδές·
Ἀσεβείᾳ δὲ περιπίπλει ἀδικία.

6. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύσεται αὐτές·
Τῇ δὲ ἀβελίᾳ ἁλίσκονται παράνομοι.

7. Τελευτήσαντος ἀνδρὸς δικαίε, ἐκ ὄλλυται ἐλπίς·
Τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται.

8. Δίκαιος ἐκ θήρας δύνει·
Ἀντ' αὐτῦ δὲ παραδίδοται ὁ ἀσεβής.

9. Ἐν στόματι ἀσεβῶν παγὶς πολίταις·
Ἄϊσθησις δὲ δικαίων εὔοδος.

10. Ἐν ἀγαθοῖς δικαίων κατώρθωσε πόλις·
※ Καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα.

※ 11. Ἐν εὐλογίᾳ εὐθείων ὑψωθήσεται
※ πόλις".
Στόμασι δὲ ἀσεβῶν κατεσκάφη.

12. Μυκληρίζει πολίτας ἐνδεὴς φρενῶν·
Ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

13. Ἀνὴρ δίγλωσσος ἀποκαλύπλει βελὰς ἐν συνεδρίῳ·
Πιστὸς δὲ πνοῇ κρύπλει πράγματα.

14. Οἷς μὴ ὑπάρχει κυβέρνησις, πίπλουσιν ὥσπερ φύλλα,
Σωτηρία δὲ ὑπάρχει ἐν πολλῇ βελῇ.

15. Πονηρὸς κακοποιεῖ, ὅταν συμμίξῃ δικαίῳ·
Μισεῖ δὲ ἦχον ἀσφαλείας.

16. Γυνὴ εὐχάριτος ἐγείρει ἀνδρὶ δόξαν·
Θρόνος δὲ ἀτιμίας γυνὴ μισθῶσα δίκαια.
Πλύτε ὀκνηροὶ ἐνδεεῖς γίνονται·
Οἱ δὲ ἀνδρεῖοι ἐρείδονται πλύτῳ.

17. Τῇ ψυχῇ αὐτῦ ἀγαθὸν ποιεῖ ἀνὴρ ἐλεήμων·
Ἐξολλύει δὲ αὐτῦ σῶμα ὁ ἀνελεήμων.

18. Ἀσεβὴς ποιεῖ ἔργα ἄδικα·
Σπέρμα δὲ δικαίων μισθὸς ἀληθείας.

19. Υἱὸς δίκαιος γενναῖται εἰς ζωήν·
Διωγμὸς δὲ ἀσεβῦς εἰς θάνατον.

20. Βδέλυγμα Κυρίῳ διεξραμμέναι ὁδοί·
Προσδεκλοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ (αὐτῶν). ἰαῖς ὁδοῖς

21. Χειρὶ χεῖρας ἐμβαλὼν ἄδικος ἐκ ἀτιμώρητος ἔσαι· ἀδίκως
Ὁ δὲ σπείρων δικαιοσύνην, λήψεται μισθὸν πιστῶν.

22. Ὥσπερ ἐνώτιον ✕ χρυσῆν ἐν ῥινὶ ὑὸς,
Οὕτως γυναικὶ κακόφρονι κάλλος.

23. Ἐπιθυμία δικαίων πᾶσα ἀγαθή·
Ἐλπὶς δὲ ἀσεβῶν ἀπολεῖται.

24. Εἰσὶν οἳ τὰ ἴδια σπείροντες πλείονα ποιῦσιν·
Εἰσὶ δὲ καὶ οἱ συνάγοντες ✕ τὰ ἀλλότρια ἐλατλονοῦνται.

25. Ψυχὴ ἠυλογημένη πᾶσα ἁπλῆ·
Ἀνὴρ δὲ θυμώδης ἐκ εὐχήμων.

26. Ὁ συνέχων σῖτον ὑπολείποιτο αὐτὸν τοῖς ἔθνεσιν·
Εὐλογία δὲ εἰς κεφαλὴν τῦ μεταδιδόντος.

27. Τελαινόμενος ἀγαθὰ, ζητεῖ χάριν ἀγαθήν· ἐκζητοῦντα δὲ κακὰ καταλήψεται αὐτόν.

28. Ὁ πε-

V. 5. ἀμώμου) ἀμώμους. V. 6. ῥύσεται) ῥύεται. ibid. ſtich. 2. τῇ δὲ ἀβελίᾳ ἁλ.) τῇ δὲ ἀπωλείᾳ αὐτῶν ἁλίσκ. V. 8. δύνει) ἐκδύνει. V. 10. ſtich. 2. & V. 11. ſtich. 1. integri deſiderantur in *Edit. Rom.* V. 21. ſtich. 2. πιστῶν) πιστὸν.

28. Ὁ πεποιθὼς ἐπὶ πλάτῳ × ἑαυτῷ, ἔτος πεσεῖται·
Ὁ δὲ ἀντιλαμβανόμενος δικαίων, (ἔτος) ἀνατελεῖ.

29. Ὁ μὴ συμπεριφερόμενος τῷ ἑαυτοῦ οἴκῳ, κληρονομήσει ἄνεμον·
Δαλεύσει δὲ ἄφρων φρονίμῳ.

30. Ἐκ καρποῦ δικαιοσύνης φύεται δένδρον ζωῆς·
Ἀφαιρεῖνται δὲ ἄωροι ψυχαὶ παρανόμων.

31. Εἰ ὁ μὲν δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς πῦ φανεῖται;

ΚΕΦ. ΙΒ'. XII.

Ὁ ἀγαπῶν παιδείαν, ἀγαπᾷ αἴσθησιν·
Ὁ δὲ μισῶν ἐλέγχες, ἄφρων.

Κυρίῳ 2. Κρείσσων ὁ εὑρὼν χάριν παρὰ Κυρίῳ·
Ἀνὴρ δὲ παράνομος παρασιωπηθήσεται.

3. Οὐ κατορθώσει ἄνθρωπος ἐξ ἀνόμων·
Αἱ δὲ ῥίζαι τῶν δικαίων οὐκ ἐξαρθήσονται,

4. Γυνὴ ἀνδρεία στέφανος τῷ ἀνδρὶ αὐτῆς·
Ὥσπερ δὲ ἐν ξύλῳ σκώληξ, ἔτως ἄνδρα ἀπόλλυσι γυνὴ κακοποιός.

5. Λογισμοὶ δικαίων κρίματα·
Κυβερνῶσι δὲ ἀσεβεῖς δόλες.

6. Λόγοι ἀσεβῶν δόλιοι × εἰς αἷμα·
Στόμα δὲ ὀρθῶν ῥύσεται αὐτές.

7. Οὐ ἐὰν στραφῇ ὁ ἀσεβὴς, ἀφανίζεται·
Οἶκοι δὲ δικαίων παραμενοῦσι.

8. Στόμα συνετοῦ ἐγκωμιάζεται ὑπὸ ἀνδρός·
Νωθροκάρδιος δὲ μυκληρίζεται.

9. Κρείσσων ἀνὴρ ἐν ἀτιμίᾳ δαλεύων ἑαυτῷ,
Ἢ τιμὴν ἑαυτῷ περιτιθεὶς καὶ προσδεόμενος ἄρτε. ἄρτων

10. Οἰκτείρει δίκαιος ψυχὰς κληνῶν αὐτοῦ·
Τὰ δὲ σπλάγχνα τῶν ἀσεβῶν ἀνελεήμονα.

11. Ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν, ἐμπλησθήσεται ἄρτων·
Οἱ δὲ διώκοντες μάταια, ἐνδεεῖς φρενῶν.
Ὃς ἐστιν ἡδὺς ἐν οἴνων διατριβαῖς,
Ἐν τοῖς ἑαυτοῦ ὀχυρώμασι καταλείψει ἀτιμίαν.

12. Ἐπιθυμίαι ἀσεβῶν κακαί·
Αἱ δὲ ῥίζαι τῶν εὐσεβῶν ἐν ὀχυρώμασι.

13. Δι' ἁμαρτίαν χειλέων ἐμπίπλει εἰς * παγίδα ἁμαρτωλός· ἁμαρτίας
Ἐκφεύγει δὲ ἐξ αὐτῶν δίκαιος. * παγί-
Ὁ βλέπων λεῖα ἐλεηθήσεται· δας
Ὁ δὲ συναντῶν ἐν λύπαις, ἐκθλίψει πύλαις
ψυχάς.

14. Ἀπὸ καρπῶν στόματος (ψυχὴ) ἀνδρὸς πληθήσεται ἀγαθῶν·
Ἀνταπόδομα δὲ χειρῶν αὐτοῦ δοθήσεται αὐτῷ. χειλέων

15. Ὁδοὶ ἀφρόνων ὀρθαὶ ἐνώπιον αὐτῶν·
Εἰσακούει δὲ συμβελίας σοφός.

16. Ἄφρων αὐθημερὸν ἐξαγγέλλει ὀργὴν αὐτοῦ·

CAP. XII. v. 9. ſtich. 2. ἄρτων) ἄρτε. v. 10. Οἰκτείρει δίκαιος) transpoſita. v. 13. Δι' ἁμαρτίαν) δι' ἁμαρτίαν.

Κρύπλει δὲ τὴν ἑαυτῆ ἀτιμίαν παν-
ἔργος.

ἀπαγ- 17. Ἐπιδεικνυμένην πίστιν ἀπαγγελεῖ δί-
γέλλει καιος·
Ὁ δὲ μάρτυς τῶν ἀδίκων δόλιος.

μάχαι- 18. Εἰσὶν οἱ λέγοντες τιτρώσκουσι μαχαίρᾳ·
ραν Γλῶσσαι δὲ σοφῶν ἰῶνται.

19. Χείλη ἀληθιναὶ κατορθοῖ μαρτυ-
ρίαν·
Μάρτυς δὲ ταχὺς γλῶσσαν ἔχει ἄ-
δικον.

20. Δόλος ἐν καρδίᾳ τεκλαινομένῃ κακά.

βελόμε- Οἱ δὲ βελευόμενοι εἰρήνην, εὐφρανθή-
νοι σονται.

21. Οὐκ ἀρέσει τῷ δικαίῳ ἐδὲν ἄδικον·
Οἱ δὲ ἀσεβεῖς πλησθήσονται κακῶν.

Κυρίῳ 22. Βδέλυγμα Κυρίῳ χείλη ψευδῆ·
Ὁ δὲ ποιῶν πίστεις δεκτὸς παρ' αὐτῷ.

23. Ἀνὴρ συνετὸς θρόνος αἰθήσεως·
Καρδία δὲ ἀφρόνων συναντήσεται
ἀραῖς.

ἐχθρῶν 24. Χεὶρ ἐκλεκτῶν κρατήσει εὐχερῶς·
Δόλιοι δὲ ἔσονται εἰς προνομήν.

25. Φοβερὸς λόγος καρδίαν ταράσσει ἀν-
δρὸς (δικαίᾳ)·
Ἀγγελία δὲ ἀγαθὴ εὐφρανεῖ αὐτόν.

26. Ἐπιγνώμων δίκαιος ἑαυτῷ φίλος ἔσαι·
(Αἱ δὲ γνῶμαι τῶν ἀσεβῶν ἀνεπιει-
κεῖς·
Ἁμαρτάνοντας καλαδιώξεται κακά)·
Ἡ δὲ ὁδὸς τῶν ἀσεβῶν πλανήσει
αὐτές.

27. Οὐκ ἐπιτεύξεται δόλιος θήρας·
Κτῆμα δὲ τίμιον ἀνὴρ καθαρός.

28. Ἐν ὁδοῖς δικαιοσύνης ζωή·
Ὁδοὶ δὲ μνησικάκων εἰς θάνατον.

ΚΕΦ. ΙΓ'. XIII.

Υἱὸς παιδεργος ὑπήκοος πατρί·
Υἱὸς δὲ ἀνήκοος ἐν ἀπωλείᾳ.

2. Ἀπὸ καρπῆ δικαιοσύνης φάγεται ἀγαθός·
Ψυχαὶ δὲ παρανόμων ὀλοῦνται ἄωροι.

3. Ὃς φυλάσσει τὸ ἑαυτῆ στόμα, τηρεῖ
τὴν ἑαυτῆ ψυχήν·
Ὁ δὲ προπετὴς χείλεσι, πλοήσει
ἑαυτόν.

4. Ἐν ἐπιθυμίαις ἐστὶ πᾶς ἀεργός·
Χεῖρες δὲ ἀνδρείων ἐν ἐπιμελείᾳ.

5. Λόγον ἄδικον μισεῖ δίκαιος·
Ἀσεβὴς δὲ αἰσχύνεται, καὶ ἐκ ἔξει
παῤῥησίαν.

6. ※ Δικαιοσύνη φυλάσσει ἀκάκους ὁδῷ·
Τὰς δὲ ἀσεβεῖς φαύλες ποιεῖ ἁμαρ- ※
τία". ※

7. Εἰσὶν οἱ πλατίζεσιν ἑαυτὲς, μηδὲν
ἔχοντες·
Καὶ εἰσὶν οἱ ταπεινοῦντες ἑαυτὲς ἐν
πολλῷ πλέτῳ.

8. Λύτρον ἀνδρὸς ψυχῆς ὁ ἴδιος πλοῦτος·
Πτωχὸς δὲ ἐχ ὑφίσαται ἀπειλήν.

9. Φῶς δικαίοις διαπαντός·
Φῶς δὲ ἀσεβῶν σβέννυται.
Ψυχαὶ δόλιαι πλανῶνται ἐν ἁμαρ-
τίαις·
Δίκαιοι δὲ οἰκτείρεσι καὶ ἐλεῦσι.

10. Κακὸς μεθ' ὕβρεως πράσσει κακά·
Οἱ δὲ ἑαυτῶν ἐπιγνώμονες σοφοί.

11. Ὑπαρ-

v. 16. ſtich. 2. πανέργος) ἀνὴρ πανέργος. v. 18. μάχαιραν) μάχαιραι. v. 24. ἐχθρῶν) εὐχερῶς. ibid. ſtich. 2. εἰς προνομήν) ἐν προνομῇ. v. 25. ſtich. 2. εὐφρανεῖ) εὐφραίνει. v. 26. ſtich. 2. abeſt ab *Edit. Rom.* ibid. ſtich. 3. Ἁμαρτάνοντας) addit δὲ. CAP. XIII. v. 2. Ἀπὸ καρποῦ) ἀπὸ καρπῶν. v. 5. ſtich. 2. καὶ ἐχ) καὶ οὐκ. v. 6. integer deſideratur in *Ed. Rom.* v. 7. πλατίζουσιν) πλουτίζοντες.

11. Ὑπαρξις ἐπισπουδαζομένη μετὰ ἀνομίας, ἐλάσσων γίνεται·
Ὁ δὲ συνάγων ἑαυτῷ μετ' εὐσεβείας, πληθυνθήσεται·
(Δίκαιος οἰκτείρει καὶ κιχρᾷ.)
12. Κρείσσων ἐναρχόμενος βοηθεῖν καρδίᾳ
Τῇ ἐπαγγελλομένῃ καὶ εἰς ἐλπίδα ἄγοντος·
κακή Δένδρον γὰρ ζωῆς, ἐπιθυμία ἀγαθή.
13. Ὃς καταφρονεῖ πράγματος, καταφρονηθήσεται ὑπ' αὐτοῦ·
ὑγιαίνει Ὁ δὲ φοβούμενος ἐντολήν, ἔτος ὑγιανεῖ.
Υἱῷ δολίῳ ἀδὲν ἔσαι ἀγαθόν·
Οἰκέτῃ δὲ σοφῷ εὔοδοι ἔσονται πράξεις,
Καὶ κατευθυνθήσεται ἡ ὁδὸς αὐτοῦ.
14. Νόμος σοφοῦ πηγὴ ζωῆς·
Ὁ δὲ ἄνευς ὑπὸ παγίδος θανεῖται.
15. Σύνεσις ἀγαθὴ δίδωσι χάριν,
Τὸ δὲ γνῶναι νόμον διανοίας ἐσὶν ἀγαθῆς·
Ὁδοὶ δὲ καταφρονέντων ἐν ἀπωλείᾳ.
16. Πᾶς πανοῦργος πράσσει μετὰ γνώσεως·
Ὁ δὲ ἄφρων ἐξεπέτασεν ἑαυτοῦ κακίαν.
17. Βασιλεὺς θρασὺς ἐμπεσεῖται εἰς κακά·
Ἄγγελος δὲ σοφὸς ῥύσεται αὐτόν.
18. Πενίαν καὶ ἀτιμίαν ἀφαιρεῖται παιδεία·
Ὁ δὲ φυλάσσων ἐλέγχους, δοξασθήσεται.
19. Ἐπιθυμίαι εὐσεβῶν ἡδύνουσι ψυχήν·
Ἔργα δὲ ἀσεβῶν μακρὰν ἀπὸ γνώσεως.
20. Ὁ συμπορευόμενος σοφοῖς, σοφὸς ἔσαι·
Ὁ δὲ συνεμβόμενος ἄφροσι, γνωθήσεται.
21. Ἁμαρτάνουσας καταδιώκεται κακά·
Τὰς δὲ δικαίας καλαλήψεται ἀγαθά.
22. Ὁ ἀγαθὸς ἀνὴρ κληρονομήσει υἱὸς υἱῶν·
Θησαυρίζεται δὲ δικαίοις πλοῦτος ἀσεβῶν.
23. Δίκαιοι ποιήσουσιν ἐν πλάτῳ ἔτη πολλά·
Ἄδικοι δὲ ἀπολοῦνται συντόμως.
24. Ὃς φείδεται τῆς ἑαυτοῦ βακτηρίας, μισεῖ τὸν υἱὸν αὐτοῦ·
Ὁ δὲ ἀγαπῶν, ἐπιμελῶς παιδεύει.
25. Δίκαιος ἔθων ἐμπιπλᾷ τὴν ψυχὴν αὐτοῦ·
Ψυχαὶ δὲ ἀσεβῶν ἐνδεεῖς.

ΚΕΦ. ΙΔ'. XIV.

ΣΟφαὶ γυναῖκες ᾠκοδόμησαν οἴκους·
ἡ δὲ ἄφρων καθέσρεψε ταῖς χερσὶν αὐτῆς.
2. Ὁ πορευόμενος ὀρθῶς, φοβεῖται τὸν Κύριον·
Ὁ δὲ σκολιάζων ταῖς ὁδοῖς αὐτοῦ, ἀτιμασθήσεται.
3. Ἐκ στόματος ἀφρόνων βακτηρία ὕβρεως·
Χείλη δὲ σοφῶν φυλάξει αὐτούς.
4. Οὗ μὴ εἰσὶ βόες, φάτναι καθαραί·
Οὗ δὲ πολλὰ γενήματα, φανερὰ βοὸς ἰσχύς.

v. 12. βοηθεῖν) βοηθῶν. ibid. ſtich. 3. κακὴ) ἀγαθὴ. v. 20. Ὁ συμπορευόμενος) ὁ abeſt. ibid. ἔσαι) ἔση. ib. ſt. 2. συνεμβόμενος) συμπορευόμενος. v. 22. Ὁ ἀγαθὸς) ἀγαθὸς. CAP. XIV. v. 1. κατέσκαψε) κατέσκαψε. v. 3. ſtich. 2. φυλάξει) φυλάσσει.

5. Μάρτυς πιστὸς ὁ ψεύδεται·
Ἐκκαίει δὲ ψευδὴ μάρτυς ἄδικος.
6. Ζητήσεις σοφίαν παρὰ κακοῖς, καὶ οὐχ εὑρήσεις·
Αἴθησις δὲ παρὰ φρονίμοις εὐχερής.
7. Πάντα ἐναντία ἀνδρὶ ἄφρονι·
Ὅπλα δὲ αἰθήσεως χείλη σοφά.
8. Σοφία πανέργων ἐπιγνώσεται τὰς ὁδὸς αὐτῶν·
Ἄνοια δὲ ἀφρόνων ἐν πλάνῃ.
9. Οἰκίαι ἀφρόνων ὀφειλήσουσι καθαρισμόν·
Οἰκίαι δὲ δικαίων δεκταί.
10. Καρδία ἀνδρὸς αἰθητικὴ, λυπηρὰ ψυχὴ αὐτῷ·
Ὅταν δὲ εὐφραίνηται, ἐκ ἐπιμίγνυται ὕβριν
ὕβρει.
11. Οἰκίαι ἀσεβῶν ἀφανισθήσονται·
Σκηναὶ δὲ κατορθούντων ῥήσονται.
12. Ἔστιν ὁδὸς ἣ δοκεῖ ὀρθὴ εἶναι παρὰ ἀνθρώποις,
αὐτῇ Τὰ δὲ τελευταῖα αὐτῆς ἔρχεται εἰς πυθμένα ᾅδου.
13. Ἐν εὐφροσύναις ὁ προσμίγνυται λύπη·
Τελευταῖα δὲ χαρᾶς εἰς πένθος ἔρχεται.
14. Τῶν ἑαυτῷ ὁδῶν πληθήσεται θρασυκάρδιος,
Ἀπὸ δὲ τῶν διανοημάτων αὐτῷ ἀνὴρ ἀγαθός.
15. Ἄκακος πιστεύει παντὶ λόγῳ·
Πανοῦργος δὲ ἔρχεται εἰς μετάνοιαν.
16. Σοφὸς φοβηθεὶς ἐξέκλινεν ἀπὸ κακοῦ·
Ὁ δὲ ἄφρων ἑαυτῷ πεποιθὼς μίγνυται ἀνόμῳ.
17. Ὀξύθυμος πράσσει μετὰ ἀβελίας·
Ἀνὴρ δὲ φρόνιμος πολλὰ ὑποφέρει.
18. Μερισοῦνται ἄφρονες κακίαν·
Οἱ δὲ πανοῦργοι κρατήσουσιν αἰθήσεως.
19. Ὀλιθήσουσι κακοὶ ἔναντι ἀγαθῶν,
Καὶ ἀσεβεῖς θεραπεύσουσι θύρας δικαίων.
20. Φίλοι μισήσουσι φίλους πλουσίους· μισήσουσιν
Φίλοι δὲ πλουσίων πολλοί. πένητας
21. Ὁ ἀτιμάζων πένητα, ἁμαρτάνει·
Ἐλεῶν δὲ πλουσίους, μακάριος ἔσται.
22. Πλανώμενοι τεκταίνουσι κακά·
Ἔλεον δὲ καὶ ἀλήθειαν τεκταίνουσιν ἀγαθοί.
Οὐκ ἐπίστανται ἔλεον καὶ πίστιν τέκτονες κακῶν· Duplex interpretatio.
Ἐλεημοσύναι δὲ καὶ πίστεις παρὰ τέκτοσιν ἀγαθοῖς.
23. Ἐν παντὶ μεριμνῶντι ἔνεστι περισσόν·
Ὁ δὲ ἡδὺς καὶ ἀνάλγητος, ἐν ἐνδείᾳ ἔσται.
24. Στέφανος σοφῶν πλοῦτος × αὐτῶν· πανοῦργος
Ἡ δὲ διατριβὴ ἀφρόνων κακή.
25. Ῥύσεται ἐκ κακῶν ψυχὴν μάρτυς πιστός·
Ἐκκαίει δὲ ψευδὴ δόλιος.
26. Ἐν Φόβῳ Κυρίου ἐλπὶς ἰσχύος·
Τοῖς δὲ τέκνοις αὐτῷ καταλείψει ἔρεισμα. καταλείπει
27. Φόβος Κυρίου πηγὴ ζωῆς, Πρόσαγμα
Ποιεῖ δὲ ἐκκλίνειν ἐκ παγίδος θανάτου.
28. Ἐν πολλῷ ἔθνει δόξα βασιλέως·
Ἐν δὲ ἐκλείψει λαοῦ συντριβὴ δυνάστου.
29. Μακρόθυμος ἀνὴρ πολὺς ἐν φρονήσει·

Ὁ δὲ

V. 9. ἀφρόνων) παρανόμων. V. 10. ſtich. 2. υβριν) ὕβρει. V. 12. ὀρθὴ εἶναι παρὰ ἀνθρώποις) transpoſita. ibid. ſtich. 2. τελευταῖα αὐτοῦ) τελευταῖα αὐτῆς. V. 13. ſtich. 2. χαρᾶς) χαρὰ. V. 20. μισήσωσιν) μισήσει. V. 21. ſtich. 2. ἔσαι) abeſt.

Ὁ δὲ ὀλιγόψυχος, ἰσχυρῶς ἄφρων.

30. Πραΰθυμος ἀνὴρ καρδίας ἰατρός·
Σὴς δὲ ὀστέων καρδία αἰσθητική.

31. Ὁ συκοφαντῶν πένητα, παροξύνει τὸν ποιήσαντα αὐτόν·
Ὁ δὲ τιμῶν αὐτὸν, ἐλεᾷ πλωχόν.

32. Ἐν κακίᾳ αὐτῆ ἀπωσθήσεται ἀσεβής·
Ὁ δὲ πεποιθὼς τῇ ἑαυτῆ ὁσιότητι δίκαιος.

33. Ἐν καρδίᾳ ἀγαθῇ ἀνδρὸς ἀναπαύσεται σοφία,
Ἐν δὲ καρδίᾳ ἀφρόνων οὐ διαγινώσκεται.

34. Δικαιοσύνη ὑψοῖ ἔθνος·
Ἐλαττονοῦσι δὲ Φυλὰς ἁμαρτίαι.

35. Δεκλὸς βασιλεῖ ὑπηρέτης νοήμων·
Τῇ δὲ ἑαυτῆ εὐτροφίᾳ ἀφαιρεῖται ἀτιμίαν.

ΚΕΦ. ΙΕ'. XV.

Ὀργὴ ἀπόλλυσι καὶ φρονίμους·
Ἀπόκρισις δὲ ὑποπίπτουσα ἀποστρέφει θυμόν·
Λόγος δὲ λυπηρὸς ἐγείρει ὀργάς.

Alia interpretatio.

2. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται·
Στόμα δὲ ἀφρόνων ἀναγγελεῖ κακά.

ἀναγγέλλει

3. Ἐν παντὶ τόπῳ ὀφθαλμοὶ Κυρίου σκοπεύουσι κακούς τε καὶ ἀγαθούς.

4. Ἴασις γλώσσης δένδρον ζωῆς·
Ὁ δὲ συντηρῶν αὐτὴν, πλησθήσεται πνεύματος.

5. Ἄφρων μυκτηρίζει παιδείαν πατρὸς·
Ὁ δὲ φυλάσσων ἐντολὰς, πανουργότερος.

6. Ἐν πλεοναζούσῃ δικαιοσύνῃ ἰσχὺς πολλή·
Οἱ δὲ ἀσεβεῖς ὀλόριζοι (ἐκ γῆς) ὀλοῦνται.
Οἴκοις δικαίων ἰσχὺς πολλὴ·
Καρποὶ δὲ ἀσεβῶν ἀπολοῦνται.

Alia interpretatio.

7. Χείλη σοφῶν δέδεται αἰσθήσει·
Καρδίαι δὲ ἀφρόνων ἐκ ἀσφαλεῖς.

8. Θυσίαι ἀσεβῶν βδέλυγμα Κυρίῳ·
Εὐχαὶ δὲ κατευθυνόντων δεκταὶ παρ' αὐτῷ.

9. Βδέλυγμα Κυρίῳ ὁδοὶ ἀσεβοῦς·
Διώκοντας δὲ δικαιοσύνην ἀγαπᾷ.

10. Παιδεία ἀκάκῳ γνωρίζεται ὑπὸ τῶν παριόντων·
Οἱ δὲ μισοῦντες ἐλέγχους, τελευτῶσιν αἰσχρῶς.

11. Ἅδης καὶ ἀπώλεια φανερὰ παρὰ τῷ Κυρίῳ·
Πῶς οὐχὶ καὶ αἱ καρδίαι τῶν ἀνθρώπων;

12. Οὐκ ἀγαπήσει ἀπαίδευτος τοὺς ἐλέγχοντας αὐτὸν,
Μετὰ δὲ σοφῶν οὐχ ὁμιλήσει.

13. Καρδίας εὐφραινομένης, πρόσωπον θάλλει·
Ἐν δὲ λύπαις ἔσης, πνεῦμα συθρωπάζει.

ἔσα

14. Καρδία ὀρθὴ ζητεῖ αἴσθησιν·
Στόμα δὲ ἀπαιδεύτων γνώσεται κακά.

15. Πάντα τὸν χρόνον οἱ ὀφθαλμοὶ τῶν κακῶν προσδέχονται κακά·
Οἱ δὲ ἀγαθοὶ ἡσυχάζουσι διαπαντός.

16. Κρείσσων μικρὰ μερὶς μετὰ φόβου Κυρίου,

Ἡ θη-

v. 31. ſtich. 2. ἐλεᾷ) ἐλεεῖ. CAP. XV. v. 6. ſtich. 2. ὀλοῦνται) ἀπολοῦνται. v. 13. ſtich. 2. ἔσα) ἔσης. v. 15. Κρείσσων) κρεῖσσον.

Ἡ θησαυροὶ μεγάλοι μετὰ ἀφοβίας.

17. Κρείσσων ξενισμὸς λαχάνων πρὸς φιλίαν καὶ χάριν,
Ἡ παράθεσις μόχων μετ' ἔχθρας.

18. Ἀνὴρ θυμώδης παρασκευάζει μάχας·
Μακρόθυμος δὲ καὶ τὴν μέλλουσαν καταπραΰνει.

Alia interpretatio.

Μακρόθυμος ἀνὴρ καλασθέσει κρίσεις·
Ὁ δὲ ἀσεβὴς ἐγείρει μᾶλλον.

19. Ὁδοὶ ἀεργῶν ἐστρωμέναι ἀκάνθαις·
Αἱ δὲ τῶν ἀνδρείων τετριμμέναι.

20. Υἱὸς σοφὸς εὐφραίνει πατέρα·
Υἱὸς δὲ ἄφρων μυκηρίζει μητέρα αὐτῦ.

21. Ἀνοήτῳ τρίβοι ἐνδεεῖς φρενῶν·
Ἀνὴρ δὲ φρόνιμος κατευθύνων πορεύεται.

22. Ὑπερτίθενται λογισμὲς οἱ μὴ τιμῶντες συνέδρια·
Ἐν δὲ καρδίαις βελευομένων μενεῖ βελή·

23. Οὐ μὴ ὑπακέσῃ ὁ κακὸς αὐτῇ.
Οὐδὲ μὴ εἴπῃ καίριόν τι καὶ καλὸν τῷ κοινῷ.

24. Ὁδοὶ ζωῆς διανοήματα συνετῦ,
Ἵνα ἐκκλίνας ἐκ τῦ ᾅδε σωθῇ.

25. Οἴκες ὑβριστῶν κατασπᾷ Κύριος·
Ἐξήρισεν Ἔστησεν δὲ ὅριον χήρας.

26. Βδέλυγμα Κυρίῳ λογισμὸς ἄδικος·
Ἁγνῶν δὲ ῥήσεις σεμναί.

27. Ἐξόλλυσιν ἑαυτὸν ὁ δωροληπτῆς·
Ὁ δὲ μισῶν δώρων λήψεις, σώζεται.

Ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι· Cap. 16. v. 6.

Τῷ δὲ φόβῳ Κυρίε ἐκκλίνει πᾶς ἀπὸ κακῦ. †Καρδίαι *μελετῶσιν

28. † Καρδία δικαίων * μελετήσει πίστεις·
Στόμα δὲ ἀσεβῶν ἀποκριθήσεται κακά. ἀποκρίνεται

Δεκταὶ παρὰ Κυρίῳ ὁδοὶ ἀνθρώπων δικαίων· Cap. 16. v. 7.
Διὰ δὲ αὐτῶν καὶ οἱ ἐχθροὶ φίλοι γίνονται.

29. Μακρὰν ἀπέχει ὁ Θεὸς ἀπὸ ἀσεβῶν·
Εὐχαῖς δὲ δικαίων ἐπακέει.

Κρείσσων ὀλίγη λῆψις μετὰ δικαιοσύνης, Cap. 16. v. 8.
Ἡ πολλὰ γενήματα μετὰ ἀδικίας.

Καρδία ἀνδρὸς λογιζέσθω δίκαια, Cap. 16. v. 9.
Ἵνα ὑπὸ τῦ Θεῦ διορθωθῇ τὰ διαβήματα αὐτῦ.

30. Θεωρῶν ὀφθαλμὸς καλὰ, εὐφραίνει καρδίαν·
Φήμη δὲ ἀγαθὴ πιαίνει ὀστᾶ.

31. ✕ Ὁ εἰσακέων ἐλέγχες ζωῆς, ἐν μέσῳ σοφῶν αὐλισθήσεται.

32. Ὃς ἀπωθεῖται παιδείαν, μισεῖ ἑαυτόν·
Ὁ δὲ τηρῶν ἐλέγχες, ἀγαπᾷ ψυχὴν αὐτῦ.

33. Φόβος Κυρίε παιδεία καὶ σοφία.
Καὶ ἀρχὴ δόξης αὐτῦ ἀποκριθήσεται αὐτῇ· αὐτῷ.
✕ Προπορεύεται δὲ ταπεινοῖς δόξα". προσπορεύεται

ΚΕΦ. ταπεινὸς

v. 17. λαχάνων) μετὰ λαχάνων. v. 23. ὑπακούσῃ) ὑπακέσει. v. 29. stich. 5. ab hoc sticho *Edit. Rom.* incipit 16. Cap. v. 33. stich. 2. δόξης αὐτῦ ἀποκρ. αὐτῷ) δόξης ἀποκριθήσεται αὐτῇ. ib. stich. 3. abest ab *Edit. Rom.*

ΚΕΦ. Ις'. XVI.

※ Τῷ ἀνθρώπῳ προθέσεις καρδίας·
※ Καὶ παρὰ Κυρίε ἀπόκρισις γλώσσης.
2. Πάντα τὰ ἔργα τῆ ταπεινῆ φανερὰ παρὰ τῷ Θεῷ·
※ Καὶ ἑδραίζων πνεύματα Κύριος.
※ 3. Κύλισον ἐπὶ Κύριον τὰ ἔργα σε,
※ Καὶ ἑδραωθήσονται οἱ λογισμοί σε.
※ 4. Πάντα εἰργάσατο Κύριος δι' ἑαυτόν·
Οἱ δὲ ἀσεβεῖς ἐν ἡμέρᾳ κακῇ ὀλέθνται.
5. Ἀκάθαρτος παρὰ τῷ Θεῷ πᾶς ὑψηλοκάρδιος,
Χειρὶ (δὲ) χεῖρας ἐμβαλὼν ἀδίκως οὐκ ἀθωωθήσεται.
Versum 6. & seqq. vide Cap. præced. Ἀρχὴ ὁδῦ ἀγαθῆς τὸ ποιεῖν τὰ δίκαια,
Δεκτὰ δὲ παρὰ Θεῷ μᾶλλον ἢ θύειν θυσίας.
Ὁ ζητῶν τὸν Κύριον, εὑρήσει γνῶσιν μετὰ δικαιοσύνης·
Οἱ δὲ ὀρθῶς ζητοῦντες αὐτὸν, εὑρήσουσιν εἰρήνην.
Alia interpretatio versus 4. 4. *Πάντα τὰ ἔργα Κυρίε μετὰ δικαιοσύνης·
Φυλάσσεται δὲ ὁ ἀσεβὴς εἰς ἡμέραν κακήν.
10. Μαντεῖον ἐπὶ χείλεσι βασιλέως·
Ἐν δὲ κρίσει ὲ μὴ πλανηθῇ τὸ στόμα αὐτῦ.
Κυρίε 11. Ῥοπὴ ζυγῦ δικαιοσύνη παρὰ Κυρίῳ·
Τὰ δὲ ἔργα αὐτῦ στάθμια δίκαια.
12. Βδέλυγμα βασιλεῖ ὁ ποιῶν κακά·
Μετὰ γὰρ δικαιοσύνης ἑτοιμάζεται θρόνος ἀρχῆς.
13. Δεκτὰ βασιλεῖ χείλη δίκαια,
Λόγες δὲ ὀρθὲς ἀγαπᾷ.
14. Θυμὸς βασιλέως ἄγγελος θανάτε·
Ἀνὴρ δὲ σοφὸς ἐξιλάσεται αὐτόν.
15. Ἐν φωτὶ ζωῆς υἱὸς βασιλέως·
Οἱ δὲ προσδεκτοὶ αὐτῷ ὥσπερ νέφος ὄψιμον.
16. Νοστιαὶ σοφίας αἱρετώτεραι χρυσίε· χρυσίῳ
Νοστιαὶ δὲ Φρονήσεως αἱρετώτεραι ὑπὲρ ἀργύριον.
17. Τρίβοι ζωῆς ἐκκλίνεσιν ἀπὸ κακῦ· κακῶν
Μῆκος δὲ βίε ὁδοὶ δικαιοσύνης.
Ὁ δεχόμενος παιδείαν ἐν ἀγαθοῖς ἔσαι·
Ὁ δὲ Φυλάσσων ἐλέγχες, σοφισθήσεται.
Ὃς Φυλάσσει τὰς ἑαυτῦ ὁδὲς, τηρεῖ τὴν ἑαυτῦ ψυχήν·
Ἀγαπῶν δὲ ζωὴν αὐτῦ, φείσεται σώματος αὐτῦ.
18. Πρὸ συντριβῆς ἡγεῖται ὕβρις,
Πρὸ δὲ πλάματος κακοφροσύνη.
19. Κρείσσων πραΰθυμος μετὰ ταπεινώσεως, πρόθυμος
Ἢ ὃς διαιρεῖται σκῦλα μετὰ ὑβριστῶν. ὕβρεως
20. Συνετὸς ἐν πράγμασιν εὑρετὴς ἀγαθῶν·
Πεποιθὼς δὲ ἐπὶ Κυρίῳ, μακαριστός.
21. Τὲς σοφὲς καὶ συνετὲς φαύλες καλῦσιν·
Οἱ δὲ γλυκεῖς ἐν λόγῳ, πλεῖον ἀκέσονται. ἀκέσονται
22. Πηγὴ ζωῆς ἔννοια τοῖς κεκτημένοις·
Παιδεία δὲ ἀφρόνων κακή.

23. Καρ-

ΚΑΡ. XVI. v. 5. τῷ Θεῷ) θεῷ. v. * 4. ἔργα Κυρίου) ἔργα τοῦ Κυρίου. v. 11. παρὰ Κυρίου) παρὰ κυρίῳ. v. 16. χρυσίῳ) χρυσίε. v. 19. πρόθυμος) πραΰθυμος. ibid. stich. 2. ὕβρεως) ὑβριστῶν. v. 20. stich. 2. ἐπὶ Κυρίῳ) ἐπὶ θεῷ. v. 21. stich. 2. πλεῖον ἀκέσονται) πλείονα ἀκέσονται.

23. Καρδίαν σοφὴν νοήσει τὰ ἀπὸ τῆς ἰδίας σώματος,
Ἐπὶ δὲ χείλεσι φορέσει ἐπιγνωμοσύνην.
24. Κηρία μέλιτος λόγοι καλοί·
Γλύκασμα δὲ αὐτῶν ἴασις ψυχῆς.
25. Εἰσὶν ὁδοὶ δοκοῦσαι εἶναι ὀρθαὶ ἀνδρὶ,
Τὰ μέντοι τελευταῖα αὐτῶν βλέπει εἰς πυθμένα ᾅδου.
26. Ἀνὴρ ἐν πόνοις πονεῖ ἑαυτῷ,
Καὶ ἐκβιάζεται ἑαυτοῦ τὴν ἀπώλειαν·
Ὁ μέν τοι σκολιὸς ἐπὶ τῷ ἑαυτοῦ σώματι φορεῖ τὴν ἀπώλειαν,
27. Ἀνὴρ ἄφρων ὀρύσει ἑαυτῷ κακὰ,
ὀρύσει Ἐπὶ δὲ τῶν ἑαυτοῦ χειλέων θησαυρίζει πῦρ.
28. Ἀνὴρ σκολιὸς διαπέμπεται κακὰ,
Καὶ λαμπτῆρα δόλου πυρσεύει κακοῖς,
Καὶ διαχωρίζει φίλους.
29. Ἀνὴρ παράνομος ἀποπειρᾶται φίλων,
Καὶ ἀπάγει αὐτοὺς ὁδοὺς οὐκ ἀγαθάς.
30. Στηρίζων ὀφθαλμοὺς αὐτοῦ, λογίζεται διεγραμμένα,
Ὀργίζει Ὀρίζει δὲ τοῖς χείλεσιν αὐτοῦ πάντα τὰ κακά·
Οὗτος κάμινός ἐστι κακῶν.
31. Στέφανος καυχήσεως γῆρας·
Ἐν δὲ ὁδοῖς δικαιοσύνης εὑρίσκεται.
32. Κρείσσων ἀνὴρ μακρόθυμος ἰσχυροῦ,
(Καὶ ἀνὴρ φρόνησιν ἔχων γεωργίου μεγάλου)·
Ὁ δὲ κρατῶν ὀργῆς, κρείσσων τοῦ καταλαμβανομένου πόλιν.
33. Εἰς κόλπους ἐπέρχεται πάντα τοῖς ἀδίκοις·
Παρὰ δὲ Κυρίου πάντα τὰ δίκαια.

ΚΕΦ. ΙΖ'. XVII.

Κρείσσων ψωμὸς μεθ' ἡδονῆς ἐν εἰρήνῃ,
Ἢ οἶκος πλήρης πολλῶν ἀγαθῶν καὶ ἀδίκων θυμάτων μετὰ μάχης.
2. Οἰκέτης νοήμων κρατήσει δεσποτῶν ἀφρόνων,
Ἐν δὲ ἀδελφοῖς διελεῖται μέρη.
3. Ὥσπερ δοκιμάζεται ἐν καμίνῳ ἄργυρος καὶ χρυσὸς,
Οὕτως ἐκλεκταὶ καρδίαι παρὰ Κυρίῳ. Θεῷ
4. Κακὸς ὑπακούει γλώσσης παρανόμων·
Δίκαιος δὲ ὁ προσέχει χείλεσι ψευδέσι.
Τῷ πίστῳ ὅλος ὁ κόσμος τῶν χρημάτων·
Τῷ δὲ ἀπίστῳ οὐδὲ ὀβολός.
5. Ὁ καταγελῶν πλουτοῦ, παροξύνει τὸν ποιήσαντα αὐτόν·
Ὁ δὲ ἐπιχαίρων ἀπολλυμένῳ, οὐκ ἀθωωθήσεται·
Ὁ δὲ σπλαγχνιζόμενος ἐλεηθήσεται.
6. Στέφανος γερόντων τέκνα τέκνων·
Καύχημα δὲ τέκνων πατέρες αὐτῶν.

7. Οὐχ

v. 24. stich. 2. αὐτῶν) αὐτοῦ. v. 26. stich. 2. ἑαυτῷ τὴν ἀπώλειαν) τὴν ἀπώλειαν ἑαυτῷ. v. 27. stich. 2. ὀρύσσει πῦρ) θησαυρίζει πῦρ. v. 28. stich. 2. πυρσεύει) πυρσεύσει. v. 30. Στηρίζων) addit δὲ. ibid. λογίζεται) διαλογίσεται. ibid. stich. 2. Ὀργίζει) ὁρίζει. ibid. stich. 3. κακῶν) κακίας. v. 32. stich. 2. uncis inclusus abest ab *Edit. Rom.* ibid. stich. 3. τῷ καταλαμβανομένου) τοῦ abest. CAP. XVII. v. 1. stich. 2. πλούσης) deest. v. 3. stich. 2. παρὰ Θεῷ) παρὰ κυρίῳ. v. 4. stich. 3. & 4. integri desiderantur in *Edit. Rom.* v. 5. stich. 3. σπλαγχνιζόμενος) ἐπισπλαγχνιζόμενος. v. 6. à fine hujus versus adjicit *Edit. Rom.* utrumque stichum supra v. 4. omissum: τοῦ πίστου ὅλος ὁ κόσμος τῶν χρημάτων, τοῦ δὲ ἀπίστου οὐδὲ ὀβολός.

πισὰ 7. Οὐχ ἁρμόσει ἄφρονι χείλη περισσά,
Οὐδὲ δικαίῳ χείλη ψευδῆ.

8. Μισθὸς χαρίτων ἡ παιδεία τοῖς χρωμένοις·
Οὗ δ' ἂν ἐπιτρέψῃ, εὐοδωθήσεται.

9. Ὃς κρύπτει ἀδικήματα, ζητεῖ φιλίαν·
Ὃς δὲ μισεῖ κρύπτειν, διίστησι φίλους καὶ οἰκείους.

10. Συντρίβει ἀπειλὴ καρδίαν φρονίμου·
Ἄφρων δὲ μαστιγωθεὶς οὐκ αἰσθάνεται.

ἐγείρει 11. Ἀντιλογίας ἐγείρει πᾶς κακός·
Ὁ δὲ Κύριος ἄγγελον ἀνελεήμονα ἐκπέμψει αὐτῷ.

12. Ἐμπεσεῖται μέριμνα ἀνδρὶ νοήμονι·
Οἱ δὲ ἄφρονες διαλογιοῦνται κακά.

13. Ὃς ἀποδίδωσι κακὰ ἀντὶ ἀγαθῶν,
εἰς τὸς οἴκους Οὐ κινηθήσεται κακὰ ἐκ τοῦ οἴκου αὐτοῦ.

14. Ἐξουσίαν δίδωσι λόγοις ἀρχὴ δικαιοσύνης·
Προηγεῖται δὲ τῆς ἐνδείας στάσις καὶ μάχη.

15. Ὃς δίκαιον κρίνει τὸν ἄδικον, ἄδικον δὲ τὸν δίκαιον,
Ἀκάθαρτος καὶ βδελυκτὸς παρὰ θεῷ.

16. Ἵνατί ὑπῆρξε χρήματα ἄφρονι;
δὲ σοφίας Κτήσασθαι γὰς σοφίαν ἀκάρδιος ὢ δυνήσεται.

Posterius comma vers. 19. Alia interpretatio secundi commatis versûs 20.

Ὃς ὑψηλὸν ποιεῖ τὸν ἑαυτοῦ οἶκον, ζητεῖ συντριβήν·
Ὁ δὲ σκολιάζων τοῦ μαθεῖν, ἐμπεσεῖται εἰς κακά.

17. Εἰς πάντα καιρὸν φίλος ὑπαρχέτω σοι,
Ἀδελφοὶ δὲ ἐν ἀνάγκαις χρήσιμοι ἔσωσαν·
Τέτο γὰρ χάριν γενήσονται.

18. Ἀνὴρ ἄφρων ἐπικροτεῖ καὶ ἐπιχαίρει ἑαυτῷ,
Ὡς καὶ ὁ ἐγγυώμενος ἐγγύη τὸν ἑαυτοῦ φίλον.

19. Φιλαμαρτήμων χαίρει μάχαις· κείρει
X Ὑψῶν θύραν αὐτοῦ, ζητεῖ συντριβήν.

20. Ὁ δὲ σκληροκάρδιος ὢ συναντᾷ ἀγαθοῖς·
Ἀνὴρ εὐμετάβολος γλώσσῃ, ἐμπεσεῖται εἰς κακά.

21. Καρδία δὲ ἄφρονος ὀδύνη τῷ κεκλημένῳ αὐτήν·
Οὐκ εὐφραίνεται πατὴρ ἐφ' υἱῷ ἀπαιδεύτῳ.
(Υἱὸς δὲ φρόνιμος εὐφρανεῖ μητέρα αὐτοῦ.)

22. Καρδία εὐφραινομένη εὐκλεῖν ποιεῖ·
Ἀνδρὸς δὲ λυπηρᾷ ξηραίνεται τὰ ὀστᾶ.

23. Λαμβάνοντος δῶρα ἐν κόλπῳ ἀδίκως ὢ κατευοδοῦνται ὁδοί.
Ἀσεβὴς δὲ ἐκκλίνει ὁδὸς δικαιοσύνης.

24. Πρόσωπον συνετοῦ ἀνδρὸς * σοφόν. συνετὸν
Οἱ δὲ ὀφθαλμοὶ τοῦ ἄφρονος ἐπ' † ἄκρᾳ γῆς. * σοφοῦ † ἄκρα

25. Ὀργὴ πατρὶ υἱὸς ἄφρων,
Καὶ ὀδύνη τῇ τεκούσῃ αὐτόν. αὐτοῦ

26. Ζημιοῦν ἄνδρα δίκαιον ὢ καλόν·
Οὐδὲ ὅσιον ἐπιβουλεύειν δυνάστας δικαίοις.

27. Ὃς φείδεται ῥῆμα προέσθαι σκληρὸν, ἐπιγνώμων·
Μακρόθυμος δὲ ἀνὴρ φρόνιμος.

28. Ἀνοήτῳ ἐπερωτήσαντι σοφία λογισθήσεται·

V. 8. ἡ παιδεία) παιδεία. V. 13. stich. 2. εἰς τοὺς οἴκους αὐτοῦ) ἐκ τοῦ οἴκου αὐτοῦ. V. 16. stich. 2. δὲ σοφίας) γὰρ σοφίαν. V. 18. stich. 2. τὸν ἑαυτοῦ φίλον) τῶν ἑαυτοῦ φίλων. V. 19. κείρει) χαίρει. V. 21. stich. 3. εὐφρανεῖ) εὐφραίνει. V. 23. ἐν κόλπῳ ἀδίκως) ἀδίκως ἐν κόλποις. V. 25. stich. 2. τεκούσῃ αὐτοῦ) τεκούσῃ αὐτόν. V. 28. σοφία λογισθήσεται) σοφίαν σοφία λογισθήσεται.

Ἐγεὸν δὲ τις ἑαυτὸν ποιήσας, δόξει Φρόνιμος εἶναι.

ΚΕΦ. ΙΗ'. XVIII.

ΠΡοφάσεις ζητεῖ ἀνὴρ βελόμενος χωρίζεσθαι ἀπὸ Φίλων,
Ἐν παντὶ δὲ καιρῷ ἐπονείδιστος ἔσται.

2. Οὐ χρείαν ἔχει σοφίας ἐνδεὴς Φρενῶν, μᾶλλον γὰρ ἀγάγεται ἀφροσύνη.

3. Ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν, καταφρονεῖ·
Ἐπέρχεται δὲ αὐτῷ ἀτιμία καὶ ὀνειδος.

4. Ὕδωρ βαθὺ λόγος ἐν καρδίᾳ ἀνδρός·
ἀναπηδύει Ποταμὸς δὲ ἀναπηδῶν (καὶ) πηγὴ ζωῆς.

5. Θαυμάσαι πρόσωπον ἀσεβοῦς ἐ καλὸν,
Οὐδὲ ὅσιον ἐκκλίνειν τὸ δίκαιον ἐν κρίσει.

αὐτὰ 6. Χείλη ἄφρονος ἄγεσιν αὐτὸν εἰς κακὰ,
Τὸ δὲ στόμα αὐτοῦ τὸ θρασὺ θάνατον ἐπικαλεῖται.

7. Στόμα ἄφρονος συτριβὴ αὐτῷ,
Τὰ δὲ χείλη αὐτοῦ παγὶς τῇ ψυχῇ αὐτοῦ.

8. Ὀκνηρὸς καταβάλλει Φόβος·
Ψυχαὶ δὲ ἀνδρογύνων πεινάσουσιν.

9. Ὁ μὴ ἰώμενος ἑαυτὸν ἐν τοῖς ἔργοις αὐτοῦ,
Ἀδελφός ἐστι τοῦ λυμαινομένου ἑαυτόν.

10. Ἐκ μεγαλωσύνης ἰσχύος ὄνομα Κυρίου·
Αὐτῷ δὲ προσδραμόντες δίκαιοι ὑψώθησαν.

11. Ὑπαρξις πλουσίου ἀνδρὸς πόλις ὀχυρά·
Ἡ δὲ δόξα αὐτῆς μέγα ἐπισκιάζει. ἐπισκιάσει

12. Πρὸ συντριβῆς ὑψοῦται καρδία ἀνδρὸς, καὶ πρὸ δόξης ταπεινοῦται.

13. Ὃς ἀποκρίνεται λόγον πρὶν ἀκοῦσαι, Ἀφροσύνη αὐτῷ ἐστι καὶ ὄνειδος.

14. Θυμὸν ἀνδρὸς πραΰνει θεράπων Φρόνιμος·
Ὀλιγόψυχον δὲ ἄνδρα τίς ὑποίσει;

15. Καρδία Φρονίμου κτᾶται αἴθησιν·
Ὦτα δὲ σοφῶν ζητεῖ ἔννοιαν.

16. Δόμα ἀνθρώπου ἐμπλατύνει αὐτὸν, Καὶ παρὰ δυνάστας καθιζάνει αὐτόν.

17. Δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ·
Ὡς δ' ἂν ἐπιβάλῃ ὁ ἀντίδικος, ἐλέγχεται.

18. Ἀντιλογίας παύει κλῆρος, σιγηρὸς
Ἐν δὲ δυνάσαις ὁρίζει.

19. Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, Ὡς πόλις ὀχυρὰ καὶ ὑψηλὴ,
Ἰσχύει δὲ ὥσπερ τεθεμελιωμένον βασίλειον.

20. Ἀπὸ καρποῦ στόματος ἀνὴρ πιμπλήσει κοιλίαν αὐτοῦ,
Ἀπὸ δὲ καρπῶν χειλέων αὐτοῦ ἐμπλησθήσεται.

21. Θάνατος καὶ ζωὴ ἐν χειρὶ γλώσσης·
Οἱ δὲ κρατοῦντες αὐτῆς, ἔδονται τοὺς καρποὺς αὐτῆς.

22. Ὃς εὗρε γυναῖκα ἀγαθὴν, εὗρε χάριτας·
Ἔλαβε δὲ παρὰ Κυρίου ἱλαρότητα.

Ὃς

CAP. XVIII. v. 2. ἀγάγεται) ἄγεται. v. 6. ἄγεσιν αὐτὰ) ἄγεσιν αὐτὸν. v. 9. ἰώμενος ἑαυτὸν) ἰώμενος αὐτὸν. v. 11. ſtich. 2. ἐπισκιάσει) ἐπισκιάζει. v. 18. ſtich. 2. δυνάσαις) δυνασείαις. v. 20. Ἀπὸ καρποῦ) ἀπὸ καρπῶν. ibid. πιμπλήσει) πίμπλησι. v. 22. ſtich. 2. παρὰ Κυρίου) παρὰ Θεοῦ.

Ὃς ἐκβάλλει γυναῖκα ἀγαθὴν, ἐκβάλλει τὰ ἀγαθά·
Ὁ δὲ κατέχων μοιχαλίδα, ἄφρων καὶ ἀσεβής.

23. Δεήσεις φθέγγεται πένης·
Ὁ δὲ πλάσιος ἀποκρίνεται σκληρά.

24. Ἀνὴρ ἑταίρων πρὸς ἑταιρίαν·
Καὶ ἔστι φίλος προσκολληθεὶς ὑπὲρ ἀδελφόν.

ΚΕΦ. Ιθ'. XIX.

Ρείσσων ἐστὶ πλωχὸς πορευόμενος ἐν ἁπλότητι αὐτῦ,
Ἢ στρεβλὸς τοῖς χείλεσιν αὐτῦ, καὶ αὐτὸς ἀνόητος.

2. Καίγε χωρὶς ἐπιστήμης ψυχὴ ἐκ ἀγαθή·
Καὶ ὁ σπεύδων τοῖς ποσὶν, ἁμαρτάνει.

3. Ἀφροσύνη ἀνδρὸς λυμαίνεται τὰς ὁδὸς αὐτῦ·
Τὸν δὲ Θεὸν αἰτιᾶται τῇ καρδίᾳ αὐτῦ.

4. Πλῆτος προσίθησι φίλους πολλούς·
Ὁ δὲ πλωχὸς καὶ ἀπὸ τῦ ὑπάρχοντος φίλυ λείπεται.

5. Μάρτυς ψευδὴς ἐκ ἀτιμώρητος ἔσαι·
Ὁ δὲ ἐγκαλῶν ἀδίκως, ὃ διαφεύξεται.

6. Πολλοὶ θεραπεύσι πρόσωπα βασιλέων·
Πᾶς δὲ ὁ κακὸς γίνεται ὄνειδος ἀνδρί.

7. Πᾶς ὃς ἀδελφὸν πλωχὸν μισεῖ, καὶ Φιλίας μακρὰν ἔσαι.
Ἔννοια ἀγαθὴ τοῖς εἰδόσιν αὐτὴν ἐγγιεῖ·
Ἀνὴρ δὲ Φρόνιμος εὑρήσει αὐτήν.
Ὁ πολλὰ κακοποιῶν, τελεσιεργεῖ κακίαν·
Ὃς δὲ ἐρεθίζει λόγυς, ὃ σωθήσεται.

8. Ὁ κλώμενος Φρόνησιν, ἀγαπᾷ ἑαυτόν·
Ὃς δὲ Φυλάσσει Φρόνησιν, εὑρήσει ἀγαθά.

9. Μάρτυς ψευδὴς ἐκ ἀτιμώρητος ἔσαι·
Ὃς δ' ἂν ἐκκαύσῃ κακίαν, ἀπολεῖται ὑπ' αὐτῆς.

10. Οὐ συμφέρει ἄφρονι τρυφὴ,
Καὶ ἐὰν οἰκέτης ἄρξηται μεθ' ὕβρεως δυνατῶν. δυναστεύειν

11. * Νοήμων ἀνὴρ μακροθυμεῖ·
Τὸ δὲ καύχημα αὐτῦ ἐπέρχεσθαι παρανόμοις. * Ἐλεήμων

12. Βασιλέως ἀπειλὴ ὁμοία βρυγμῷ λέοντος·
Ὥσπερ δὲ δρόσος ἐπὶ χόρτῳ, ἔτως τὸ ἱλαρὸν αὐτῦ.

13. Αἰσχύνη πατρὶ υἱὸς ἄφρων, (καὶ ὀδύνη τῇ τεκέσῃ αὐτῦ)·
Καὶ ἐκ ἐγναὶ εὐσχαὶ ἀπὸ μιαθώματος ἑταίρας.

14. Οἶκον καὶ ὕπαρξιν μερίζεσι πατέρες μεριῦσιν παισί·
Παρὰ δὲ Κυρίυ ἁρμόζεται γυνὴ ἀνδρί.

15. Δειλία κατέχει ἀνδρόγυνον·
Ψυχὴ δὲ ἀεργῦ πεινάσει.

16. Ὃς Φυλάσσει ἐντολὴν, τηρεῖ τὴν ἑαυτῦ ψυχήν·
Ὁ δὲ καταφρονῶν τῶν ἑαυτῦ ὁδῶν, ἀπολεῖται.

17. Δανείζει Κυρίῳ ὁ ἐλεῶν πλωχόν· Θεῷ
Κατὰ δὲ τὸ δόμα αὐτῦ ἀνταποδώσει αὐτῷ.

18 Παίδευε υἱόν σε, ἔτως γὰρ ἔσαι εὐέλπις·
Εἰς δὲ ὕβριν μὴ ἐπαίρε τῇ ψυχῇ σε.

CAP. XIX. v. 4. ab hoc versu *Edit. Rom.* incipit 19. Cap. v. 6. stich. 2. κακὸς γίνεται ἄδικος) ὁ κακὸς γίνεται ὄνειδος. v. 13. (καὶ ὀδύνη τῇ τεκέσῃ αὐτῦ) non habet. v. 14. μεριῦσιν) μερίζουσι.

19. Κακόφρων ἀνὴρ πολλὰ ζημιωθήσεται·
Ἐὰν δὲ λοιμεύηται, καὶ τὴν ψυχὴν (αὐτῦ) προσθήσει.

20. Ἄκουε υἱὲ παιδείαν πατρὸς σε,
Ἵνα σοφὸς γένῃ ἐπ' ἐχάτων σε.

21. Πολλοὶ λογισμοὶ ἐν καρδίᾳ ἀνδρὸς·
Ἡ δὲ βελὴ τῦ Κυρίε εἰς τὸν αἰῶνα μενεῖ.

22. Καρπὸς ἀνδρὶ ἐλεημοσύνη·
Κρείσσων δὲ πλωχὸς δίκαιος ἢ πλέσιος ψεύσης.

23. Φόβος Κυρίε εἰς ζωὴν ἀνδρί·
Ὁ δὲ ἄφοβος αὐλιωθήσεται ἐν τόποις, οὗ ἐκ ἐπισκοπεῖται γνῶσις.

24. Ὁ ἐγκρύπλων εἰς τὸν κόλπον αὐτῦ χεῖρας ἀδίκως,
Οὐδὲ τῷ ςόματι ἐ μὴ προσαγάγῃ αὐτάς.

25. Λοιμῦ μαςιγουμένε, ἄφρων πανεργότερος ἔςαι·
Ἐὰν δὲ ἐλέγχῃς ἄνδρα φρόνιμον, νοήσει αἴθησιν.

26. Ὁ ἀτιμάζων πατέρα καὶ ἀπωθέμενος μητέρα αὐτῦ, καταισχυνθήσεται καὶ ἐπονείδιςος ἔςαι.

27. Υἱὸς ἀπολειπόμενος φυλάζαι παιδείαν πατρὸς, μελετήσει ῥήσεις κακάς.

καθυβρίζει κρίσις 28. Ὁ ἐγγυώμενος παῖδα ἄφρονα, καθυβρίσει δικαίωμα·
Στόμα δὲ ἀσεβῶν καταπίεται κρίσεις.

ὁμοίως ἄφροσιν 29. Ἑτοιμάζονται ἀκολάςοις μάςιγες,
Καὶ τιμωρίαι ὥμοις ἀφρόνων.

ΚΕΦ. Κ'. XX.

Ἀκόλαςον οἶνος, καὶ ὑβριςικὸν μέθη·
Πᾶς δὲ ὁ συμμενόμενος, ἐκ ἔςαι σοφός.
(Πᾶς δὲ ἄφρων τοιύτοις συμπλέκεται.)

2. Οὐ διαφέρει ἀπειλὴ βασιλέως θυμῦ λέοντος· ὁ δὲ παροξύνων αὐτὸν, ἑαυτὸν μαρτάνει εἰς τὴν ἑαυτῦ ψυχήν.

3. Δόξα ἀνδρὶ ἀποςρέφεθαι λοιδορίας· Alia interpretatio
Πᾶς δὲ ἄφρων τοιύτοις συμπλέκεται.

4. Ὀνειδιζόμενος ὀκνηρὸς ἐκ αἰχύνεται, ὡσαύτως καὶ ὁ δανειζόμενος σῖτον ἐν ἀμητῷ.

5. Ὕδωρ βαθὺ βελὴ ἐν καρδίᾳ ἀνδρός·
Ἀνὴρ δὲ φρόνιμος ἐξαντλήσει αὐτήν.

6. Μέγα ἄνθρωπος καὶ τίμιον ἀνὴρ ἐλεήμων·
Ἄνδρα δὲ πισὸν ἔργον εὑρεῖν.

7. Ὃς ἀναςρέφεται ἄμωμος ἐν δικαιοσύνῃ, μακαρίσς τὸς παῖδας αὐτῦ καταλείψει.

8. Ὅταν καθίσῃ βασιλεὺς δίκαιος ἐπὶ θρόνε,
Οὐκ ἐναντιῦται ἐν ὀφθαλμοῖς αὐτῦ πᾶν πονηρόν.

9. Τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν;
Ἢ τίς παῤῥησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν;

20. Κακολογοῦντος πατέρα ἢ μητέρα σβεσθήσεται λαμπὴς,
Αἱ δὲ κόραι τῶν ὀφθαλμῶν αὐτῦ ὀψονται σκότος.

21. Μερὶς

v. 22. ſtich. 2. ψεύσης) ψευδὴς. v. 24. ſtich. 2. προσαγάγῃ) προσενείκῃ. v. 25. ἔσαι) γίνεται. v. 28. καθυβρίζει) καθυβρίσει. ibid. ſtich. 2. κρίσις) κρίσεις. CAP. XX. v. 1. ſtich. 2. abeſt ab *Edit. Rom.* v. 2. ἑαυτὸν) αὐτὸν. v. 8. καθίσῃ βασιλεὺς δίκαιος) tranſpoſita.

21. Μερὶς ἐπισπουδαζομένη ἐν πρώτοις,
Ἐν τοῖς τελευταίοις οὐκ εὐλογηθήσεται.

22. Μὴ εἴπῃς· τίσομαι τὸν ἐχθρόν·
Ἀλλὰ ὑπόμεινον τὸν Κύριον, ἵνα σοι βοηθήσῃ.

10 * Στάθμιον μέγα καὶ μικρὸν, καὶ μέτρα διττὰ, ἀκάθαρτα ἐνώπιον Κυρίε καὶ ἀμφότερα·

11. Καὶ ὁ ποιῶν αὐτὰ, ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῦ συμποδισθήσεται.
Νεανίσκος μετὰ ὁσίε, καὶ εὐθεῖα ἡ ὁδὸς αὐτῦ.

12. Οὖς ἀκέει, καὶ ὀφθαλμὸς ὁρᾷ·
Κυρίε ἔργα καὶ ἀμφότερα.

13. Μὴ ἀγάπα καταλαλεῖν, ἵνα μὴ ἐξαρθῇς·
Διάνοιξον δὲ τὰς ὀφθαλμάς σε, καὶ ἐμπλήσθητι ἄρτων.

14. ✕ Πονηρὸν, πονηρὸν, ἐρεῖ ὁ κλώμενος·
✕ Καὶ πορευθεὶς, τότε καυχήσεται.

✕ 15. Ἔστι χρυσίον, καὶ πλῆθος ἐσωτάτων, καὶ σκεῦος τίμιον χείλη γνώσεως.

✕ 16. Λάβε τὸ ἱμάτιον αὐτῦ, ὅτι ἐνεγγυήσατο ἀλλότριον,
✕ Καὶ περὶ ξένης ἐνεχύρασεν αὐτόν.

✕ 17. Ἡδύνθη ἀνθρώπῳ ἄρτος ψεύδες·
✕ Καὶ μετὰ τῦτο πληρωθήσεται τὸ στόμα αὐτῦ ψηφίδος.

✕ 18. Λογισμοὶ ἐν βελῇ ἑτοιμασθήσεται·
✕ Καὶ ἐν κυβερνήσεσι ποίει πόλεμον.

✕ 19. Ἀποκαλύπτων μυστήριον, πορεύεται δόλῳ·
✕ Καὶ ἀπατῶντι χείλη αὐτῦ μὴ συναναμίσγε.

Vers. 20. 23. Βδέλυγμα Κυρίῳ διττὸν στάθμιον,
Καὶ ζυγὸς δόλιος ὐ καλὸν ἐνώπιον αὐτῦ.

21, 22. ſuprà commati 9. ſunt ſubnexi.

24. Παρὰ Κυρίε εὐθύνεται διαβήματα ἀνδρί·
Θνητὸς δὲ πῶς ἂν νοήσαι τὰς ὁδὰς αὐτῦ;

25. Παγὶς ἀνδρὶ ταχύ τι τῶν ἰδίων ἁγιάσαι·
Μετὰ γὰρ τὸ εὔξασθαι μετανοεῖν γίνεται.

26. Λικμήτωρ ἀσεβῶν βασιλεὺς σοφὸς,
Καὶ ἐπιβαλεῖ αὐτοῖς τροχόν.

27. Φῶς Κυρίε πνοὴ ἀνθρώπων,
(Ἡ λύχνος,) ὃς ἐρευνᾷ ταμιεῖα κοιλίας.

28. Ἐλεημοσύνη καὶ ἀλήθεια φυλακὴ βασιλεῖ,
Καὶ περικυκλώσουσιν ἐν δικαιοσύνῃ τὸν θρόνον αὐτῦ.

29. Κόσμος νεανίαις σοφία·
Δόξα δὲ πρεσβυτέρων πολιαί·

30. Ὑπώπια καὶ συντρίμματα συναντᾷ κακοῖς, πληγαὶ δὲ εἰς ταμιεῖα κοιλίας.

ΚΕΦ. ΚΑ'. XXI.

Ὥσπερ ὁρμὴ ὕδατος, ἕτως καρδία βασιλέως ἐν χειρὶ Θεῦ·
Οὗ δ' ἂν θέλων νεύσῃ, ἔκλινεν αὐτήν.

2. Πᾶς ἀνὴρ φαίνεται ἑαυτῷ δίκαιος·
Κατευθύνει δὲ καρδίας Κύριος.

3. Ποιεῖν δίκαια καὶ ἀληθεύειν,
Ἀρεστὰ παρὰ Θεῷ μᾶλλον ἢ θυσιῶν αἷμα.

4. Με-

v. 22. ſtich. 2. Ἀλλὰ ὑπόμ.) ἀλλ' ὑπόμεινον. v. 13. ſtich. 2. Διάνοιξον δὲ) δὲ abeſt. v. 23. διαβήματα) τὰ διαβήματα. v. 27. ſtich. 2. (Ἡ λύχνος) abeſt. CAP. XXI. v. 1. ſtich. 2. in Rom. οὗ ἐὰν θέλων νεῦσαι ἐκεῖ ἔκλινεν αὐτήν.

4. Μεγαλόφρων ἐφ' ὕβρει θρασυκάρδιος·
Λαμπρὸς δὲ ἀσεβῶν ἁμαρτίαι.

5. ✕ Λογισμοὶ συντέμνοντος πλὴν εἰς περισσείαν·
Καὶ πᾶς ἐπισπεύδων πλὴν εἰς ὑστέρημα.

6. Ὁ ἐνεργῶν θησαυρίσματα γλώσσῃ ψευδεῖ,
Μάταια διώκει (καὶ) ἔρχεται) ἐπὶ παγίδας θανάτου.

7. Ὄλεθρος ἀσεβέσιν ἐπιξενωθήσεται·
Οὐ γὰρ βέλονται πράσσειν τὰ δίκαια.

8. Πρὸς τὰς σκολιὰς σκολιὰς ὁδὰς ἀποστελεῖ ὁ Θεός·
Ἁγνὰ γὰρ (καὶ) ὀρθὰ τὰ ἔργα αὐτοῦ.

9. Κρεῖσσον οἰκεῖν ἐπὶ γωνίας ὑπαίθρου,
Ἢ ἐν κεκονιαμένοις μετὰ ἀδικίας καὶ ἐν οἴκῳ κοινῷ.

10. Ψυχὴ ἀσεβοῦς ✕ ἐπιθυμήσει πονηρόν· οὐκ ἐλεηθήσεται ὑπ' ἐδενὸς τῶν ἀνθρώπων.

11. Ζημιωμένου ἀκολάστου, πανουργότερος γίνεται ὁ ἄκακος·
Συνιὼν δὲ σοφὸς δέξεται γνῶσιν.

12. Συνιεῖ δίκαιος καρδίας ἀσεβῶν,
Καὶ φαυλίζει ἀσεβεῖς ἐν κακοῖς.

13. Ὃς φράσσει τὰ ὦτα αὐτοῦ τοῦ μὴ ὑπακοῦσαι ἀθενοῦς,
Καὶ αὐτὸς ἐπικαλέσεται, καὶ οὐκ ἔσται ὁ εἰσακούων.

14. Δόσις λάθριος ἀγαπητέπει ὀργάς·
Δώρων δὲ ὁ φειδόμενος θυμὸν ἐγείρει ἰσχυρόν.

15. Εὐφροσύνη δικαίων ποιεῖν κρίμα·
Ὄσιος δὲ ἀκάθαρτος παρὰ κακέργοις.

16. Ἀνὴρ πλανώμενος ἐξ ὁδοῦ δικαιοσύνης, ἐν συναγωγῇ γιγάντων ἀναπαύσεται.

17. Ἀνὴρ ἐνδεὴς ἀγαπᾷ εὐφροσύνην·
Φιλῶν οἶνον καὶ ἔλαιον ✕ ὁ πλουτήσει. εἰς πλοῦτον

18. Περικάθαρμα δὲ δικαίου ἄνομος,
Καὶ ἀντὶ εὐθέων ἀσύνθετος.

19. Κρεῖσσον οἰκεῖν ἐν γῇ ἐρήμῳ, τῇ
Ἢ μετὰ γυναικὸς μαχίμου (καὶ γλωσσώδους) καὶ ὀργίλου.

20. Θησαυρὸς ἐπιθυμητὸς ἀναπαύσεται ἐπὶ δώματος σοφοῦ· σόματος
Ἄφρονες δὲ ἄνδρες καταπίονται αὐτόν.

21. Ὁδὸς δικαιοσύνης καὶ ἐλεημοσύνης εὑρήσει ζωὴν καὶ δόξαν.

22. Πόλεως ὀχυρᾶς ἐπέβη σοφὸς, Πόλεις
Καὶ καθεῖλε τὸ ὀχύρωμα ἐφ' ᾧ ἐπεποίθεισαν οἱ ἀσεβεῖς. ὀχυρὰς

23. Ὃς φυλάσσει τὸ στόμα αὐτοῦ καὶ τὴν γλῶσσαν, διατηρεῖ ἐκ θλίψεως τὴν ψυχὴν αὐτοῦ.

24. Θρασὺς καὶ αὐθάδης καὶ ἀλαζὼν λοιμὸς καλεῖται·
Ὃς δὲ μνησικακεῖ, παράνομος.

25. Ἐπιθυμίαι ὀκνηρὸν ἀποκλενοῦσιν·
Οὐ γὰρ προαιροῦνται αἱ χεῖρες αὐτοῦ ποιεῖν τι.

26. Ἀσεβὴς ἐπιθυμεῖ ὅλην τὴν ἡμέραν ἐπιθυμίας κακάς·
Ὁ δὲ δίκαιος ἐλεεῖ καὶ οἰκτείρει ἀφειδῶς. ἐλεᾷ

27. Θυσίαι ἀσεβῶν βδέλυγμα Κυρίῳ.
Καὶ γὰρ παρανόμως προσφέρουσιν αὐτάς.

28. Μάρτυς ψευδὴς ἀπολεῖται·

Ἀνὴρ

V. 4. ἐφ' ὕβρει) ἐν ὕβρει. ibid. ſtich. 2. ἁμαρτίαι) ἁμαρτία. V. 6. ſtich. 2. (καὶ ἔρχεται) deeſt. V. 8. ἀποστελεῖ) ἀποστέλλει. V. 13. ὑπακοῦσαι) ἐπακοῦσαι. V. 25. ἀποκλενοῦσιν) ἀποκλείσουσιν.

Ἀνὴρ δὲ ὑπήκοος φυλασσόμενος λαλήσει.

29. Ἀσεβὴς ἀνὴρ ἀναιδῶς ὑφίσταται προσώπῳ·
Ὁ δὲ εὐθὺς αὐτὸς συνιεῖ τὰς ὁδὸς αὐτῦ.

30. Οὐκ ἔστι σοφία, ἐκ ἔστιν ἀνδρεία,
Οὐκ ἔστι βελὴ πρὸς τὸν ἀσεβῆ.

31. Ἵππος ἑτοιμάζεται εἰς ἡμέραν πολέμυ·
Παρὰ δὲ Κυρίυ ἡ βοήθεια.

ΚΕΦ. ΚΒ'. XXII.

Αἱρετώτερον ὄνομα καλὸν ἢ πλοῦτος πολὺς,
Ὑπὲρ δὲ ἀργύριον καὶ χρυσίον χάρις ἀγαθή.

2. Πλέσιος καὶ πλωχὸς συνήντησαν ἀλλήλοις·
Ἀμφοτέρυς δὲ ὁ Κύριος ἐποίησε.

3. Πανῦργος ἰδὼν πονηρὸν τιμωρέμενον κρεαταιῶς, αὐτὸς παιδεύεται·
Οἱ δὲ ἄφρονες παρελθόντες ἐζημιώθησαν.

4. Γενεὰ σοφίας φόβος Κυρίυ,
Καὶ πλῦτος, καὶ δόξα, καὶ ζωή.

5. Τρίβολοι καὶ παγίδες ἐν ὁδοῖς σκολιαῖς·
Ὁ δὲ φυλάσσων τὴν ἑαυτῦ ψυχὴν, ἀφέξεται αὐτῶν.

6. ✕ Ἐγκαινισμὸς νέυ κατὰ τὴν ὁδὸν αὐτῦ,
Καίγε ὅταν γηράσῃ, ἐκ ἀποστήσεται ἀπ' αὐτῦ.

7. Πλέσιοι πλωχῶν ἄρξυσι·
Καὶ οἰκέται ἰδίοις δεσπόταις δανειῦσιν.

8. Ὁ σπείρων φαῦλα, θερίσει κακά·
Πληγὴν δὲ ἔργων αὐτῦ συντελέσει.

9. Ἄνδρα ἱλαρὸν καὶ δότην ἀγαπᾷ ὁ Θεός· εὐλογεῖ
Ματαιότητα δὲ ἔργων αὐτῦ συντελέσει.

9. Ὁ ἐλεῶν πλωχὸν, αὐτὸς διατραφήσεται·
Τῶν γὰρ ἑαυτῦ ἄρτων δέδωκε τῷ πλωχῷ.

Νίκην καὶ τιμὴν περιποιεῖται ὁ δῶρα διδές·
Τὴν μέν τοι ψυχὴν ἀφαιρεῖται τῶν κεκλημένων.

10. Ἔκβαλε ἐκ συνεδρίυ λοιμὸν, καὶ συνεξελεύσεται αὐτῷ νεῖκος·
Ὅταν γὰρ καθίσῃ ἐν συνεδρίῳ, πάντας ἀτιμάζει.

11. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας,
Δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι·
Χείλεσι ποιμαίνει βασιλεύς.

12. Οἱ δὲ ὀφθαλμοὶ Κυρίυ διατηροῦσιν αἰθησιν· διατηρήσουσιν
Φαυλίζει δὲ λόγυς παράνομος.

13. Προφασίζεται καὶ λέγει ὀκνηρός·
Λέων ἐν ταῖς ὁδοῖς, ἐν δὲ ταῖς πλατείαις φονευταί.

14. Βόθρος βαθὺς στόμα παρανόμυ·
Ὁ δὲ μισηθεὶς ὑπὸ Κυρίυ, ἐμπεσεῖται εἰς αὐτόν.

Εἰσὶν ὁδοὶ κακαὶ ἐνώπιον ἀνδρὸς,
Καὶ ἐκ ἀγαπᾷ τὸ ἀποστρέψαι ἀπ' αὐτῶν·
Ἀποστρέφειν δὲ δεῖ ἀπὸ ὁδὸ σκολιᾶς καὶ κακῆς.

15. Ἄνοια ἐξῆπται καρδίᾳ νέυ·
Ῥάβδος δὲ καὶ παιδεία μακρὰν ἀπ' αὐτῦ.

16. Ὁ

CAP. XXII. v. 9. stich. 2. δέδωκεν τῷ) ἔδωκεν τῷ. ibid. stich. 3. διδὲς) δοὺς. v. 12. διατηρήσουσιν) διατηροῦσιν. v. 15. καρδίᾳ) καρδίας.

16. Ὁ συκοφαντῶν πένητα, πολλὰ ποιεῖ τὰ ἑαυτῷ (κακά).
Δίδωσι δὲ πλησίῳ ἐπ' ἐλάωνι.

17. Λόγοις σοφῶν παράβαλε σὸν ὅς, καὶ ἄκουε ἐμὸν λόγον.
Τὴν δὲ σὴν καρδίαν ἐπίσησον, ἵνα γνῷς ὅτι καλοί εἰσιν.

18. Καὶ ἐὰν ἐμβάλῃς αὐτοὺς εἰς τὴν καρδίαν σου,
Εὐφρανοῦσί σε ἅμα ἐπὶ σοῖς χείλεσι.

19. Ἵνα σου γένηται ἐπὶ Κύριον ἡ ἐλπὶς,
Καὶ γνωρίσῃ σοι τὴν ὁδὸν αὐτοῦ.

20. Καὶ σὺ δὲ ἀπόγραψαι αὐτὰ σεαυτῷ τριστῶς,
Εἰς βελὴν καὶ γνῶσιν (ἐπὶ τὸ πλάτος τῆς καρδίας σου).

21. Διδάσκω οὖν σε ἀληθῆ λόγον, (καὶ γνῶσιν ἀληθῆ ὑπακέειν,)
λόγοις. σε — Τοῦ ἀποκρίνεσθαί (σε) λόγους ἀληθείας τοῖς προβαλλομένοις σοι.

22. Μὴ ἀποδιάζου πένητα, πλωχὸς γάρ ἐστι·
Καὶ μὴ ἀτιμάσῃς ἀθενῆ ἐν πύλαις.

ἑαυτῷ ῥύσῃ σὴν — 23. Ὁ γὰρ Κύριος κρινεῖ αὐτοῦ τὴν δίκην, καὶ ῥύσει τὴν ἄσυλον ψυχήν.

24. Μὴ ἴσθι ἑταῖρος ἀνδρὶ θυμώδει,
Φίλῳ δὲ ὀργίλῳ μὴ συναυλίζου·

25. Μήποτε μάθῃς τῶν ὁδῶν αὐτοῦ, καὶ λάβῃς βρόχους τῇ σῇ ψυχῇ.

26. Μὴ δίδου σεαυτὸν εἰς ἐγγύην, αἰσχυνόμενος πρόσωπον·

27. Ἐὰν γὰρ μὴ ἔχῃς πόθεν ἀποτίσῃς,
Λήψονται τὸ στρῶμα τὸ ὑπὸ τὰς πλευράς σου.

28. Μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου.

29. Ὁρατικὸν ἄνδρα καὶ ὀξὺν ἐν τοῖς ἔργοις αὐτοῦ
Βασιλεῦσι δεῖ παρεσάναι,
Καὶ μὴ παρισάναι ἀνδράσι νωθροῖς.

ΚΕΦ. ΚΓ'. XXIII.

ΕΑΝ καθίσῃς δειπνεῖν ἐπὶ τραπέζης δυνάστου,
Νοητῶς νόει τὰ παρατιθέμενά σοι·

2. Καὶ ἐπίβαλλε τὴν χεῖρά σου, εἰδὼς ὅτι τοιαῦτά σε δεῖ παρασκευάσαι.
Εἰ δὲ ἁπλησότερος εἶ, 3. μὴ ἐπιθύμει τῶν ἐδεσμάτων αὐτοῦ·
Ταῦτα γὰρ ἔχεται ζωῆς ψευδοῦς.

4. Μὴ παρεκλείνῃς πένης ὢν πλησίον·
Τῇ δὲ σῇ ἐννοίᾳ ἀπόχου.

5. Ἐὰν ἐπισήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτὸν, ἐδαμοῦ φανεῖται·
Κατεσκεύασαι γὰρ αὐτῷ πτέρυγας ὥσπερ ἀετοῦ,
Καὶ ὑποστρέφει εἰς τὸν οἶκον τοῦ προεστηκότος αὐτοῦ.

6. Μὴ συνδείπνει ἀνδρὶ βασκάνῳ,
Μηδὲ ἐπιθύμει τῶν βρωμάτων αὐτοῦ·

7. Ὃν τρόπον γὰρ εἴ τις καλαπίοι τρίχα,
Οὕτως ἐσθίει καὶ πίνει.
Μηδὲ πρὸς σὲ εἰσαγάγῃς αὐτὸν, καὶ φάγῃς τὸν ψωμόν σου μετ' αὐτοῦ·

8. Ἐξεμέσῃ γὰρ αὐτὸν, καὶ λυμανεῖται τοὺς λόγους σου τοὺς καλούς. — Ἐξεμέσει

9. Εἰς

v. 16. (κακὰ) abeſt. v. 17. παράβαλε) παράβαλλε. v. 19. ſtich. 2. ὁδὸν αὐτοῦ) ὁδόν σου. v. 21. γνῶσιν ἀληθῆ) γνῶσιν ἀγαθήν. ibid. ſtich. 2. λόγοις) λόγους. ibid. σε) σοι. v. 23. ἑαυτοῦ τὴν δίκην) αὐτοῦ τὴν κρίσιν. v. 27. ἔχῃς πόθεν ἀποτίσῃς) ἔχῃ πόθεν ἀποτίσῃ. v. 29. ſtich. 3. παρεσάναι) παρεσᾶναι.

9. Εἰς ὦτα ἄφρονος μηδὲν λέγε,
Μήποτε μυκληρίσῃ τὰς συνετὰς λόγας σε.
10. Μὴ μεταθῇς ὅρια αἰώνια, (ἃ ἔθεντο οἱ πατέρες σε,)
Εἰς δὲ κλῆμα ὀρφανῶν μὴ εἰσέλθῃς·
11. Ὁ γὰρ λυτρέμενος αὐτὰς Κύριος, κραταιός ἐστι,
Καὶ κρινεῖ τὴν κρίσιν αὐτῶν μετὰ σοῦ.
12. Δὸς εἰς παιδείαν τὴν καρδίαν σε,
Τὰ δὲ ὦτά σε ἑτοίμασον λόγοις αἰσθήσεως.
13. Μὴ ἀπόσχῃ νήπιον παιδεύων·
Ὅτι ἐὰν παταξῇς αὐτὸν ῥάβδῳ, οὐ μὴ ἀποθάνῃ.
14. Σὺ μὲν γὰρ παταξεις αὐτὸν ῥάβδῳ,
Τὴν δὲ ψυχὴν αὐτοῦ ἐκ θανάτου ῥύσῃ.
15. Υἱὲ ἐὰν σοφὴ γένηταί σε ἡ καρδία,
Εὐφρανεῖς καὶ τὴν ἐμὴν καρδίαν,
ἐνδιατρί- 16. Καὶ ἐνδιαθρύψει λόγοις τὰ σὰ χείλη
ψῃ Πρὸς τὰ ἐμὰ χείλη, ἐὰν ὀρθὰ ὦσι.
17. Μὴ ζηλέτω ἡ καρδία σε ἁμαρτωλοὺς,
Ἀλλὰ ἐν φόβῳ Κυρίου ἴσθι ὅλην τὴν ἡμέραν·
αὐτὰ 18. Ἐὰν γὰρ τηρήσῃς ταῦτα, ἔσαι σοι ἔγγονα,
Ἡ δὲ ἐλπίς σε οὐκ ἀποσήσεται.
19. Ἄκουε υἱὲ, καὶ σοφὸς γίνου,
Καὶ κατεύθυνε ἐννοίας σῆς καρδίας.
20. Μὴ ἴσθι οἰνοπότης,
Μηδὲ ἐκλείνου συμβολαῖς, κρεῶν τε ἀγορασμοῖς·
21. Πᾶς γὰρ μέθυσος καὶ πορνοκόπος πλωχεύσει,
Καὶ ἐνδύσεται διεῤῥηγμένα καὶ ῥακώδη πᾶς ὑπνώδης.
22. Ἄκουε υἱὲ πατρὸς τοῦ γεννήσαντός σε,
Καὶ μὴ καταφρόνει ὅτι γεγήρακέ σε ἡ μήτηρ.
23. Ἀλήθειαν κτῆσαι, καὶ μὴ ἀπώσῃ σοφίαν καὶ παιδείαν καὶ σύνεσιν.
24. Καλῶς ἐκτρυφήσει πατὴρ δικαίου, ἐκτρέφει
Ἐπὶ δὲ υἱῷ σοφῷ εὐφρανθήσεται ἡ ψυχὴ αὐτοῦ· εὐφραί-
25. Εὐφρανέσθω ὁ πατήρ σε καὶ ἡ νεται
μήτηρ σε ἐπὶ σοί,
Καὶ χαιρέτω ἡ τεκοῦσά σε·
26. Δός μοι υἱὲ σὴν καρδίαν,
Οἱ δὲ σοὶ ὀφθαλμοὶ ἐμὰς ὁδοὺς τηρείτωσαν.
27. Πίθος γὰρ τετρημένος ἐστὶν ἀλλότριος οἶκος, καὶ φρέαρ στενὸν ἀλλότριον.
28. Οὗτος γὰρ συντόμως ἀπολεῖται, ἔτως
Καὶ πᾶς παράνομος ἀναλωθήσεται.
29. Τίνι ἀαί; τίνι θόρυβος; τίνι κρίσεις; τίνι ἀηδεῖς λέχαι; ἀηδίαι
Τίνι συντρίμματα διακενῆς; καὶ
Τίνος πελιδνοὶ ὀφθαλμοί; πέλειοι
30. Οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνοις;
Οὐ τῶν ἰχνευόντων πῦ πότοι γίνονται;
31. Μὴ μεθύσκεσθε οἴνῳ, ἀλλὰ ὁμιλεῖτε ἀνθρώποις δικαίοις,
Καὶ ὁμιλεῖτε ἐν περιπάτοις.
Ἐὰν γὰρ εἰς τὰς φιάλας καὶ εἰς τὰ ποτήρια δῷς τὸν ὀφθαλμόν σε,
Ὕστερον περιπατήσεις γυμνότερος ὑπέρ, 32. τὸ δὲ ἔχατον ὥσπερ ὑπὸ ὄφεως πεπληγὼς ἐκτείνεται,

CAP. XXIII. v. 10. (ἃ ἔθεντο οἱ πατέρες σε) non habet. v. 13. παιδεύων) παιδεύειν. v. 16. ἐνδιατρίψῃ) ἐνδιατρίψει. v. 18. ἔγγονα) ἔκγονα. v. 28. ἔτως) ἔτος. v. 29. τίνι ἀηδίαι) τίνι δὲ ἀηδίαι. ibid. ſtich. 3. πέλειοι, ὀφθ.) πελιδνοὶ οἱ ὀφθαλμοὶ. v. 31. οἴνῳ) ἐν οἴνοις. ibid. ſtich. 3. καὶ εἰς τὰ ποτ.) καὶ τὰ ποτήρια.

Καὶ ὥσπερ ὑπὸ κεράτων διαχεῖται αὐτῶν ὁ ἰός.

33. Οἱ ὀφθαλμοί σου ὅταν ἴδωσιν ἀλλοτρίαν,
Τὸ στόμα σου τότε λαλήσει σκολιά·

34. Καὶ κοίλακείσῃ ὥσπερ ἐν καρδίᾳ θαλάσσης,
Καὶ ὥσπερ κυβερνήτης ἐν πολλῷ κλύδωνι.

35. Ἐρεῖς δέ· τύπτουσί με καὶ οὐκ ἐπόνεσα,
Καὶ ἐνέπαιξάν μοι, ἐγὼ δὲ οὐκ ἤδειν·
Πότε ὄρθρος ἔσαι, ἵνα ἐλθὼν ζητήσω μεθ' ὧν συνελεύσομαι;

ΚΕΦ. ΚΔ'. XXIV.

ΜΗ ζηλώσῃς κακοὺς ἄνδρας,
Μηδὲ ἐπιθυμήσῃς εἶναι μετ' αὐτῶν·

2. Ψευδῆ γὰρ μελετᾷ ἡ καρδία αὐτῶν,
Καὶ πόνους τὰ χείλη αὐτῶν λαλεῖ.

3. Μετὰ σοφίας οἰκοδομεῖται οἶκος,
Καὶ μετὰ συνέσεως ἀνορθοῦται·

4. Καὶ μετὰ αἰδήσεως ἐμπίπλαται ταμιεῖα
(Ἐκ) παντὸς πλούτου τιμίου καὶ καλοῦ.

5. Κρείσσων σοφὸς ἰσχυροῦ,
Καὶ ἀνὴρ φρόνησιν ἔχων γεωργίου μεγάλου.

6. Μετὰ κυβερνήσεως γίνεται πόλεμος,
Βοήθεια δὲ μετὰ καρδίας βουλευτικῆς.

7. Σοφία καὶ ἔννοια ἀγαθὴ ἐν πύλαις σοφῶν·
Σοφοὶ ὐκ ἐκκλίνουσιν ἐκ στόματος Κυρίου,

8. Ἀλλὰ λογίζονται ἐν συνεδρίοις.
Ἀπαιδεύτοις συναντᾷ θάνατος,

9. Ἀποθνήσκει δὲ ἄφρων ἐν ἁμαρτίαις.
Ἀκαθαρσία ἀνδρὶ λοιμῷ· ἐμμολυνθήσεται

10. Ἐν ἡμέρᾳ κακῇ καὶ ἐν ἡμέρᾳ θλίψεως, ἕως ἂν ἐκλείπῃ.

11. Ῥῦσαι ἀγομένους εἰς θάνατον,
Καὶ ἐκπρίου κλινομένους, μὴ φείσῃ. ἐκπρίου

12. Ἐὰν δὲ εἴπῃς· οὐκ οἶδα τοῦτον,
Γίνωσκε, ὅτι ὁ Κύριος καρδίας πάντων γινώσκει, καὶ ὁ πλάσας πνοὴν πᾶσιν, αὐτὸς οἶδε πάντα, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. ἀποδίδωσιν

13. Φάγε μέλι υἱέ, ἀγαθὸν γὰρ κηρίον,
Ἵνα γλυκανθῇ σου ὁ φάρυγξ·

14. Οὕτως αἴσθησις σοφίας τῇ σῇ ψυχῇ· αἰσθήσῃ
Ἐὰν γὰρ εὕρῃς, ἔσαι καλὴ ἡ τελευτή σου, καὶ ἐλπίς σου οὐκ ἐγκαταλείψει.

15. Μὴ προσαγάγῃς ἀσεβῆ νομῇ δικαίᾳ, δικαίων
Μηδὲ ἀπατηθῇς χορτασίᾳ κοιλίας.

16. Ἑπτάκις γὰρ πεσεῖται ὁ δίκαιος, καὶ ἀναστήσεται·
Οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν κακοῖς.

17. Ἐὰν πέσῃ ὁ ἐχθρός σου, μὴ ἐπιχαρῇς αὐτῷ,
Ἐν δὲ τῷ ὑποσκελίσματι αὐτοῦ μὴ ἐπαίρου·

18. Ὅτι ὄψεται Κύριος καὶ οὐκ ἀρέσει αὐτῷ,
Καὶ ἀποστρέψει τὸν θυμὸν αὐτοῦ ἀπ' αὐτοῦ.

19. Μὴ

v. 32. stich. 2. αὐτοῦ ὁ ἰός.) αὐτῷ ὁ ἰός. CAP. XXIV. v. 4. ἐμπίπλαται) ἐμπίμπλανται. v. 9. stich. 2. Ἀκαθαρσία) addit δὲ. v. 11. stich. 2. ἐκπρίου) ἐκπρίου. v. 12. stich. 2. ὁ Κύριος) κύριος. v. 14. αἰσθήσῃ σοφίας) αἰσθητήσῃ σοφίαν. v. 16. ὁ δίκαιος) δίκαιος.

19. Μὴ χαῖρε ἐπὶ κακοποιοῖς,
Μηδὲ ζήλα ἁμαρτωλές·
πονηρῶν 20. Οὐ γὰρ μὴ γένηται ἔκγονα πονηρῷ,
Λαμπὴς δὲ ἀσεβῶν σβεσθήσεται.
21. Φοβοῦ τὸν Θεὸν υἱὲ καὶ βασιλέα,
Καὶ μηδ' ἑτέρῳ αὐτῶν ἀπειθήσῃς·
22. Ἐξαίφνης γὰρ τίσονται τὸς ἀσεβεῖς,
Τὰς δὲ τιμωρίας ἀμφοτέρων τίς γνώσεται;
Λόγον φυλασσόμενος υἱὸς, ἀπωλείας ἐκλὸς ἔσαι·
Δεχόμενος δὲ ἐδέξατο αὐτόν.
Μηδὲν ψεῦδος ἀπὸ γλώσσης βασιλέως λεγέσθω,
Καὶ ἐδὲν ψεῦδος ἀπὸ γλώσσης αὐτοῦ ἐ μὴ ἐξέλθῃ.
Μάχαιρα γλῶσσα βασιλέως καὶ ἐ σαρκίνη·
Ὃς δ' ἂν παραδοθῇ, συντριβήσεται.
Ἐὰν γὰρ ὀξυνθῇ ὁ θυμὸς αὐτοῦ,
ἀνθρώπε Σὺν νεύροις ἀνθρώπες ἀναλίσκει, καὶ ὀσᾶ ἀνθρώπων κατατρώγει,
Καὶ συγκαίει ὥσπερ φλὸξ,
Ὥσε ἄβρωτα εἶναι νεοσσοῖς ἀετῶν.

Cap. 30.
vers. 1. Τὰς (δὲ) ἐμὰς λόγας υἱὲ φοβήθητι,
Καὶ δεξάμενος αὐτὰς μετανόει.
Τάδε λέγει ὁ ἀνὴρ τοῖς πιστεύσι Θεῷ, καὶ παύομαι.
2. Ἀφρονέστατος γάρ εἰμι πάντων ἀνθρώπων,
Καὶ φρόνησις ἀνθρώπε ἐκ ἔστιν ἐν ἐμοί.
3. Θεὸς δὲ δεδίδαχέ με σοφίαν, καὶ γνῶσιν ἁγίων ἔγνωκα. ἀνθρώπων
4. Τίς ἀνέβη εἰς τὸν ἐρανὸν, καὶ κατέβη; Τίς συνήγαγεν ἀνέμους ἐν κόλπῳ;
Τίς συνέσρεψεν ὕδωρ ἐν ἱματίῳ;
Τίς ἐκράτησε πάντων τῶν ἄκρων τῆς γῆς;
Τί ὄνομα αὐτῷ; ἢ τί ὄνομα τῷ τέκνῳ αὐτοῦ, ἵνα γνῷς. τοῖς τέκνοις
5. Πάντες λόγοι Θεοῦ πεπυρωμένοι·
Ὑπερασπίσει δὲ αὐτὸς τῶν εὐλαβεμένων αὐτόν.
6. Μὴ προσθῇς τοῖς λόγοις αὐτοῦ, ἵνα μὴ ἐλέγξῃ σε, καὶ ψευδὴς γένῃ.
7. Δύο αἰτοῦμαι παρὰ σοῦ,
Μὴ ἀφέλῃς μὲ χάριν, πρὸ τοῦ ἀποθανεῖν με·
8. Μάταιον λόγον καὶ ψευδῆ μακράν με ποίησον, πλοῦτον δὲ καὶ πενίαν μή μοι δῷς·
Σύνταξον δέ μοι (πάντα) τὰ δέοντα καὶ αὐτάρκη·
9. Ἵνα μὴ πλησθεὶς, ψευδὴς γένωμαι, καὶ εἴπω· τίς με ὁρᾷ;
Ἢ πενηθεὶς κλέψω, καὶ ὀμόσω τὸ ὄνομα τοῦ Θεοῦ.
10. Μὴ παραδῷς οἰκέτην εἰς χεῖρας δεσπότου,
Μήποτε καταράσηταί σε, καὶ ἀφανισθῇς.
11. Ἔκγονον κακὸν πατέρα καταρᾶται,
Τὴν δὲ μητέρα ἐκ εὐλογεῖ.

 12. Ἔκ-

v. 20. πονηρῶν) πονηρῷ. v. 21. ſtich. 2. μηδ') μηθ'. v. 22. ſtich. 5. βασιλέως) βασιλεῖ. ibid. ſtich. 10. ἀνθρώπου) ἀνθρώπους. Cap. 30. v. 1. (δὲ) abeſt. v. 2. πάντων) ἀπάντων. ibid. ſtich. 2. ἀνθρώπου) ἀνθρώπων. v. 3. ἀνθρώπων) ἁγίων. v. 4. ſtich. 5. ἢ τοῖς τέκνοις αὐτοῦ, ἵνα γνῷς.) ἢ τί ὄνομα τοῖς τέκνοις αὐτοῦ. v. 5. Πάντες λόγοι) πάντες γὰρ λόγοι. ibid. ſtich. 2. ὑπερασπίσει) ὑπερασπίζει. v. 8. ſtich. 2. (πάντα) deeſt. ibid. καὶ αὐτάρκη) καὶ τὰ αὐτάρκη.

12. Ἔκγονον κακὸν δίκαιον ἑαυτὸν κρίνει,
Τὴν δὲ ἔξοδον αὐτῷ ἐκ ἀπένιψεν.
13. Ἔκγονον κακὸν ὑψηλὰς ὀφθαλμὰς ἔχει,
Τοῖς δὲ βλεφάροις αὐτῷ ἐπαίρεται.
14. Ἔκγονον κακὸν μαχαίρας τὰς ὀδόντας ἔχει,
Καὶ τὰς μύλας, τομίδας· ὥστε ἀναλίσκειν τὰς ἀθενεῖς ἀπὸ τῆς γῆς,
ταπεινὰς
Καὶ τὰς πένητας αὐτῶν ἐξ ἀνθρώπων.
Cap. 24. vers. 23. Ταῦτα δὲ λέγω ὑμῖν τοῖς σοφοῖς ἐπιγινώσκειν·
Αἰδεῖσθαι πρόσωπον, ὃ καλὸν ἐν κρίσει.
24. Ὁ εἰπὼν τὸν ἀσεβῆ, δίκαιός ἐστιν,
Ἐπικατάρατος λαοῖς ἔσαι καὶ μισητὸς εἰς ἔθνη·
25. Οἱ δὲ ἐλέγχοντες βελτίους φανοῦνται,
Ἐπ' αὐτοὺς δὲ ἥξει εὐλογία ἀγαθή.
26. Χείλη δὲ φιλήσουσιν, ἀποκρινόμενα λόγους ἀγαθούς·
σοφὲς
27. Ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σε,
Καὶ παρασκευάζου εἰς τὸν ἀγρὸν,
Καὶ πορεύου κατόπιθέν μου,
Καὶ ἀνοικοδομήσεις τὸν οἶκόν σε.
28. Μὴ ἴσθι ψευδὴς μάρτυς ἐπὶ σὸν πολίτην,
Μηδὲ πλατύνε σοῖς χείλεσι.
29. Μὴ εἴπῃς· ὃν τρόπον ἐχρήσατό μοι, χρήσομαι αὐτῷ,
Τίσομαι δὲ αὐτὸν ἃ με ἠδίκησεν.
30. Ὥσπερ γεώργιον ἀνὴρ ἄφρων,
Καὶ ὥσπερ ἀμπελὼν ἄνθρωπος ἐνδεὴς φρενῶν·
31. Ἐὰν ἀφῇς αὐτὸν, χερσωθήσεται,
Καὶ χορτομανήσει ὅλος, καὶ γίνεται ἐκλελειμμένος,
Οἱ δὲ φραγμοὶ τῶν λίθων αὐτοῦ κατασκάπτονται.
32. Ὕστερον ἐγὼ μετενόησα·
Ἐπέβλεψα τοῦ ἐνδέξασθαι παιδείαν. ἐκλέξασθαι
33. Ὀλίγον νυστάζω, ὀλίγον δὲ καθυπνῶ,
Ὀλίγον δὲ ἐναγκαλίζομαι χερσὶ σήθη.
34. Ἐὰν δὲ τοῦτο ποιῇς, ἥξει προπορευομένη ἡ πενία σε,
Καὶ ἡ ἔνδεια σε ὥσπερ ἀγαθὸς δρομεύς.
Cap. 24. 15. Τῇ βδέλλῃ τρεῖς θυγατέρες ἦσαν ἀγαπήσει ἀγαπώμεναι,
Καὶ αἱ τρεῖς αὗται ἐκ ἐνεμπίπλασαν αὐτὴν,
Καὶ ἡ τετάρτη ἐκ ἠρκέθη εἰπεῖν, ἱκανόν·
16. Ἅδης, καὶ ἔρως γυναικὸς, (καὶ τάρταρος)
Καὶ γῆ ἐκ ἐμπιπλαμένη ὕδατος,
Καὶ ὕδωρ καὶ πῦρ ὃ μὴ εἴπωσιν, ἀρκεῖ.
17. Ὀφθαλμὸν καταγελῶντα πατρὸς,
Καὶ ἀτιμάζοντα γῆρας μητρὸς,
Ἐκκολάψαισαν αὐτὸν κόρακες ἐκ τῶν φαράγγων,
Καὶ καταφάγοισαν αὐτὸν νεοσσοὶ ἀετῶν.
18. Τρία δὲ ἐστιν ἀδύνατά μοι νοῆσαι,
Καὶ τὸ τέταρτον ἐκ ἐπιγινώσκω·
19. Ἶχνη ἀετοῦ πετομένου,
Καὶ ὁδὸς ὄφεως ἐπὶ πέτρας,
Καὶ τρίβος νηὸς πλοτοπορούσης,

Καὶ

V. 12. ſtich. 2. δὲ ἔξοδον) δ' ἔξοδον. V. 14. ſtich. 2. ὥστε ἀναλίσκειν) addit καὶ κατεθίειν. Cap. 24. V. 23. ſtich. 2. Αἰδεῖσθαι) αἰδεῖσθαι. ibid. ὃ καλὸν ἐν κρίσει) transpoſita. v. 25. ſtich. 2. ἀγαθή.) abeſt. v. 26. σοφὲς.) ἀγαθὲς. v. 34. ſtich. 2. ἔνδεια) addit σε. Cap. 30. v. 15. ſtich. 2. ἐνεμπίπλασαν) ἐνεπίμπλασαν. V. 16. (καὶ τάρταρος) deeſt. v. 17. ſtich. 3. Ἐκκολάψαισαν) ἐκκόψαισαν.

Καὶ ὁδὸς ἀνδρὸς ἐν νεότητι.
20. Τοιαύτη ὁδὸς γυναικὸς μοιχαλίδος·
Ἡ ὅτ' ἂν πράξῃ, ἀπονιψαμένη εἶδέν
Φησι πεπραχέναι ἄτοπον.
21. Διὰ τριῶν σείεται ἡ γῆ,
Τὸ δὲ τέταρτον ὲ δύναται φέρειν·
22. Ἐὰν οἰκέτης βασιλεύσῃ,
Καὶ ἄφρων πληθῇ σιτίων,
23. Καὶ οἰκέτις ἐὰν ἐκβάλῃ τὴν ἑαυτῆς
κυρίαν,
Καὶ μισητὴ γυνὴ ἐὰν τύχῃ ἀνδρὸς
ἀγαθῦ.
24. Τέσσαρα (δέ) ἐσιν ἐλάχιστα ἐπὶ
τῆς γῆς, ταῦτα δὲ ἐσι σοφώτερα
τῶν σοφῶν·
25. Οἱ μύρμηκες οἷς μὴ ἔσιν ἰσχὺς,
Καὶ ἑτοιμάζονται θέρες τὴν τροφήν·
26. Καὶ οἱ χοιρογρύλλιοι ἔθνος ἐκ ἰσχυρὸν,
Οἳ ἐποιήσαντο ἐν πέτραις τὲς ἑαυτῶν οἴκες·
27. Ἀβασίλευτόν ἐσιν ἡ ἀκρὶς,
Καὶ ἐκσρατεύει ἀφ' ἑνὸς κελεύσματος
εὐτάκτως·
28. Καὶ καλαβώτης χερσὶν ἐρειδόμενος
καὶ εὐάλωτος ὢν,
Κατοικεῖ ἐν ὀχυρώμασι βασιλέως.
29. Τρία δὲ ἐσιν ἃ εὐόδως πορεύονται,
Καὶ τὸ τέταρτον ὃ καλῶς διαβαίνει·
30. Σκύμνος λέοντος ἰσχυρότερος κλινῶν,
Ὃς ἐκ ἀποσρέφεται, οὐδὲ καταπλήσσει κλῆνος·
31. Καὶ ἀλέκτωρ ἐμπεριπατῶν θηλείαις
εὔψυχος,
Καὶ τράγος ἡγέμενος αἰπολίε,
Καὶ βασιλεὺς δημηγορῶν ἐν ἔθνει.
32. Ἐὰν πρόῃ σεαυτὸν εἰς εὐφροσύνην,
Καὶ ἐκλείνῃς τὴν χεῖρά σε μετὰ μάχης, ἀτιμασθήσῃ.
33. Ἄμελγε γάλα, καὶ ἔσαι βότυρον·
Ἐὰν δὲ ἐκπιέζῃς μυκτῆρας, ἐξελεύσεται αἷμα·
Ἐὰν δὲ ἐξέλκῃς λόγες, ἐξελεύσονται κρίσεις καὶ μάχαι.

Cap. 31.

1. Οἱ ἐμοὶ λόγοι εἴρηνται ὑπὸ Θεῦ
Βασιλέως, χρηματισμὸς ὃν ἐπαίδευσεν ἡ μήτηρ αὐτῦ.
2. Τί τέκνον (τηρήσεις), τί ῥήσεις Θεῦ;
Πρωτογενὲς σοὶ λέγω υἱέ·
Τί τέκνον ἐμῆς κοιλίας;
Τί τέκνον ἐμῶν εὐχῶν;
3. Μὴ δῷς γυναιξὶ σὸν πλῦτον, σε
Καὶ τὸν σὸν νοῦν καὶ βίον εἰς ὑσεροβελίαν.
4. Μετὰ βελῆς πάντα ποίει·
Μετὰ βελῆς οἰνοπότει.
Οἱ δυνάσαι θυμώδεις εἰσὶν, οἶνον μὴ πινέτωσαν.
5. Ἵνα μὴ πιόντες ἐπιλάθωνται τῆς σοφίας,
Καὶ ὀρθὰ κρίνειν ὲ μὴ δύνωνται τὲς ἀθενεῖς.
6. Δίδοτε μέθην τοῖς ἐν λύπαις,
Καὶ οἶνον πίνειν τοῖς ἐν ὀδύναις·
7. Ἵνα ἐπιλάθωνται τῆς πενίας,
Καὶ τῶν πόνων μὴ μνηθῶσιν ἔτι.
8. Ἄνοιγε σὸν σόμα λόγῳ Θεῦ,
Καὶ κρίνε πάντας ὑγιῶς·
9. Ἄνοι-

v. 24. Τέσσαρα δὲ ἐσιν) ἐσιν abeſt. v. 27. ſtich. 2. ἐκσρατεύει) σρατεύει. v. 28. ſtich. 2. βασιλέως) βασιλέων. v. 29. πορεύονται) πορεύεται ibid. ſtich. 2. Καὶ τὸ τέταρτον) τὸ deeſt. v. 32. εἰς εὐφροσύνην) ἐν εὐφροσύνῃ. Cap. 31. v. 3. σε) σὸν. v. 4. ſtich. 3. οἶνον μὴ) οἶνον δὲ μὴ. v. 5. ἐπιλάθωνται) ἐπιλάθονται. ibid. ſtich. 2. κρίνειν) κρῖναι.

9. Ἄνοιγε σὸν σόμα καὶ κρῖνε δικαίως,
Διάκρινε δὲ πένητα καὶ ἀθενῆ.

ΚΕΦ. ΚΕ'. XXV.

Αὗται αἱ παροιμίαι Σολομῶντος αἱ ἀδιάκριτοι, ἃς ἐξεγράψαντο οἱ Φίλοι Ἐζεκίᾳ τῷ βασιλέως τῆς Ἰουδαίας.

κρύπτει τιμᾷ προσλάγματα

2. Δόξα Θεῷ κρύπτειν λόγον·
Δόξα δὲ βασιλέως τιμᾶν πρόσαγμα.
3. Οὐρανὸς ὑψηλὸς, γῆ δὲ βαθεῖα·
Καρδία δὲ βασιλέως ἀνεξέλεγκτος.
4. Κρύπτε ἀδόκιμον ἀργύριον,
Καὶ καθαρισθήσεται καθαρὸν ἅπαν·
5. Κτεῖνε ἀσεβεῖς ἐκ προσώπου βασιλέως,
Καὶ κατορθώσει ἐν δικαιοσύνῃ ὁ θρόνος αὐτοῦ.
6. Μὴ ἀλαζονεύου ἐνώπιον βασιλέως,
Μηδὲ ἐν τόποις δυναστῶν ὑφίσασο·
7. Κρεῖττον γὰρ τὸ ῥηθῆναί σοι, ἀνάβαινε πρὸς μὲ,
Ἢ ταπεινῶσαί σε ἐν προσώπῳ δυνάστου.
Ἃ ἴδον οἱ ὀφθαλμοί σου λέγε.
8. Μὴ πρόσπιπτε εἰς μάχην ταχέως,
Ἵνα μὴ μεταμεληθῇς ἐπ' ἐσχάτων,
Ἡνίκα (δ') ἂν σε ὀνειδίσῃ ὁ σὸς φίλος.
9. 10. Ἀναχώρει εἰς τὰ ὀπίσω, μὴ καταφρόνει,
Μή σε ὀνειδίσῃ μὲν ὁ φίλος·
Ἡ δὲ μάχη σε καὶ ἡ ἔχθρα ἐκ ἀπέσαι, ἀλλ' ἔσαι σοι ἴση θανάτῳ.
Χάρις καὶ φιλία ἐλευθεροῖ,
Ἃς τήρησον σεαυτῷ, ἵνα μὴ ἐπονείδιστος γένῃ,
Ἀλλὰ φύλαξον τὰς ὁδές σε εὐσυναλλάκλως.
11. Μῆλον χρύσεον ἐν ἁρμίσκῳ σαρδίου,
Ἔτως εἰπεῖν λόγον ✕ ἐπὶ ἁρμόζουσιν αὐτῷ.
12. Εἰς ἐνώτιον χρυσοῦν καὶ σάρδιον πολυτελὲς δέδεται,
Λόγος σοφὸς εἰς εὐήκοον ἕς.
13. Ὥσπερ ἔξοδος χιόνος ἐν ἀμητῷ κατὰ καῦμα ὠφελεῖ,
Οὕτως ἄγγελος πιστὸς τοὺς ἀποστείλαντας αὐτόν·
Ψυχὰς γὰρ τῶν αὐτῷ χρωμένων ὠφελεῖ.
14. Ὥσπερ ἄνεμοι καὶ νέφη καὶ ὑετοὶ ἐπιφανέστατοι,
Οὕτως ὁ καυχώμενος ἐπὶ δόσει ψευδεῖ. οἱ καυχώμενοι
15. Ἐν μακροθυμίᾳ εὐοδία * βασιλέως. * βασιλεῦσιν
Γλῶσα δὲ μαλακὴ συντριβεῖ ὀστᾶ.
16. Μέλι εὑρὼν φάγε τὸ ἱκανὸν,
Μή ποτε πλησθεὶς ἐξεμέσῃς·
17. Σπάνιον εἴσαγε σὸν πόδα πρὸς τὸν σεαυτοῦ φίλον,
Μή ποτε πλησθεὶς σε, μισήσῃ σε.
18. Ῥόπαλον καὶ μάχαιρα καὶ τόξευμα ἀκιδωτόν· ἀκηλίδωτον
Οὕτως (καὶ) ὁ ἀνὴρ ὁ καταμαρτυρῶν κατὰ τοῦ φίλου ἑαυτοῦ μαρτυρίαν ψευδῆ.
19. Ὁδὸς

CAP. XXV. v. 1. παροιμίαι Σολομῶντος) παιδεῖαι σαλωμῶντος. v. 2. ſtich. 2. πρόσαγματα) πράγματα. v. 4. Κρύπτε) τύπτε. v. 7. γὰρ τὸ ῥηθῆναί σοι) γάρ σοι τὸ ῥηθῆναι. v. 8. ſtich. 3. (δ') abeſt. ibid. ὁ φίλος) ὁ σὸς φίλος. v. 9. ſtich. 3. ἀλλ' ἔσαι) ἀλλὰ ἔσαι. v. 11. χρύσεον) χρυσοῦν. v. 12. σάρδιον) καὶ σάρδιον. v. 14. ἐπιφανέστατοι) ἐπιφανέσατα. ibid. ſtich. 2. οἱ καυχώμενοι) ὁ καυχώμενος. v. 17. πρὸς τὸν σεαυτοῦ) πρὸς σεαυτοῦ. v. 18. ἀκηλίδωτον) ἀκιδωτὸν. ibid. ſtich. 2. ὁ ἀνὴρ ὁ καταμ. κατὰ τοῦ φίλου ἑαυτοῦ) ἀνὴρ ὁ καταμαρτυρῶν τοῦ φίλου αὐτοῦ.

19. Ὁδὲς κακῆ καὶ πᾶς παρανόμε ὀλεῖται ἐν ἡμέρᾳ κακῇ·

20. Χ Οὕτως ὁ περιελὼν ἱμάτιον ἐν ἡμέρᾳ ψύχες.
Ὥσπερ ὄξος ἕλκει ἀσύμφορον,
Οὕτως προσπεσὸν πάθος σώματι καρδίαν λυπεῖ.
Ὥσπερ σὴς ἱματίῳ, καὶ σκώληξ ξύλῳ,
Οὕτως λύπη ἀνδρὸς βλάπτει καρδίαν.

τρέφε 21. Ἐὰν πεινᾷ ὁ ἐχθρός σε, ψώμιζε αὐτὸν,
Ἐὰν διψᾷ, πότιζε αὐτόν·

22. Τᾶτο γὰρ ποιῶν ἄνθρακας σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτᾶ,

ἀνταποδίδοσι ὁ δὲ Κύριος ἀνταποδώσει σοι ἀγαθά.

23. Ἄνεμος βορέας ἐξεγείρει νέφη·
Πρόσωπον δὲ ἀναιδὲς γλῶσσαν ἐρεθίζει.

24. Κρεῖσσον οἰκεῖν ἐπὶ γωνίας δώματος,
Ἢ μετὰ γυναικὸς λοιδόρε ἐν οἰκίᾳ κοινῇ.

25. Ὥσπερ ὕδωρ ψυχρὸν ψυχῇ διψώσῃ προσηνὲς,
Οὕτως ἀγγελία ἀγαθὴ ἐκ γῆς μακρόθεν.

26. Ὥσπερ εἴτις πηγὴν φραύσοι καὶ ὕδατος ἔξοδον λυμαίνοιτο,
Οὕτως ἄκοσμον δίκαιον πεπλωκέναι ἐνώπιον ἀσεβᾶς.

27. Ἐθίειν μέλι πολὺ ἐ καλόν·
Τιμᾶν δὲ χρὴ λόγες ἐνδόξες.

28. Ὥσπερ πόλις τὰ τείχη καταβεβλημένη καὶ ἀτείχιτος,
Οὕτως ἀνὴρ ὃς ἐ μετὰ βελῆς τι πράσσει.

ΚΕΦ. Κς'. XXVI.

Ὥσπερ δρόσος ἐν ἀμητῷ, καὶ ὥσπερ ὑετὸς ἐν θέρει,
Οὕτως ἐκ ἔστιν ἄφρονι τιμή.

2. Ὥσπερ ὄρνεα πέτανται καὶ στρεθοὶ,
Οὕτως ἀρὰ ματαία ἐκ ἐπελεύσεται ἐδενί.

3. Ὥσπερ μάστιξ ἵππῳ, καὶ κέντρον ὄνῳ,
Οὕτως ῥάβδος ἔθνει παρανόμων.

παρανόμῳ 4. Μὴ ἀποκρίνε ἄφρονι κατὰ τὴν ἐκείνε ἀφροσύνην,
Ἵνα μὴ ὅμοιος γένῃ αὐτῷ·

5. Ἀλλὰ ἀποκρίνε ἄφρονι πρὸς τὴν ἀφροσύνην αὐτᾶ,
Ἵνα μὴ φαίνηται σοφὸς παρ' ἑαυτῷ.

ποιεῖται 6. Ἐκ τῶν ἑαυτᾶ ὁδῶν ὄνειδος πίεται
Ὁ ἀποστείλας δι' ἀγγέλε ἄφρονος λόγον.

7. Ἀφελᾶ πορείαν σκελῶν χωλῶν, καὶ παροιμίαν ἐκ στόματος ἀφρόνων.

παροιμίαν 8. Ὃς ἀποδεσμεύει λίθον ἐν σφενδόνῃ,
Ὁμοιός ἐστι τῷ διδόντι ἄφρονι δόξαν.

9. Ἀκανθαι φύονται ἐν χειρὶ τᾶ μεθύσε,
Δηλεία δὲ ἐν χειρὶ τῶν ἀφρόνων.

10. Πολλὰ χειμάζεται πᾶσα σὰρξ ἀφρόνων·
Συντρίβεται γὰρ ἡ ἔκστασις αὐτῶν.

11. Ὥσπερ κύων ὅταν ἐπέλθῃ ἐπὶ τὸν ἔμετον αὐτᾶ καὶ μιστὸς γένηται,
Οὕτως ἄφρων ἐν τῇ ἑαυτᾶ κακίᾳ ἀναστρέψας ἐπὶ τὴν ἑαυτᾶ ἁμαρτίαν.

V. 19. ὁδὲς) ὁδὸς. V. 20. stich. 3. πάθος σώματι) πάθος ἐν σώματι. ibid. stich. 4. ἱματίῳ) ἐν ἱματίῳ. V. 21. τρέφε) ψώμιζε. V. 22. ἄνθρακας) addit πυρὸς. ibid. stich. 2. ἀνταποδίδοσι) ἀνταποδώσει. CAP. XXVI. V. 2. πέτανται) πέτηται. V. 4. κατὰ τὴν) πρὸς τὴν. V. 5. πρὸς τὴν) κατὰ τὴν. V. 6. ἑαυτᾶ ὁδῶν) transposita. V. 9. τᾶ μεθύσε) μεθύσε. V. 11. ἔμετον αὐτᾶ) ἑαυτοῦ ἔμετον.

Ἔστιν αἰσχύνη ἐπάγουσα ἁμαρτίαν,
Καὶ ἔστιν αἰσχύνη δόξα καὶ χάρις.

12. Ἰδὼν ἄνδρα δόξαντα παρ' ἑαυτῷ σοφὸν εἶναι,
Ἐλπίδα μέντοι ἔχει ἄφρων μᾶλλον αὐτοῦ.

13. Λέγει ὀκνηρὸς ἀποσεμνόμενος εἰς ὁδόν· λέων ἐν ταῖς ὁδοῖς, ἐν δὲ ταῖς πλατείαις φονευταί.

14. Ὥσπερ θύρα στρέφεται ἐπὶ τῷ στρόφιγγι,
Οὕτως ὀκνηρὸς ἐπὶ τῆς κλίνης αὐτοῦ.

15. Κρύψας ὀκνηρὸς τὴν χεῖρα αὐτοῦ ἐν τῷ κόλπῳ αὐτοῦ, ὃ δύναται ἐπενεγκεῖν εἰς τὸ στόμα.

16. Σοφώτερος ὀκνηρὸς ἑαυτῷ φαίνεται
Τοῦ ἐν πλησμονῇ ἀποκομίζοντος ἀγγελίαν.

17. Ὥσπερ ὁ κρατῶν κέρκω κυνὸς,
Οὕτως ὁ προεσὼς ἀλλοτρίας κρίσεως.

ἰώμενοι 18. Ὥσπερ οἱ πειρώμενοι προβάλλεσι λόγους εἰς ἀνθρώπους,
Ὁ δὲ ἀπαντήσας τῷ λόγῳ πρῶτος ὑποσκελισθήσεται·

19. Οὕτω πάντες οἱ ἐνεδρεύοντες τοὺς ἑαυτῶν φίλους,
Ὅταν δ' ἐφορασθῶσι, λέγουσιν, ὅτι παίζων ἔπραξα.

20. Ἐν πολλοῖς ξύλοις θάλλει πῦρ·
Ὅπου δὲ οὐκ ἔστιν ὀξύθυμος, ἡσυχάζει μάχη.

21. Ἐχάρα ἀνθραξι, καὶ ξύλα πυρί·
Ἀνὴρ δὲ λοίδορος εἰς ταραχὴν μάχης.

22. Λόγοι κερκώπων μαλακοί·
Οὗτοι δὲ τύπτουσιν εἰς ταμιεῖα στλάγχνων.

23. Ἀργύριον διδόμενον μετὰ δόλου,
Ὥσπερ ὄστρακον ἡγητέον·
Χείλη λεῖα καρδίαν καλύπτει λυπηράν.

24. Χείλεσι πάντα ἀπονεύει ὁ ἀποκλαιόμενος ἐχθρός· ἐπινεύει
Ἐν δὲ τῇ καρδίᾳ τεκταίνεται δόλους.

25. Ἐὰν σε δέηται ὁ ἐχθρὸς μεγάλῃ τῇ φωνῇ, μὴ πειθῆς αὐτῷ·
Ἑπτὰ γὰρ εἰσι πονηρίαι ἐν τῇ καρδίᾳ αὐτοῦ.

26. Ὁ κρύπτων ἔχθραν, συνίσησι δόλον·
Ἐκκαλύπτει δὲ τὰς ἑαυτοῦ ἁμαρτίας εὔγνωστος ἐν συνεδρίῳ.

27. Ὁ ὀρύσσων βόθρον τῷ πλησίον, ἐμπεσεῖται εἰς αὐτόν·
Ὁ δὲ κυλίων λίθον, ἐφ' ἑαυτὸν κυλίει.

28. Γλῶσσα ψευδὴς μισεῖ ἀλήθειαν·
Στόμα δὲ ἄσεγον ποιεῖ ἀκαταστασίαν. ἀκαταστασίας

ΚΕΦ. ΚΖ'. XXVII.

ΜΗ καυχῶ τὰ εἰς αὔριον·
Οὐ γὰρ γινώσκεις τί τέξεται ἡ ἐπιοῦσα.

2. Ἐγκωμιαζέτω σε ὁ πέλας καὶ μὴ τὸ σὸν στόμα, ἀλλότριος καὶ μὴ τὰ σὰ χείλη.

3. Βαρὺ λίθος, καὶ δυσβάστακτον ἄμμος·
Ὀργὴ δὲ ἄφρονος βαρυτέρα ἀμφοτέρων.

4. Ἀνε-

V. 12. παρ' ἑαυτῷ) παρ' αὐτῷ. ibid. ſtich. 2. ἄφρων μᾶλλον) tranſpoſita. V. 14. τῷ στρόφιγγι) τῆ στρόφιγγος. V. 15. δύναται ἐπεν. εἰς τὸ στόμα) δυνήσεται ἐπενεγκεῖν ἐπὶ στόμα. V. 16. ὀκνηρὸς ἑαυτῷ) tranſpoſita. V. 19. Οὕτω) ἔτως. ibid. ſtich. 2. δ' ἐφορασθῶσι) δὲ ὁρασθῶσι. V. 20. ſtich 2. ὀξύθυμος) δίθυμος. V. 24. ὁ ἀποκλαιόμενος) ὁ deeſt. V. 25. αὐτῷ) abeſt. ibid. ſtich. 2. ἐν τῇ καρδίᾳ) ἐν τῇ ψυχῇ. V. 26. ſtich. 2. ἐν συνεδρίῳ) ἐν συνεδρίοις. CAP. XXVII. V. 2. τὸ πέλας) ὁ πέλας.

4. Ἀνελεήμων θυμὸς, καὶ ὀξεῖα ὀργή·
Ἀλλ' ὃς οὐ φείσεται ζῆλος.
5. Κρείσσους ἔλεγχοι ἀποκαλυπτόμενοι κρυπτομένης φιλίας·
6. Ἀξιοπιστότερα τραύματα φίλε, ἢ ἑκούσια φιλήματα ἐχθροῦ.
7. Ψυχὴ ἐν πλησμονῇ ὅσα κηρίοις ἐμπαίζει·
Ψυχῇ δὲ ἐνδεεῖ καὶ τὰ πικρὰ γλυκεῖα φαίνεται.
8. Ὥσπερ ὄρνεον ὅταν καταπεταθῇ ἐκ τῆς ἰδίας νοσσιᾶς·
Οὕτως ἄνθρωπος ὃς ἂν ἀποξενωθῇ ἐκ τῶν ἰδίων τόπων.
9. Μύροις καὶ οἴνοις καὶ θυμιάμασι τέρπεται καρδία·
Καταβρήγνυται δὲ ὑπὸ συμπτωμάτων ψυχή.
10. Φίλον σὸν καὶ φίλον πατρῶν μὴ ἐγκαταλείπῃς·
Εἰς δὲ τὸν οἶκον τοῦ ἀδελφοῦ σου μὴ εἰσέλθῃς ἀτυχῶν.
Κρείσσων φίλος ἐγγὺς, ἢ ἀδελφὸς μακρὰν οἰκῶν.
σου 11. Σοφὸς γίνου υἱὲ, ἵνα εὐφραίνηταί μου ἡ καρδία·
Καὶ ἀπόστρεψον ἀπὸ σοῦ ἐπονειδίστους λόγους.
12. Πανοῦργος κακῶν ἐπερχομένων ἀπεκρύβη·
ἐλθόντες Ἄφρονες δὲ ἐπελθόντες ζημίαν τίσουσιν.
13. Ἀφελοῦ τὸ ἱμάτιον αὐτοῦ, (παρῆλθε γὰρ
Ὕβρις) ὅσις τὰ ἀλλότρια λυμαίνεται. λοιμαίνεται
14. Ὃς ἂν εὐλογῇ φίλον τοπρωΐ μεγάλῃ τῇ φωνῇ,
Καταρωμένου δὲν διαφέρειν δόξει.
15. Σταγόνες ἐκβάλλουσιν ἄνθρωπον ἐν ἡμέρᾳ χειμερινῇ ἐκ τοῦ οἴκου αὐτοῦ·
Ὡσαύτως καὶ γυνὴ λοίδορος ἐκ τοῦ ἰδίου οἴκου.
16. Βορέας σκληρὸς ἄνεμος,
Ὀνόματι δὲ ἐπιδέξιος καλεῖται.
17. Σίδηρος σίδηρον ὀξύνει·
Ἀνὴρ δὲ παροξύνει πρόσωπον ἑταίρου. ἑτέρου
18. Ὃς φυτεύει συκῆν, φάγεται τοὺς καρποὺς αὐτῆς·
Ὃς δὲ φυλάσσει τὸν ἑαυτοῦ κύριον, τιμηθήσεται.
19. Ὥσπερ ἐν ὕδατι πρόσωπα προσώποις,
Οὕτως δὲ καὶ αἱ καρδίαι τῶν ἀνθρώπων.
20. Ἅδης καὶ ἀπώλεια οὐκ ἐμπίπλανται·
Ὡσαύτως καὶ οἱ ὀφθαλμοὶ τῶν ἀνθρώπων ἄπληστοι.
Βδέλυγμα Κυρίῳ στηρίζων ὀφθαλμόν·
Καὶ οἱ ἀπαίδευτοι ἀκρατεῖς γλώσσῃ.
21. Δοκίμιον ἀργυρίῳ, καὶ χρυσίῳ πύρωσις·
Ἀνὴρ δὲ δοκιμάζεται διὰ στόματος ἐγκωμιαζόντων αὐτόν.
Καρδία ἀνόμου ἐκζητεῖ κακά·
Καρδία δὲ εὐθὺς ἐκζητεῖ γνῶσιν.
22. Ἐὰν μασιγοῖς τὸν ἄφρονα ἐν μέσῳ συνεδρίῳ ἀτιμάζων,

v. 5. ἀποκαλυπτόμενοι) ἀποκεκαλυμμένοι. v. 6. Ἀξιοπιστότερα) addit ἐστὶ. v. 7. stich. 2. γλυκεῖα) γλυκέα. v. 8. ὄρνεον ὅταν) transposita. v. 10. καὶ φίλον) ἢ φίλον. v. 11. εὐφραίνηταί σε) transposita. v. 12. ἐλθόντες) ἐπελθόντες. v. 13. λοιμαίνεται. v. 17. stich. 2. ἑτέρου) ἑταίρου. v. 19. stich. 2. αἱ καρδίαι) αἱ διάνοιαι. v. 20. ἐμπίπλανται) ἐμπίμπλανται. v. 21. χρυσίῳ) χρυσῷ. ibid. stich. 4. ἐκζητεῖ) ζητεῖ. v. 22. τὸν ἄφρονα ἐν μέσῳ συνεδρίῳ) ἄφρονα ἐν μέσῳ συνεδρίου.

Οὐ μὴ περιέλῃς τὴν ἀφροσύνην αὐτῆ.

23. Γνωστῶς ἐπιγνώσῃ ψυχὰς ποιμνίων σου,
Καὶ ἐπιστήσῃς καρδίαν σου σαῖς ἀγέλαις· 24. ὅτι οὐκ εἰς τὸν αἰῶνα ἀνδρὶ κράτος καὶ ἰσχύς,
Οὐδὲ παραδίδωσιν εἰς γενεὰς καὶ γενεάς.

χλωρῷ 25. Ἐπιμελῆ τῶν ἐν τῷ πεδίῳ χλωρῶν, καὶ κερεῖς ποιάν,
Καὶ συνάγαγε χόρτον ὀρεινὸν, 26. ἵνα ἔχῃς πρόβατα εἰς ἱματισμόν·
Τίμα πεδίον, ἵνα ὦσί σοι ἄρνες.

27. Τιὲ παρ' ἐμοῦ ἔχεις ῥήσεις ἰσχυρὰς εἰς τὴν ζωήν σου, καὶ εἰς τὴν ζωὴν σῶν θεραπόντων.

ΚΕΦ. ΚΗ'. XXVIII.

Φεύγει ἀσεβὴς μηδενὸς διώκοντος· Δίκαιος δὲ ὥσπερ λέων πέποιθε.

2. Διὰ ἁμαρτίας ἀσεβῶν κρίσεις ἐγείρονται·
Ἀνὴρ δὲ πανοῦργος καλασθέσει αὐτάς.

3. Ἀνδρεῖος ἐν ἀσεβείαις συκοφαντεῖ πλωχὸς,
Ὥσπερ ὑετὸς λάβρος καὶ ἀνωφελής.

4. Οὕτως οἱ ἐγκαταλείποντες τὸν νόμον, ἐγκωμιάζουσιν ἀσέβειαν·
Οἱ δὲ ἀγαπῶντες τὸν νόμον, περιβάλλουσιν ἑαυτοῖς τεῖχος.

5. Ἄνδρες κακοὶ οὐ συνήσουσι κρίμα·
Οἱ δὲ ζητοῦντες τὸν Κύριον, συνήσουσιν ἐν παντί.

6. Κρείσσων πλωχὸς πορευόμενος ἐν ἀληθείᾳ πλουσίου ψευδοῦς.

7. Φυλάσσει νόμον υἱὸς συνετός·
Ὃς δὲ ποιμαίνει ἀσωτίαν, ἀτιμάζει πατέρα αὐτοῦ.

8. Ὁ πληθύνων τὸν πλοῦτον αὐτοῦ μετὰ τόκων καὶ πλεονασμῶν,
Τῷ ἐλεοῦντι πλωχοὺς συνάγει αὐτόν.

9. Ὁ ἐκκλίνων τὸ οὖς αὐτοῦ τοῦ μὴ εἰσακοῦσαι νόμου,
Καὶ αὐτὸς τὴν προσευχὴν αὐτοῦ βδελυκταί.

10. Ὃς πλανᾷ εὐθεῖς ἐν ὁδῷ κακῇ,
Εἰς διαφθορὰν αὐτὸς ἐμπεσεῖται·
Οἱ δὲ ἄμωμοι διελοῦνται ἀγαθά. ἄνομοι διελεύσονται
(Καὶ οὐκ εἰσελεύσονται εἰς αὐτά)

11. Σοφὸς παρ' ἑαυτῷ ἀνὴρ πλούσιος·
Πένης δὲ νοήμων καταγνώσεται αὐτοῦ.

12. Διὰ βοήθειαν δικαίων πολλὴ γίνεται δόξα·
Ἐν δὲ τόποις ἀσεβῶν ἁλίσκονται ἄνθρωποι.

13. Ὁ ἐπικαλύπτων ἀσέβειαν ἑαυτοῦ, οὐκ εὐοδωθήσεται·
Ὁ δὲ ἐξηγούμενος ἐλέγχους, ἀγαπηθήσεται.

14. Μακάριος ἀνὴρ ὃς καλαπλήσει πάντα δι' εὐλάβειαν·
Ὁ δὲ σκληρὸς τὴν καρδίαν ἐμπεσεῖται κακοῖς.

15. Λέων πεινῶν καὶ λύκος διψῶν,
Ὃς τυραννεῖ, πλωχὸς ὢν, ἔθνος πενιχρόν.

16. Βασιλεὺς ἐνδεὴς προσόδων μέγας συκοφάντης·
Ὁ δὲ

v. 23. ſtich. 2. ἐπιστήσῃς) ἐπιστήσεις. v. 24. ὅτι οὐκ τὸν) ὅτι οὐκ εἰς τὸν. ibid. ſtich. 2. εἰς γενεὰς καὶ γενεὰς) ἐκ γενεᾶς εἰς γενεάν. v. 25. χλωρῷ) χλωρῶν. ibid. ποιάν) πόαν. ibid. ſtich. 2. συνάγαγε) σύναγε. CAP. XXVIII. v. 2. Διὰ) δι'. v. 7. ſtich. 2. πατέρα αὐτοῦ) αὐτοῦ abeſt. v. 8. ſtich. 2. ἐλεοῦντι) ἐλεῶντι. v. 9. αὐτοῦ τοῦ μὴ) αὐτοῦ μή.

Ὁ δὲ μισῶν ἀδικίαν, μακρὸν χρόνον ζήσεται.

17. Ἄνδρα τὸν ἐν αἰτίᾳ φόνε ὁ ἐγγυώμενος,
Φυγὰς ἔσαι καὶ ἐκ ἐν ἀσφαλείᾳ.
Παίδευε υἱὸν, καὶ ἀγαπήσει σε,
Καὶ δώσει κόσμον τῇ σῇ ψυχῇ,
Οὐ μὴ ὑπακέσῃ ἔθνει παρανόμῳ.

Cap. 29. v. 17. & primum comma vers. 18.

18. Ὁ πορευόμενος δικαίως, βεβοήθηται·
Ὁ δὲ σκολιαῖς ὁδοῖς πορευόμενος, ἐμπλακήσεται.

19. Ὁ ἐργαζόμενος τὴν ἑαυτῦ γῆν, πλησθήσεται ἄρτων·
Ὁ δὲ διώκων χολὴν, πλησθήσεται πενίας.

20. Ἀνὴρ ἀξιοπιστότερος πολλὰ εὐλογηθήσεται·
Ὁ δὲ κακὸς ἐκ ἀτιμώρητος ἔσαι.

21. Ὃς ἐκ αἰσχύνεται πρόσωπα δικαίων, ἐκ ἀγαθός·
Ὁ τοιῦτος ψωμῦ ἄρτυ ἀποδώσεται ἀνδρα.

22. Σπεύδει πλυτεῖν ἀνὴρ βάσκανος,
Καὶ ἐκ οἶδεν ὅτι ἐλεήμων κρατήσει αὐτῦ.

23. Ὁ ἐλέγχων ἀνθρώπυ ὀδὲ, χάριτας ἕξει μᾶλλον τῦ γλωσσοχαριτῦντος.

24. Ὃς ἀποδιάζεται πατέρα ἢ μητέρα καὶ δοκεῖ μὴ ἁμαρτάνειν,
Οὗτος κοινωνός ἐσιν ἀνδρὸς ἀσεβῦς.

25. Ἄπλησος ἀνὴρ κρινεῖ εἰκῆ·
Ὃς δὲ πέποιθεν ἐπὶ Κύριον, ἐν ἐπιμελείᾳ ἔσαι.

26. Ὃς πέποιθε θρασείᾳ καρδίᾳ, ὁ τοιῦτος ἄφρων·
Ὃς δὲ πορεύεται σοφίᾳ, σωθήσεται.

27. Ὃς δίδωσι πλωχοῖς, ἐκ ἐνδεηθήσεται·
Ὃς δὲ ἀποστρέφει τὸν ὀφθαλμὸν αὐτῦ, ἐν πολλῇ ἀπορίᾳ ἔσαι.

28. Ἐν τόποις ἀσεβῶν γένεσι δίκαιοι,
Ἐν δὲ τῇ ἐκείνων ἀπωλείᾳ πληθυνθήσονται δίκαιοι.

ΚΕΦ. ΚΘ'. XXIX.

Ρείσων ἀνὴρ ἐλέγχων ἀνδρὸς σκληροτραχήλυ·
Ἐξαπίνης γὰρ φλεγομένυ αὐτῦ, ἐκ ἔσιν ἴασις.

2. Ἐγκωμιαζομένων δὲ * δικαίων εὐφραινθήσονται λαοί·
Ἀρχόντων δὲ ἀσεβῶν γένεσιν ἄνδρες.

ἔσαι Ἐγκωμιαζομένυ * δικαίυ

3. Ἀνδρὸς φιλῦντος σοφίαν εὐφραίνεται ὁ πατὴρ αὐτῦ·
Ὃς δὲ ποιμαίνει πόρνας, ἀπολεῖ πλῦτον.

4. Βασιλεὺς δίκαιος ἀνίσησι χώραν·
Ἀνὴρ δὲ παράνομος κατασκάπλει.

5. Ὃς παρασκευάζεται ἐπὶ πρόσωπον τῦ ἑαυτῦ φίλυ δίκλυον,
Περιβάλλει αὐτὸ τοῖς ἑαυτῦ ποσίν.

6. Ἁμαρτάνοντι ἀνδρὶ μεγάλη παγίς·
Δίκαιος δὲ ἐν χαρᾷ καὶ εὐφροσύνῃ ἔσαι.

7. Ἐπίσαται δίκαιος κρίνειν πενιχροῖς·
Ὁ δὲ ἀσεβὴς ὐ συνήσει γνῶσιν,
Καὶ πλωχῷ ὐχ ὑπάρχει νῦς ἐπιγνώμων.

v. 17. stich. 5. ὑπακέσῃ) ὑπακέσει. v. 20. ἀξιοπιστότερος) ἀξιόπιστος. v. 24. ἀποβιάζεται) ἀποβάλλεται. v. 25. Ἄπλησος) ἄπιστος. ibid. κρινεῖ) κρίνει. CAP. XXIX. v. 1. stich. 2. ἐκ ἔσαι) οὐκ ἔσιν. v. 2. Ἐγκωμιαζομένου δὲ δικαίου) ἐγκωμιαζωμένων δικαίων. v. 3. ὁ πατὴρ) πατὴρ. v. 6. stich. 2. καὶ εὐφροσ.) καὶ ἐν εὐφροσύνῃ. v. 7. stich. 2. συνήσει) νοεῖ. ibid. stich. 3. ἐχ) ἐκ.

8. Ἄνδρες λοιμοὶ ἐξέκαυσαν πόλιν·
Σοφοὶ δὲ ἀπέστρεψαν ὀργήν.

9. Ἀνὴρ σοφὸς κρινεῖ ἔθνη·
Ἀνὴρ δὲ φαῦλος ὀργιζόμενος καταγελᾶται, καὶ ἐ καταπλήσει.

ζητήσεσιν 10. Ἄνδρες αἱμάτων μέτοχοι μισήσουσιν ὅσιον·
Οἱ δὲ εὐθεῖς ἐκζητήσουσι ψυχὴν αὐτῆ.

11. Ὅλον τὸν θυμὸν αὐτῆ ἐκφέρει ἄφρων·
Σοφὸς δὲ ταμιεύεται κατὰ μέρος.

12. Βασιλέως ὑπακόοντος λόγον ἄδικον,
Πάντες οἱ ὑπ' αὐτὸν παράνομοι.

ἀλλήλων 13. Δανειῆ καὶ χρεωφειλέτε ἀλλήλοις συνελθόντων, ἐπισκοπὴν ποιεῖται ἀμφοτέρων ὁ Κύριος

14. Βασιλέως ἐν ἀληθείᾳ κρίνοντος πλωχὸς,
Ὁ θρόνος αὐτῆ εἰς μαρτύριον καθαρισθήσεται.

15. Πληγαὶ καὶ ἔλεγχοι διδάσι σοφίαν·
Παῖς δὲ πλανώμενος αἰσχύνει γονεῖς αὐτῆ.

16. Πολλῶν ὄντων ἀσεβῶν πολλαὶ γίνονται ἁμαρτίαι·
Οἱ δὲ δίκαιοι ἐκείνων πτῶσιν καθάφοβοι γίνονται.

17. Παίδευε υἱόν σε καὶ ἀναπαύσει σε,
Καὶ δώσει κόσμον τῇ ψυχῇ σε·

18. Οὐ μὴ ὑπάρξει ἐξηγητὴς ἔθνει παρανόμῳ·
Ὁ δὲ φυλάσσων τὸν νόμον μακαρισός.

19. Λόγοις ὲ παιδευθήσεται οἰκέτης σκληρός·
Ἐὰν γὰρ καὶ νοήσῃ, οὐχ ὑπακούσεται.

20. Ἐὰν ἴδῃς ἄνδρα ταχὺν ἐν λόγοις,
Γίνωσκε ὅτι ἐλπίδα ἔχει μᾶλλον ὁ ἄφρων αὐτῆ.

21. Ὃς καλασπαταλᾷ ἐκ παιδὸς, οἰκέτης ἔσαι·
Ἔσχατον δὲ ὀδυνηθήσεται ἐφ' ἑαυτῷ.

22. Ἀνὴρ θυμώδης ὀρύσσει νεῖκος·
Ἀνὴρ δὲ ὀργίλος ἐξώρυξεν ἁμαρτίαν. ἁμαρτίας

23. Ὕβρις ἄνδρα ταπεινοῖ·
Τὸν δὲ ταπεινόφρονας ἐρείδει δόξῃ Κύριος.

24. Ὃς μερίζεται κλέπτῃ, μισεῖ τὴν ἑαυτῆ ψυχήν·
Ἐὰν δὲ ὅρκῳ προτεθέντος ἀκούσαντες μὴ ἀναγγείλωσι, 25. φοβηθέντες καὶ αἰσχυνθέντες ἄνθρωποι, ὑποσκελισθήσονται·
Ὁ δὲ πεποιθὼς ἐπὶ Κύριον, εὐφρανθήσεται.
Ἀσέβεια ἀνδρὶ δίδωσι σφάλμα· Alia interpretatio
Ὁ δὲ πεποιθὼς ἐπὶ τῷ δεσπότῃ, σωθήσεται.

26. Πολλοὶ θεραπεύουσι πρόσωπα ἡγεμένων·
Παρὰ δὲ Κυρίῳ γίνεται τὸ δίκαιον ἀνδρί.

27. Βδέλυγμα δίκαιος ἀνὴρ ἀνδρὶ ἀδίκῳ·
Βδέλυγμα δὲ ἀνόμῳ κατευθύνουσα ὁδός.

ΚΕΦ.

v. 8. λοιμοὶ) ἄνομοι. v. 10. ζητήσουσιν) μισῆσιν. v. 13. ἀλλήλων) ἀλλήλοις. ibid. ποιεῖται ἀμφοτέρων) transposita. v. 18. ὑπάρξει) ὑπάρξῃ. v. 19. stich. 2. νοήσῃ, ἐχ) νοήσῃ, ἀλλ' οὐχ. v. 22. ὀρύσσει) ἐγείρει. ibid. stich. 2. ἁμαρτίας) ἁμαρτίαν. v. 25. ὑποσκελισθήσονται) ὑπεσκελίσθησαν. ibid. stich. 2. ἐπὶ Κύριον) ἐπὶ κυρίῳ. ibid. stich. 4. Ὁ δὲ πεποιθὼς) ὃς δὲ πέποιθεν. v. 27. ἀδίκῳ) in textu *Rom.* legitur δικαίῳ à margine ἀδίκῳ.

ΚΕΦ. Λ'. XXX.

Integrum hocce 30. Caput ſupra Capiti 24. poſt verſum 22. & 34. inſertum legere eſt.

ΚΕΦ. ΛΑ'. XXXI.

Verſus 1. & ſequentes usque ad 10. ibidem Capiti 30. ſubnexi ſunt, Caput 25. immediatè præcedentes.

10. Γυναῖκα ἀνδρείαν τίς εὑρήσει;
Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη.

αὐτὴν 11. Θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς·
Ἡ τοιαύτη (καλῶν) σκύλων ἐκ ἀπορήσει.

12. Ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὸν, καὶ ὃ κακὸν πάντα τὸν βίον·

13. Μηρυομένη ἔριον καὶ λίνον, ἐποίησεν εὐχρηστα ταῖς χερσὶν αὐτῆς.

14. Ἐγένετο (δὲ) ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν·

πλοῦτον Συνάγει δὲ αὐτῆς τὸν βίον. 15. Καὶ ἀνίσταται ἐκ νυκτῶν,
Καὶ ἔδωκε βρώματα τῷ οἴκῳ,
Καὶ ἔργα ταῖς θεραπαίναις,

16. Θεωρήσασα γεώργιον ἐπρίατο·
Ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κλῆμα.

17. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς,
Ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον.

18. Ἐγεύσατο δὲ ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι,
Καὶ ἐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς.

19. Τὰς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα,
Τοὺς δὲ πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον.

20. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι,
Καρπὸν δὲ ἐξέτεινε πλωχῷ.

21. Οὐ φροντίζῃ τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς ὅταν πε χιονίζῃ·
Πάντες γὰρ οἱ παρ' αὐτῇ ἐνδιδύσκονται * δίσσα·

χρονίζῃ αὐτῆς διοσας

22. Χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς,
Ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα.

23. Περίβλεπτος δὲ γίνεται ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς,
Ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν πρεσβυτέρων τῆς γῆς.

24. Σινδόνας ἐποίησε καὶ ἀπέδοτο,
Περιζώματα δὲ τοῖς Χαναναίοις.

25. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο,
Καὶ ἠυφράνθη ἐν ἡμέραις ἐσχάταις.

26. Στόμα αὐτῆς διήνοιξεν προσηκόντως καὶ ἐννόμως, πρεσεχόντως

Καὶ

CAP. XXXI. v. 11. ἐπ' αὐτὴν) ἐπ' αὐτῇ. v. 12. ὀγαθὸν, καὶ ὃ κακὸν πάντα) εἰς ἀγαθὰ πάντα. v. 13. εὔχρηστα) εὔχρηστον. v. 14. (δὲ) abeſt. ibid. ſtich. 2. αὐτῆς τὸν πλοῦτον) αὕτη τὸν βίον. v. 18. Ἐγεύσατο δὲ) καὶ ἐγεύσατο. ibid. ſtich. 2. ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς) transpoſita. v. 19. Τὰς χεῖρας) τοὺς πήχεις. ibid. ſtich. 2. Τοὺς δὲ πήχεις) τὰς δὲ χεῖρας. v. 21. Φροντίζῃ) Φροντίζει. ibid. ſtich. 2. ἐνδιδύσκονται δίσσας.) ἐνδεδυμένοι εἰσί. δισσὰς. v. 23. ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς) transpoſita. ibid. ſtich. 2. τῶν πρεσβυτέρων) τῶν γερόντων κατοίκων. v. 24. ſtich. 2. δὲ) abeſt. v. 25. & 26. in *Rom.* transponuntur.

Καὶ τάξιν ἐξείλατο τῇ γλώσσῃ αὐτῆς.

27. Στεγναὶ διατριβαὶ οἴκων αὐτῆς·
Σῖτα δὲ ὀκνηρὰ ἐκ ἔφαγε.
(Στόμα δὲ αὐτῆς ἀνοίγει σοφῶς καὶ νομοθέσμως,
Ἡ δὲ ἐλεημοσύνη αὐτῆς) 28. Ἀνέστησαν τὰ τέκνα αὐτῆς, καὶ ἐπλάτησαν·
Καὶ ὁ ἀνὴρ αὐτῆς ἤνεσιν αὐτήν.

Alia interpretatio vers. 26.

Ἀνέστησεν

Duæ interpretationes.

29. Πολλαὶ θυγατέρες ἐκλήσαντο πλοῦτον,
Πολλαὶ ἐποίησαν δύναμιν· δυνατά
Σὺ δὲ ὑπέρκεισαι (καὶ ὑπερῆρας) πάσας.

30. Ψευδεῖς ἀρέσκειαι, καὶ μάταιον κάλλος γυναικός· γυνὴ γὰρ εὐσεβὴς συνετὴ
εὐλογεῖται, (φόβον δὲ Κυρίε αὕτη αἰνείτω). Alia interpretatio.

31. Δότε αὐτῇ ἀπὸ καρπῶν χειρῶν αὐτῆς, χειλέων
Καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

Παροιμίαι Σολομῶντος.

v. 27. ſtich. 3. Στόμα δὲ αὐτῆς) τὸ στόμα δὲ. v. 29. ſtich. 2. δυνατὰ) δύναμιν. ibid. ſtich. 3. καὶ) deeſt.

ΕΚΚΛΗ-

ΕΚΚΛΗΣΙΑΣΤΗΣ.

ΚΕΦΑΛΑΙΟΝ Α'.



Ηματα ἐκκλησιαστοῦ υἱοῦ Δαυὶδ βασιλέως Ἰσραὴλ ἐν Ἰερουσαλήμ.

2. Ματαιότης ματαιοτήτων, εἶπεν ὁ ἐκκλησιαστής·
Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης.

3. Τίς περίσσεια τῷ ἀνθρώπῳ
Ἐν παντὶ μόχθῳ αὐτοῦ ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον;

4. Γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται,
Καὶ ἡ γῆ εἰς τὸν αἰῶνα ἕστηκε.

5. Καὶ ἀνατέλλει ὁ ἥλιος, καὶ δύνει ὁ ἥλιος, καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει·
Ἀνατέλλων αὐτὸς ἐκεῖ, 6. πορεύεται πρὸς νότον,
βορρᾶ Καὶ κυκλοῖ πρὸς βορρᾶν·
Κυκλοῖ κυκλῶν πορεύεται τὸ πνεῦμα,
Καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα.

7. Πάντες οἱ χείμαρροι πορεύονται εἰς τὴν θάλασσαν,
ἔσαι Καὶ ἡ θάλασσα οὐκ ἔστιν ἐμπεπλαμένη·
Εἰς τόπον οὗ οἱ χείμαρροι πορεύονται,
Ἐκεῖ αὐτοὶ ἐπιστρέφουσι τοῦ πορευθῆναι.

8. Πάντες οἱ λόγοι ἔγκοποι,
Οὐ δυνήσεται ἀνὴρ τοῦ λαλεῖν·
Καὶ οὐκ ἐμπλησθήσεται ὀφθαλμὸς τοῦ ὁρᾶν,
Καὶ οὐ πληρωθήσεται οὖς ἀπὸ ἀκροάσεως.

9. Τί τὸ γεγονός; αὐτὸ τὸ γενησόμενον.
Καὶ τί τὸ πεποιημένον; αὐτὸ τὸ ποιηθησόμενον·
Καὶ οὐκ ἔστι πᾶν πρόσφατον ὑπὸ τὸν ἥλιον.

10. Ὅς λαλήσει καὶ ἐρεῖ· ἴδε τοῦτο καινόν ἐστιν;
Ἤδη γέγονεν ἐν τοῖς αἰῶσι
Τοῖς γενομένοις ἀπὸ ἔμπροσθεν ἡμῶν.

11. Οὐκ ἔστι μνήμη τοῖς πρώτοις,
Καί γε τοῖς ἐσχάτοις γενησομένοις οὐκ ἔσαι αὐτοῖς μνήμη
Μετὰ τῶν γενηθησομένων εἰς τὴν ἔσχατην. γενομένοις ἔστιν αὐτῶν

12. Ἐγὼ ἐκκλησιαστὴς ἐγενόμην
Βασιλεὺς ἐπὶ Ἰσραὴλ ἐν Ἰερουσαλήμ·

13. Καὶ ἔδωκα τὴν καρδίαν μου τοῦ ἐκζητῆσαι
Καὶ τοῦ κατασκέψασθαι ἐν τῇ σοφίᾳ περὶ πάντων
Τῶν γενομένων ὑπὸ τὸν οὐρανόν·

ΕΚΚΛΗΣΙΑΣΤΗΣ. CAP. I. v. 5. ſtich. 2. Ἀνατέλλων αὐτὸς) transpoſita. v. 6. βορρᾶ) βορρᾶν. v. 7. ſtich. 2. ἔσαι ἐμπιπλ..) ἔστιν ἐμπιμπλαμένη. ibid. ſtich. 3. Εἰς τόπον) εἰς τὸν τόπον. v. 8. ſtich. 3. οὐκ ἐμπλησθήσεται) οὐ πληθήσεται. v. 10. ſtich. 2. γέγονεν τοῖς) γεγόνεν ἐν τοῖς. v. 11. ſtich 2. ἔστιν αὐτῶν) ἔσαι αὐτῶν. ibid. ſtich. 3. γενηθησομένων) γενησομένων. v. 13. ſtich. 3. γενομένων) γινομένων.

Ὅτι περισπασμὸν πονηρὸν ἔδωκεν ὁ Θεὸς τοῖς υἱοῖς τῶ ἀνθρώπε, τῶ περισπᾶσθαι ἐν αὐτῷ.

σύμπαντα 14. Ἰδὲν σὺν πάντα τὰ ποιήματα τὰ πεποιημένα ὑπὸ τὸν ἥλιον·
Καὶ ἰδὲ τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος.

15. Διεστραμμένον ἐ δυνήσεται τῶ κοσμηθῆναι,
Καὶ ὑστέρημα ἐ δυνήσεται τῶ ἀριθμηθῆναι.

16. Ἐλάλησα ἐγὼ ἐν τῇ καρδίᾳ μὲ τῷ λέγειν·
Ἐγὼ ἰδὲ ἐμεγαλύνθην,
Καὶ πρσέθηκα σοφίαν ἐπὶ πᾶσιν
Οἳ ἐγένοντο ἔμπροσθέν μὲ ἐν Ἰερσαλὴμ,
Καὶ καρδία μὲ ἶδεν πολλὰ, σοφίαν καὶ γνῶσιν·

17. Καὶ ἔδωκα καρδίαν μὲ τῶ γνῶναι σοφίαν καὶ γνῶσιν,
παραβολὰς Περιφορὰν καὶ ἐπιξήμην· ἔγνων
Ὅτι καὶ γε τῶτό ἐσι προαίρεσις πνεύματος.

18. Ὅτι ἐν πλήθει σοφίας πλῆθος γνώσεως,
προλιθεὶς γνώσει Καὶ ὁ προσιθεὶς γνῶσιν, προσθήσει ἄλγημα.

ΚΕΦ. Β'. II.

Εἶπον ἐγὼ ἐν καρδίᾳ μὲ· δεῦρο δὴ, πειράσω σε ἐν εὐφροσύνῃ, καὶ ἴδε ἐν ἀγαθῷ·
Καὶ ἰδὲ καί γε τῶτο ματαιότης.

2. Τῷ γέλωτι εἶπα περιφοραὶ,
Καὶ τῇ εὐφροσύνῃ· τί τῶτο ποιεῖς;

3. Καὶ κατεσκεψάμην ἐν καρδίᾳ μὲ ἐι ἡ
Ἑλκύσειν εἰς οἶνον τὴν σάρκα μὲ· ἑλκύσει
Καὶ καρδία μὲ ὡδήγησεν ἐν σοφίᾳ, ὡς.
Καὶ τῶ κρατῆσαι ἐπ' ἀφροσύνῃ, εὐφροσύνη
Ἕως ἓ ἴδω ποῖον τὸ ἀγαθὸν τοῖς υἱοῖς τῶ ἀνθρώπε, ὃ ποιήσσιν ὑπὸ τὸν ἥλιον
Ἀριθμὸν ἡμερῶν ζωῆς αὐτῶν.

4. Ἐμεγάλυνα ποιήμά μὲ,
Ὠκοδόμησά μοι οἴκς,
Ἐφύτευσά μοι ἀμπελῶνας,

5. Ἐποίησά μοι κήπς καὶ παραδείσς,
Καὶ ἐφύτευσα ἐν αὐτοῖς ξύλον πᾶν καρπῶ·

6. Ἐποίησά μοι κολυμβήθρας ὑδάτων,
Τῶ ποτίσαι ἀπ' αὐτῶν δρυμὸν βλασῶντα ξύλα.

7. Ἐκλησάμην δέλες καὶ παιδίσκας,
Καὶ οἰκογενεῖς ἐγένοντό μοι·
Καί γε κλῆσις βκολίε καὶ ποιμνίε πολλὴ ἐγένετό μοι
Ὑπὲρ πάντας τὲς γενομένες ἔμπροσθέν μὲ ἐν Ἰερσαλήμ.

8. Συνήγαγόν μοι καί γε ἀργύριον καί γε χρυσίον,
Καὶ περισσιασμὲς βασιλέων καὶ τῶν χωρῶν·
Ἐποίησά μοι ᾄδοντας καὶ ᾀδέσας,
Καὶ ἐντρυφήματα υἱῶν τῶ ἀνθρώπε,
Οἰνοχόον καὶ οἰνοχόας. Οἰνοχόες

9. Καὶ ἐμεγαλύνθην, καὶ προσέθηκα
Παρὰ

v. 13. ſtich. 4. τῶ ἀνθρώπε) τῶν ἀνθρώπων. v. 15. τῶ κοσμηθῆναι) ἐπικοσμηθῆναι. ibid. ſtich. 2. τοῦ) abeſt. v. 16. ἐν τῇ καρδίᾳ) ἐν καρδίᾳ. ibid. ſtich. 2. Ἐγὼ ἰδοὺ) transpoſita. ibid. ſtich. 5. & v. 17. ſtich. 1. transponuntur in *Edit. Rom.* v. 17. ſtich. 3. Ὅτι καί γε) ἐγὼ ὅτι καί γε. v. 18. ſtich. 2. προτιθεὶς γνώσει) προσιθεὶς γνῶσιν. CAP. II. v. 3. ſtich. 4. εὐφροσύνη) εὐφροσύην. ibid. ſtich. 5. τῶ ἀνθρώπε) τῶν ἀνθρώπων. v. 8. ſtich. 4. & 5. τῶ ἀνθρώπε, Οἰνοχόες) ἀνθρώπων, οἰνοχόον.

Παρὰ πάντας τὲς γενομένες ἔμπροσθέν μȣ ἐν Ἰερȣσαλήμ·
Καὶ γε σοφία μȣ ἐσάθη μοι.

10. Καὶ πᾶν ὃ ἤτησαν οἱ ὀφθαλμοί μȣ, ȣ̓κ ὑφεῖλον ἀπ' ȣ̓τῶν,
Ȣ̓κ ἀπεκώλυσα τὴν καρδίαν μȣ ἀπὸ πάσης εὐφροσύνης,
Ὅτι καρδία μȣ εὐφράνθη ἐν παντὶ μόχθῳ μȣ·
Καὶ τȣ̃το ἐγένετο μερὶς μȣ ἀπὸ παντὸς μόχθȣ μȣ.

11. Καὶ ἐπέβλεψα ἐγὼ ἐν πᾶσι τοῖς ποιήμασί μȣ
Οἷς ἐποίησαν αἱ χεῖρές μȣ,
Καὶ ἐν μόχθῳ (μȣ) ᾧ ἐμόχθησα τȣ̃ ποιεῖν·
Καὶ ἰδȣ̀ τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος,
Καὶ ȣ̓κ ἔστι περίσσεια ὑπὸ τὸν ἥλιον.

12. Καὶ ἐπέβλεψα ἐγὼ τȣ̃ ἰδεῖν σοφίαν
Καὶ περιφορὰν καὶ ἀφροσύνην·
Ὅτι τίς ἄνθρωπος ὃς ἐπελεύσεται ὀπίσω τῆς βȣλῆς
Τὰ ὅσα ἐποίησαν ȣ̓τήν;

13. Καὶ ἶδον ἐγὼ ὅτι ἔστὶ περίσσεια
Τῇ σοφίᾳ ὑπὲρ τὴν ἀφροσύνην,
Ὡς περίσσεια τȣ̃ φωτὸς ὑπὲρ τὸ σκότος·

14. Τȣ̃ σοφȣ̃ οἱ ὀφθαλμοὶ ȣ̓τȣ̃ ἐν κεφαλῇ ȣ̓τȣ̃,
Καὶ ὁ ἄφρων ἐν σκότει πορεύεται.
Καὶ ἔγνων καί γε ἐγὼ, ὅτι συνάντημα ἓν
Συναντήσεται τοῖς πᾶσιν ȣ̓τοῖς·

15. Καὶ εἶπα ἐγὼ ἐν καρδίᾳ μȣ·
Ὡς συνάντημα τȣ̃ ἄφρονος,
Καί γε ἐμοὶ συναντήσεταί μοι·
Καὶ ἱνατί ἐσοφισάμην;
Ἐγὼ τότε περισσὸν ἐλάλησα ἐν καρδίᾳ μȣ,
(Διότι ἄφρων ἐκ περισεύματος λαλεῖ)
Ὅτι καί γε τȣ̃το ματαιότης.

16. Ὅτι ȣ̓κ ἔστι μνήμη τȣ̃ σοφȣ̃ μετὰ τȣ̃ ἄφρονος εἰς αἰῶνα,
Καθότι ἤδη ταῖς ἡμέραις ταῖς ἐπερχομέναις τὰ πάντα ἐπελήθη·
Καὶ πῶς ἀποθανεῖται ὁ σοφὸς μετὰ τȣ̃ ἄφρονος;

17. Καὶ ἐμίσησα σὺν τὴν ζωήν·
Ὅτι πονηρὸν ἐπ' ἐμὲ τὸ ποίημα
Τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον·
Ὅτι τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος.

18. Καὶ ἐμίσησα ἐγὼ σὺν πάντα μόχθον μȣ,
Ὃ ἐγὼ μοχθῶ ὑπὸ τὸν ἥλιον,
Ὅτι ἀφίω ȣ̓τὸν τῷ ἀνθρώπῳ τῷ γενησομένῳ μετ' ἐμέ·

19. (Καὶ τίς οἶδεν ἢ σοφὸς ἔσαι ἢ ἄφρων;)
Καὶ (εἰ) ἐξȣσιάσεται ἐν παντὶ μόχθῳ ἐξȣσιάζεται μȣ,

Hh 2 Ὃ ἐμό-

v. 9. ſtich. 2. ἔμπροσθεν) ἀπὸ ἔμπροσθεν. v. 10. ȣ̓κ ὑφεῖλον) ȣ̓κ ἀφεῖλον. ibid. ſtich. 2. εὐφροσύνης) addit μȣ. v. 11. τοῖς ποιήμασι) τοῖς abeſt. ibid. ſtich. 3. (μȣ) abeſt. v. 12. ſtich. 2. περιφορὰν) παραφορὰν. ibid. ſtich. 3. ἐπελεύσεται) ὃς ἐπελεύσεται. ibid. ſtich. 4. ἐποίησαν) ἐποίησεν. v. 15. ſtich. 5. τότε) abeſt. ibid. ſtich. 6. & 7. transponuntur in *Edit. Rom.* & ſtich. 6. legitur ὁ ἄφρων. v. 16. μνήμη) ἡ μνήμη. ibid. εἰς αἰῶνα) εἰς τὸν αἰῶνα. ibid. ſtich. 2. ταῖς ἡμέραις ταῖς ἐπερχομέναις) αἱ ἡμέραι ἐρχόμεναι. v. 17. ſtich. 4. Ὅτι τὰ πάντα) ὅτι πάντα. v. 18. σὺν πάντα) σύμπαντα. ibid. ſtich. 2. μοχθῶ) κοπιῶ. ibid. ſtich. 3. γενησομένῳ) γινομένῳ. v. 19. οἶδεν ἢ) εἶδεν εἰ.

Ὃ ἐμόχθησα καὶ ᾧ ἐσοφισάμην ὑπὸ τὸν ἥλιον·
Καί γε τοῦτο ματαιότης.

20. Καὶ ἐπέστρεψα ἐγὼ τοῦ ἀποτάξασθαι τῇ καρδίᾳ (μου)
Ἐπὶ παντὶ τῷ μόχθῳ ᾧ ἐμόχθησα ὑπὸ τὸν ἥλιον·

ὅτι 21. Ὅτι ἔστιν ἄνθρωπος ᾧ μόχθος αὐτοῦ
Ἐν σοφίᾳ καὶ ἐν γνώσει καὶ ἐν ἀνδρείᾳ·
Καὶ ἄνθρωπος ὃς οὐκ ἐμόχθησεν ἐν αὐτῷ,
αὐτὸν Δώσει αὐτῷ μερίδα αὐτοῦ·
Καί γε τοῦτο ματαιότης καὶ πονηρία μεγάλη.

22. Ὅτι τί γίνεται τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ,
Καὶ ἐν προαιρέσει καρδίας αὐτοῦ,
Ὃ αὐτὸς μοχθεῖ ὑπὸ τὸν ἥλιον;

23. Ὅτι πᾶσαι αἱ ἡμέραι αὐτοῦ
Ἀλγημάτων καὶ θυμοῦ περισπασμὸς αὐτοῦ,
Καί γε ἐν νυκτὶ οὐ κοιμᾶται ἡ καρδία αὐτοῦ·
Καί γε τοῦτο ματαιότης ἐστίν.

ὃς 24. Οὐκ ἔστιν ἀγαθὸν ἀνθρώπῳ, ὃ φάγεται καὶ πίεται,
Καὶ ὃ δείξει τῇ ψυχῇ αὐτοῦ ἀγαθὸν ἐν μόχθῳ αὐτοῦ;
Καί γε τοῦτο εἶδον ἐγὼ ὅτι ἀπὸ χειρὸς τοῦ Θεοῦ ἐστιν.

πίεται 25. Ὅτι τίς φάγεται καὶ τίς φείσεται πάρεξ αὐτοῦ;

26. Ὅτι τῷ ἀνθρώπῳ τῷ ἀγαθῷ πρὸ προσώπου αὐτοῦ
Ἔδωκε σοφίαν καὶ γνῶσιν καὶ εὐφροσύνην,
Καὶ τῷ ἁμαρτάνοντι ἔδωκε περισπασμὸν
Τοῦ προσθεῖναι καὶ τοῦ συναγαγεῖν,
Τοῦ δοῦναι τῷ ἀγαθῷ πρὸ προσώπου τοῦ Θεοῦ·
Ὅτι καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος.

ΚΕΦ. Γ'. III.

ΤΟΙΣ πᾶσιν ὁ χρόνος,
Καὶ καιρὸς τῷ παντὶ πράγματι ὑπὸ τὸν οὐρανόν.

2. Καιρὸς τοῦ τεκεῖν, καὶ καιρὸς τοῦ ἀποθανεῖν·
Καιρὸς τοῦ φυτεῦσαι, καὶ καιρὸς τοῦ ἐκλίλαι τὸ πεφυτευμένον·

3. Καιρὸς τοῦ ἀποκλεῖναι, καὶ καιρὸς τοῦ ἰάσασθαι·
Καιρὸς τοῦ καθελεῖν, καὶ καιρὸς τοῦ οἰκοδομῆσαι·

4. Καιρὸς τοῦ κλαῦσαι, καὶ καιρὸς τοῦ γελάσαι·
Καιρὸς τοῦ κόψασθαι, καὶ καιρὸς τοῦ ὀρχήσασθαι·

5. Καιρὸς τοῦ βαλεῖν λίθους, καὶ καιρὸς τοῦ συναγαγεῖν λίθους·
Καιρὸς τοῦ περιλαβεῖν, καὶ καιρὸς τοῦ μακρυνθῆναι ἀπὸ περιλήμματος·

6. Καὶ-

v. 20. stich. 1. 2. τῇ καρδίᾳ μου) Ἐπὶ παντὶ τῷ μόχθῳ ᾧ) τὴν καρδίαν μου, ἐν παντὶ μόχθῳ μου ᾧ. v. 21. ἀνδρείᾳ) ἀνδρίᾳ. ibid. stich. 3. ἄνθρ. ὃν) ἄνθρωπος ᾧ ὃν. ibid. stich. 4. Δώσει αὐτὸν) δώσει αὐτῷ. v. 22. γίνεται τῷ) γίνεται ἐν τῷ. v. 24. ὃς φάγεται καὶ πίεται) ὃ φάγεται καὶ ὃ πίεται. CAP. III. v. 3. stich. 4. οἰκοδομῆσαι) οἰκοδομεῖν. v. 5. stich. 2. περιλήμματος) περιλήψεως.

6. Καιρὸς τοῦ ζητῆσαι, καὶ καιρὸς τοῦ ἀπολέσαι·
Καιρὸς τοῦ φυλάξαι, καὶ καιρὸς τοῦ ἐκβαλεῖν·
7. Καιρὸς τοῦ ῥῆξαι, καὶ καιρὸς τοῦ ῥάψαι·
Καιρὸς τοῦ σιγᾶν, καὶ καιρὸς τοῦ λαλεῖν·
8. Καιρὸς τοῦ φιλῆσαι, καὶ καιρὸς τοῦ μισῆσαι·
Καιρὸς πολέμου, καὶ καιρὸς εἰρήνης.
9. Τίς περίσσεια τοῦ ποιοῦντος ἐν οἷς αὐτὸς μοχθεῖ;
πειρασμὸν 10. Εἶδον τὸν περισπασμὸν ὃν ἔδωκεν ὁ Θεὸς
Τοῖς υἱοῖς τοῦ ἀνθρώπου, τοῦ περισπᾶσθαι ἐν αὐτῷ.
Σύμπαντα 11. Τὰ πάντα (ἃ) ἐποίησε καλὰ ἐν καιρῷ αὐτοῦ.
Καί γε τὸν αἰῶνα ἔδωκεν ἐν καρδίᾳ αὐτῶν,
αὐτοῦ Ὅπως μὴ εὕρῃ ὁ ἄνθρωπος τὸ ποίημα ὃ ἐποίησεν ὁ Θεὸς
Ἀπ' ἀρχῆς καὶ μέχρι τέλους.
12. Ἔγνων ὅτι οὐκ ἔστιν ἀγαθὸν ἐν αὐτοῖς,
Εἰ μὴ τοῦ εὐφρανθῆναι καὶ τοῦ ποιεῖν ἀγαθὸν ἐν ζωῇ αὐτοῦ·
13. Καί γε πᾶς ὁ ἄνθρωπος ὃς φάγεται καὶ πίεται,
Καὶ ἴδῃ ἀγαθὸν ἐν παντὶ μόχθῳ αὐτοῦ,
(Τοῦτο) δόμα Θεοῦ ἐστιν.
14. Ἔγνων ὅτι πάντα ὅσα ἐποίησεν ὁ Θεὸς,
Αὐτὰ ἔσαι εἰς τὸν αἰῶνα·
Ἐπ' αὐτῷ οὐκ ἔστιν προσθεῖναι, αὐτῶν
Καὶ ἀπ' αὐτοῦ οὐκ ἔστιν ἀφελεῖν· αὐτῶν
Καὶ ὁ Θεὸς ἐποίησεν, ἵνα φοβηθῶσιν ἀπὸ προσώπου αὐτοῦ.
15. Τὸ γενόμενον ἤδη, ἐστὶ, γεννώμενον
Καὶ ὅσα τοῦ γίνεσθαι, ἤδη γέγονε· νον
Καὶ ὁ Θεὸς ζητήσει τὸν διωκόμενον.
16. Καὶ ἔτι εἶδον ὑπὸ τὸν ἥλιον
Τόπον τῆς κρίσεως, ἐκεῖ ὁ ἀσεβής·
Καὶ τόπον τοῦ δικαίου, ἐκεῖ ὁ * ἀσεβής. τῶν δι-
17. (Ἐκεῖ) εἶπον ἐγὼ ἐν καρδίᾳ μου· καίων
Σὺν τὸν δίκαιον καὶ σὺν τὸν ἀσεβῆ * εὐσεβὴς
κρινεῖ ὁ Θεὸς,
Ὅτι καιρὸς τῷ παντὶ πράγματι
Καὶ ἐπὶ παντὶ τῷ ποιήματι.
18. Ἐκεῖ εἶπα ἐγὼ ἐν καρδίᾳ μου
Περὶ λαλιᾶς υἱῶν τοῦ ἀνθρώπου, ὅτι διακρινεῖ αὐτοὺς ὁ Θεός·
Καὶ τοῦ δεῖξαι ὅτι αὐτοὶ κλῆνη εἰσὶ, τοῦτο
19. Καί γε αὐτοῖς συνάντημα υἱῶν τοῦ ἀνθρώπου,
Καὶ συνάντημα τοῦ κλήνους συνάντημα ἓν αὐτοῖς·
Ὡς ὁ θάνατος τοῦτο, οὕτως ὁ θάνατος τούτου,
Καὶ πνεῦμα ἓν τοῖς πᾶσι.
Καὶ τί ἐπερίσσευσεν ὁ ἄνθρωπος παρὰ τὸ κτῆνος;
Οὐδέν· ὅτι τὰ πάντα ματαιότης.

V. 10. Ἶδον σὺν τὸν πειρασμὸν) ἔδωκεν σὺν πάντα τὸν περισπασμὸν. ibid. ſtich. 2. τοῦ ἀνθρώπου) τῶν ἀνθρώπων. V. 11. Σύμπαντα) τὰ σύμπαντα. ibid. ſtich. 2. σὺν τὸν) σύμπαντα τὸν. ibid. αὐτοῦ) αὐτῶν. V. 13. πᾶς ἄνθρ.) πᾶς ὁ ἄνθρωπος. ibid ſtich. 3. (τοῦτο) abeſt. V. 14. ſtich. 3. Ἐπ' αὐτῶν) ἐπ' αὐτῷ. ibid. ſtich. 4. ἀπ' αὐτῶν) ἀπ' αὐτοῦ. V. 15. γεννώμενον) γενόμενον. V. 16. ſtich. 3. τῶν δικαίων) τοῦ δικαίου. V. 17. Ἐκεῖ εἶπον ἐγὼ) καὶ εἶπα ἐγὼ. ibid. ſtich. 4. ποιήματι) τῷ ποιήματι. V. 18. ſtich. 3. Καὶ τοῦτο) καὶ τοῦ. V. 19. ſtich 3. οὕτως ὁ) οὕτως καὶ ὁ. ibid. ſtich. 6. ὅτι τὰ πάντα) ὅτι πάντα.

20. Τὰ πάντα πορεύεται εἰς τόπον ἕνα·
Τὰ πάντα ἐγένετο ἀπὸ τῦ χοὸς,
Καὶ τὰ πάντα ἐπιστρέφει εἰς τὸν χοῦν·
21. Καὶ τίς οἶδεν τὸ πνεῦμα υἱῶν τῦ ἀνθρώπυ,
Εἰ ἀναβαίνει αὐτὸ εἰς ἄνω;
Καὶ πνεῦμα τῦ κήνυς, εἰ καταβαίνει αὐτὸ κάτω εἰς τὴν γῆν;
22. Καὶ ἶδον ὅτι ἐκ ἔστιν ἀγαθὸν
Εἰ μὴ ὁ εὐφρανθήσεται ὁ ἄνθρωπος ἐν ποιήμασιν αὐτῦ,
Ὅτι αὐτὸ μερὶς αὐτῦ·
Ὅτι τίς ἄξει αὐτὸν τῦ ἰδεῖν ἐν ᾧ ἂν γένηται μετ' αὐτόν;

ΚΕΦ. Δ'. IV.

ΚΑΙ ἐπέστρεψα ἐγὼ, καὶ ἶδον
Σὺν πάσας τὰς συκοφαντίας τὰς γενομένας ὑπὸ τὸν ἥλιον·
Καὶ ἰδὲ δάκρυον τῶν συκοφαντυμένων,
Καὶ ἐκ ἔστιν αὐτοῖς παρακαλῶν·
Καὶ ἀπὸ χειρὸς συκοφαντούντων αὐτὲς ἰσχὺς,
Καὶ ἐκ ἔστιν αὐτοῖς ὁ παρακαλῶν.
2. Καὶ ἐπήνεσα ἐγὼ σὺν τὲς τεθνηκότας
Τὲς ἤδη ἀποθανόντας ὑπὲρ τὲς ζῶντας.
Ὅσοι αὐτοὶ ζῶσιν ἕως τῦ νῦν·
3. Καὶ ἀγαθὸς ὑπὲρ τὲς δύο τέτες
Ὅστις ἔπω ἐγένετο,
Ὃς ἐκ εἶδε σὺν τὸ ποίημα τὸ πονηρὸν τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον.
4. Καὶ ἶδον ἐγὼ σὺν πάντα τὸν μόχθον, σύμπαντα
Καὶ σὺν πᾶσαν ἀνδρείαν τῦ ποιήματος,
Ὅτι αὐτὸ ζῆλος ἀνδρὸς ἀπὸ τῦ ἑταίρυ αὐτῦ· ἑτέρυ
Καί γε τῦτο ματαιότης καὶ προαίρεσις πνεύματος.
5. Ὁ ἄφρων περιέλαβε τὰς χεῖρας αὐτῦ,
Καὶ ἔφαγεν τὰς σάρκας αὐτῦ.
6. Ἀγαθὸν πλήρωμα δρακὸς ἀναπαύσεως,
Ὑπὲρ πληρώματα δύο δρακῶν μόχθυ
Καὶ προαιρέσεως πνεύματος.
7. Καὶ ἐπέστρεψα ἐγὼ, καὶ ἶδον ματαιότητα ὑπὸ τὸν ἥλιον·
8. Ἔστιν εἷς, καὶ ἐκ ἔστι δεύτερος,
Καί γε υἱὸς καί γε ἀδελφὸς ἐκ ἔστιν αὐτῷ·
Καὶ ἐκ ἔστι περασμὸς τῷ παντὶ μόχθῳ αὐτῦ,
Καί γε ὀφθαλμὸς αὐτῦ ἐκ ἐμπίπλαται πλύτυ·
Καὶ τίνι ἐγὼ μοχθῶ,
Καὶ στερίσκω τὴν ψυχήν μυ ἀπὸ ἀγαθωσύνης;
Καί γε τῦτο ματαιότης καὶ περισπασμὸς πονηρός ἐστιν. περισπασμὸς
9. Ἀγαθοὶ οἱ δύο ὑπὲρ τὸν ἕνα,

Οἷς

v. 20. πορεύεται) abeſt. ibid. ſtich. 3. ἐπιστρέφει) ἐπιστρέψει. v. 21. οἶδεν τὸ πν.) εἶδεν πνεῦμα. ibid. ſtich. 2. εἰς ἄνω) ἄνω. ibid. ſtich. 3. Καὶ πν) καὶ τὸ πνεῦμα. ibid. εἰς τὴν γῆν.) εἰς γῆν. v. 22. ſtich. 2. ἄνθρωπος) ὁ ἄνθρωπος. ibid. ſtich. 4. ἐν ᾧ ἂν) ἐν ᾧ ἐὰν. CAP. IV. v. 1. ſtich. 2. Σὺν πάσας) σύμπασας. ibid. ſtich. 5. αὐτὲς ἰσχὺς) αὐτοῖς ἰσχὺς ibid. ſtich. 6. ὁ παρακαλῶν) ὁ deeſt. v. 2. σὺν τὲς) σύμπαντας τὲς. v. 3. ſtich. 3. σὺν τὸ ποίημα) σὺν πᾶν τὸ ποίημα. v. 4. ſtich. 2. σὺν πᾶσαν ἀνδρείαν) σύμπασαν ἀνδρίαν. ibid. ſtich. 3. ἑτέρυ) ἑταίρυ. v. 5. Ἄφρων περιέλαβε) ὁ ἄφρων περιέβαλε. v. 8. ſtich. 4. ἐμπίπλαται) ἐμπίμπλαται. ibid. ſtich. 7. περισπασμὸς) περισπασμὸς.

Οἷς ἐστὶν αὐτοῖς μισθὸς ἀγαθὸς ἐν μόχθῳ αὐτῶν·

ἐγείρει 10. Ὅτι ἐὰν πέσωσιν, ὁ εἷς ἐγερεῖ τὸν μέτοχον αὐτῦ·
Καὶ ἀὶ αὐτῷ τῷ ἑνὶ, ὅταν πέσῃ,
Καὶ μὴ ᾖ δεύτερος τῦ ἐγεῖραι αὐτόν.

11. Καί γε ἐὰν κοιμηθῶσιν οἱ δύο, καὶ θέρμη αὐτοῖς·
Καὶ ὁ εἷς πῶς θερμανθῇ;

12. Καὶ ἐὰν ἐπικραταιωθῇ ὁ εἷς,
Οἱ δύο στήσονται κατέναντι αὐτῦ·
Καὶ τὸ σπαρτίον τὸ ἔντριτον ἐ ταχέως ἀποῤῥαγήσεται.

13. Ἀγαθὸς παῖς πένης καὶ σοφὸς
Ὑπὲρ βασιλέα πρεσβύτερον καὶ ἄφρονα,
Ὃς οὐκ ἔγνω τῦ προσέχειν ἔτι.

δεσμῶν 14. Ὅτι ἐξ οἴκυ τῶν δεσμίων ἐξελεύσεται τῦ βασιλεῦσαι·
Ὅτι καί γε ἐν βασιλείᾳ αὐτῦ ἐγενήθη πένης.

σύμπαντας ἀναστήσεται 15. Ἰδον σὺν πάντας τὺς ζῶντας
Τὺς περιπατῦντας ὑπὸ τὸν ἥλιον,
Μετὰ τῦ νεανίσκυ τῦ δευτέρυ,
Ὃς στήσεται ἀντ' αὐτῦ.

16. Οὐκ ἔστι περασμὸς τῷ παντὶ λαῷ,
Τοῖς πᾶσιν ὅσοι ἐγένοντο ἔμπροσθεν αὐτῶν,
Καί γε οἱ ἔσχατοι οὐκ εὐφρανθήσονται ἐν αὐτῷ·
Ὅτι καί γε τῦτο ματαιότης καὶ προαίρεσις πνεύματος.

17. Φύλαξον τὸν πόδα συ ἐν ᾧ ἂν πορεύῃ εἰς τὸν οἶκον τῦ Θεῦ,
Καὶ ἐγγὺς τῦ ἀκέειν·
Ὑπὲρ δόμα τῶν ἀφρόνων θυσία συ,
Ὅτι οὐκ εἰσὶν εἰδότες τῦ ποιῆσαι κακόν.

ΚΕΦ. Ε'. V.

ΜΗ σπεῦδε ἐπὶ στόματί συ,
Καὶ καρδία συ μὴ ταχυνέτω,
Τῦ ἐξενέγκαι λόγον πρὸ προσώπυ τῦ Θεῦ·
Ὅτι ὁ Θεὸς ἐν τῷ ὐρανῷ, καὶ σὺ ἐπὶ τῆς γῆς·
Ἐπὶ τύτῳ ἔσωσαν οἱ λόγοι συ ὀλίγοι.

2. Ὅτι παραγίνεται ἐνύπνιον ἐν πλήθει περισπασμῦ, περισπασμῦ
Καὶ φωνὴ ἄφρονος ἐν πλήθει λόγων.

3. Καθὼς ἂν εὔξῃ εὐχὴν τῷ Θεῷ,
Μὴ χρονίσῃς τῦ ἀποδοῦναι αὐτήν,
Ὅτι οὐκ ἔστι θέλημα ἐν ἄφροσι·
Σὺ οὖν ὅσα ἂν εὔξῃ, ἀπόδος.

4. Ἀγαθὸν τὸ μὴ εὔξασθαί σε,
Ἢ τὸ εὔξασθαί σε καὶ μὴ ἀποδοῦναι.

5. Μὴ δῷς τὸ στόμα συ τῦ ἐξαμαρτεῖν τὴν σάρκα συ,
Καὶ μὴ εἴπῃς πρὸ προσώπυ τῦ Θεῦ,
Ὅτι ἄγνοιά ἐστιν·
Ἵνα μὴ ὀργισθῇ ὁ Θεὸς ἐπὶ φωνῇ συ,
Καὶ διαφθείρῃ τὰ ποιήματα χειρῶν συ.

6. Ὅτι

v. 10. ἐγείρει) ἐγερεῖ. ibid. ſtich. 3. τῦ ἐγεῖραι) ἐγεῖραι. v. 11. οἱ δύο) δύο. v. 14. δεσμῶν ἐξελ. βασ.) δεσμίων ἐξελ. τοῦ βασ. v. 15. ſtich. 4. ἀναστήσεται) στήσεται. v. 16. ſtich. 2. ὅσοι) οἳ. ibid. ſtich. 3. ἐν αὐτῷ) ἐπ' αὐτῷ. v. 17. ἐν ᾧ ἂν π. εἰς τὸν οἶκον) ἐν ᾧ ἐὰν π. εἰς οἶκον. CAP. V. v. 1. ſtich. 2. ταχυνέτω) ταχυνάτω. ibid. ſtich. 4. ἐν τῷ ὐρανῷ) adjicit ἄνω. ibid. ſtich. 5. Ἐπὶ τύτῳ) διὰ τῦτο. v. 3. Καθὼς ἂν) ἂν deeſt. ibid. ſtich. 4. ἄν) ἐὰν. v. 5. ἐξαμαρτεῖν) ἐξαμαρτῆσαι.

6. Ὅτι ἐν πλήθει ἐνυπνίων καὶ ματαιοτήτων καὶ λόγων πολλῶν,
Ὅτι σὺν τὸν Θεὸν φοβοῦ.

7. Ἐὰν συκοφαντίαν πένητος καὶ ἁρπαγὴν κρίματος καὶ δικαιοσύνης ἴδῃς ἐν χώρᾳ,
Μὴ θαυμάσῃς ἐπὶ τῷ πράγματι·
Ὅτι ὑψηλὸς ἐπάνω ὑψηλοῦ φυλάσσει,
αὐτῆς Καὶ ὑψηλοὶ ἐπ' αὐτοῖς. 8. Καὶ περίσσεια γῆς
Ἐπὶ παντί ἐστι βασιλεὺς τοῦ ἀγροῦ εἰργασμένου.

9. Ἀγαπῶν ἀργύριον, οὐ πλησθήσεται ἀργυρίου·
αὐτοῦ Καὶ τίς ἠγάπησεν ἐν πλήθει, αὐτῷ γέννημα;
Καὶ γε τοῦτο ματαιότης.

10. Ἐν πλήθει ἀγαθωσύνης ἐπληθύνθησαν οἱ ἔδοντες αὐτήν·
τί Καὶ τίς ἀνδρεία τῷ παρ' αὐτῆς;
Ὅτι ἀρχὴ τοῦ ὁρᾶν ὀφθαλμοῖς αὐτοῦ.

11. Γλυκὺς ὕπνος τοῦ δούλου,
Εἰ ὀλίγον καὶ εἰ πολὺ φάγεται·
Καὶ τῷ ἐμπλησθέντι τοῦ πλουτῆσαι
Οὐκ ἔστι ἀφίων αὐτὸν τοῦ ὑπνῶσαι.

12. Ἔστιν ἀρρωστία ἣν εἶδον ὑπὸ τὸν ἥλιον,
Πλοῦτον φυλασσόμενον τῷ παρ' αὐτοῦ εἰς κακίαν αὐτοῦ,
13. Καὶ ἀπολεῖται ὁ πλοῦτος ἐκεῖνος ἐν περισπασμῷ (αὐτοῦ) πονηρῷ·
Καὶ ἐγέννησεν υἱόν, καὶ ὀκ ἔστιν ἐν χειρὶ αὐτοῦ οὐδέν·

14. Καθὼς ἐξῆλθεν ἀπὸ γαστρὸς μητρὸς αὐτοῦ γυμνὸς,
Ἐπιστρέψει τοῦ πορευθῆναι ὡς ἥκει,
Καὶ οὐδὲν λήψεται ἐν μόχθῳ αὐτοῦ,
Ἵνα πορευθῇ ἐν χειρὶ αὐτοῦ·
15. Καί γε τοῦτο πονηρὰ ἀρρωστία.
Ὥσπερ γὰρ παρεγένετο, οὕτως καὶ ἀπελεύσεται.
Καὶ τίς ἡ περίσσεια αὐτῷ ᾗ μοχθεῖ εἰς αὐτοῦ ἄνεμον;
16. Καί γε πᾶσαι αἱ ἡμέραι αὐτοῦ ἐν σκότει, καὶ ἐν πένθει,
Καὶ θυμῷ πολλῷ, καὶ ἀρρωστίᾳ, καὶ χόλῳ.

17. Ἰδοὺ ὃ εἶδον ἐγὼ ἀγαθὸν ὃ ἐστι καλὸν,
Τοῦ φαγεῖν καὶ τοῦ πιεῖν,
Καὶ τοῦ ἰδεῖν ἀγαθωσύνην
Ἐν παντὶ μόχθῳ αὐτοῦ, ᾧ ἐὰν μοχθήσῃ ὑπὸ τὸν ἥλιον
Ἀριθμὸν ἡμερῶν ζωῆς αὐτοῦ,
Ὧν ἔδωκεν αὐτῷ ὁ Θεός· ὅτι αὐτὸ μερὶς αὐτοῦ.

18. Καί γε πᾶς ἄνθρωπος ᾧ ἔδωκεν αὐτῷ ὁ Θεὸς
Πλοῦτον καὶ ὑπάρχοντα, καὶ ἐξουσίασεν αὐτῷ τοῦ φαγεῖν ἀπ' αὐτοῦ, αὐτὸν καὶ λαβεῖν τὸ μέρος αὐτοῦ,
Καὶ τοῦ εὐφρανθῆναι ἐν μόχθῳ αὐτοῦ,
Τοῦτο δόμα Θεοῦ ἐστι· 19. ὅτι οὐ πολλὰ πολλὰς μνησθήσεται τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ,
Ὅτι ὁ Θεὸς περισπᾷ αὐτὸν ἐν εὐφροσύνῃ καρδίας αὐτοῦ.

ΚΕΦ.

V. 6. stich. 2. σὺν τὸν Θεὸν) σὺ τὸν Θεὸν. **V.** 7. stich. 3. φυλάσσει) φυλάξαι. ibid. stich. 4. ἐπ' αὐτῆς) ἐπ' αὐτοῖς. **V.** 9. stich. 2. αὐτοῦ γέννημα) αὐτῶν γέννημα. **V.** 10. οἱ ἔδοντες) ἐδόντες. **V.** 12. stich. 2. κακίαν αὐτοῦ) κακίαν αὐτῷ. **V.** 13. περισπασμῷ αὐτοῦ.) περισπασμῷ πονηρῷ. **V.** 14. stich. 3. οὐδὲν λήψ.) οὐδὲν οὐ λήψεται. **V.** 17. ὃ εἶδον ἐγὼ ἀγ. ἐστι) εἶδον ἐγὼ ἀγαθὸν, ὃ ἐστι. ibid. stich. 4. μοχθήσῃ) μοχθῇ. **V.** 18. stich. 2. ἐξουσίασεν αὐτὸν τοῦ φαγεῖν) ἐξουσίασεν αὐτῷ φαγεῖν. **V.** 19. πολλὰς) πολλὰ.

ΚΕΦ. ϛ'. VI.

ΕΣτι πονηρία ἣν ἶδον ὑπὸ τὸν ἥλιον,
Καὶ πολλή ἐστιν ἐπὶ τὸν ἄνθρωπον·

2. Ἀνὴρ ᾧ δώσει αὐτῷ ὁ Θεὸς πλοῦτον καὶ ὑπάρχοντα καὶ δόξαν,
Καὶ ἐκ ἔστιν ὑστερῶν τῇ ψυχῇ αὐτοῦ ἀπὸ παντὸς οὗ ἐπιθυμήσει, ἐπιθυμεῖ
Καὶ ἐκ ἐξουσιάσει αὐτῷ ὁ Θεὸς τοῦ φαγεῖν ἀπ' αὐτοῦ, ὅτι ἀνὴρ ξένος φάγεται αὐτόν· αὐτό
(Καί γε) τοῦτο ματαιότης καὶ ἀῤῥωστία πονηρά ἐστιν.

3. Ἐὰν γεννήσῃ ἀνὴρ ἑκατὸν, καὶ ἔτη πολλὰ ζήσεται,
Καὶ πλῆθος ὅ, τι ἔσονται αἱ ἡμέραι ἐτῶν αὐτοῦ,
Καὶ ἡ ψυχὴ αὐτοῦ ἐκ ἐμπλησθήσεται ἀπὸ ἀγαθωσύνης,
Καί γε ταφὴ οὐκ ἐγένετο αὐτῷ,
Εἶπα ἀγαθὸν ὑπὲρ αὐτὸν τὸ ἔκλρωμα·

4. Ὅτι ἐν ματαιότητι ἦλθε, καὶ ἐν σκότει πορεύσεται,
Καὶ ἐν σκότει ὄνομα αὐτοῦ καλυφθήσεται, πορεύεται

5. Καί γε ἥλιον οὐκ εἶδε, καὶ οὐκ ἔγνω,
Ἀνάπαυσις τοῦτῳ ὑπὲρ τοῦτον, ἀναπαύσεις

6. Καὶ εἰ ἔζησεν χιλίων ἐτῶν καθόδου, Καὶ εἰ
Καὶ ἀγαθωσύνην ἐκ εἶδε·
Μὴ ἐκ εἰς τόπον ἓνα τὰ πάντα πορεύεται;

7. Πᾶς μόχθος τοῦ ἀνθρώπου εἰς στόμα αὐτοῦ,
Καί γε ἡ ψυχὴ οὐ πληρωθήσεται.

8. Ὅτι τίς περίοσεια τῷ σοφῷ ὑπὲρ τὸν ἄφρονα;
Διατί ὁ πένης οἶδε πορευθῆναι κατέναντι τῆς ζωῆς; Διότι

9. Ἀγαθὸν ὅραμα ὀφθαλμῶν ὑπὲρ πορευόμενον ψυχῆ· καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος.

10. Εἴ τι ἐγένετο, ἤδη * κέκληται ὄνομα αὐτοῦ, ἢ * κέκληκεν
Καὶ ἐγνώσθη ὅ ἐστιν ἄνθρωπος,
Καὶ οὐ δυνήσεται τοῦ κριθῆναι μετὰ τοῦ ἰσχυροῦ ὑπὲρ αὐτόν·

11. Ὅτι εἰσὶ λόγοι πολλοὶ πληθύνοντες ματαιότητα.

ΚΕΦ. Ζ'. VII.

ΤΙ περισσὸν τῷ ἀνθρώπῳ; ὅτι τίς οἶδε τί ἀγαθὸν τῷ ἀνθρώπῳ ἐν τῇ ζωῇ (αὐτοῦ)
Ἀριθμὸν ἡμερῶν ζωῆς ματαιότητος αὐτοῦ; καὶ ἐποίησεν αὐτὰς ἐν σκιᾷ·
Ὅτι τίς ἀπαγγελεῖ τῷ ἀνθρώπῳ, τί ἔσαι ὀπίσω αὐτοῦ ὑπὸ τὸν ἥλιον;
(Καὶ καθὼς ἔσαι, τίς ἀπαγγελεῖ αὐτῷ;)

CAP. VI. v. 1. ſtich. 2. ἐπὶ τὸν) ὑπὸ τὸν. v. 2. ſtich. 2. ἀπὸ παντὸς οὗ ἐπιθυμεῖ) ἀπὸ πάντων ὧν ἐπιθυμήσει. ibid. ſtich. 3. φαγεῖν) τοῦ φαγεῖν. ibid. φάγεται αὐτό.) φάγεται αὐτόν. ibid. ſtich. 4. (καίγε) deeſt. v. 3. ſtich. 3. ἡ ψυχὴ) ψυχὴ. ibid. ἐκ ἐμπλησθήσεται ἀπὸ ἀγ.) ἐ πλησθήσεται ἀπὸ τῆς ἀγαθωσύνης. v. 6. καὶ εἰ) εἰ abeſt. ibid. ſtich. 3. τὰ πάντα πορεύεται) transpoſita. v. 7. τοῦ ἀνθρώπου) τῷ abeſt. ibid. ſtich. 2. ψυχὴ) ἡ ψυχὴ. v. 8. Ὅτι τίς) τίς deeſt. v. 10. Ἤ τι) εἴ τι. ibid. κέκληκεν) κέκληται. ibid. ſtich. 3. τοῦ κριθῆναι) τοῦ deeſt. ibid. τοῦ ἰσχυροῦ) τοῦ ἰσχυροτέρου. CAP. VII. v. 1. τί ἀγαθὸν) ἀγαθὸν. ibid. (αὐτοῦ) deeſt. ibid. ſtich. 2. ἡμερῶν ζωῆς) transpoſita. ibid. αὐτὰς ἐν) αὐτὰ ἐν. ibid. ſtich. 4. uncis inclusus deſideratur in *Edit. Rom.*

2. Ἀγαθὸν ὄνομα ὑπὲρ ἔλαιον ἀγαθόν,
Καὶ ἡμέρα τοῦ θανάτου ὑπὲρ ἡμέραν γενέσεως αὐτοῦ.
3. Ἀγαθὸν τὸ πορευθῆναι εἰς οἶκον πένθους
ὅτι Ἢ τὸ πορευθῆναι εἰς οἶκον πότου·
Καθότι τοῦτο τὸ τέλος παντὸς ἀνθρώπου,
ἐν καρδίᾳ Καὶ ὁ ζῶν δώσει (ἀγαθὸν) εἰς καρδίαν αὐτοῦ.
4. Ἀγαθὸν θυμὸς ὑπὲρ γέλωτα·
Ὅτι ἐν κακίᾳ προσώπου ἀγαθυνθήσεται καρδία.
5. Καρδία σοφῶν ἐν οἴκῳ πένθους,
Καὶ καρδία ἀφρόνων ἐν οἴκῳ εὐφροσύνης.
6. Ἀγαθὸν τὸ ἀκοῦσαι ἐπιτίμησιν σοφοῦ
Ὑπὲρ ἄνδρα ἀκούοντα ᾄσματα ἀφρόνων.
7. Ὅτι ὡς φωνὴ τῶν ἀκανθῶν ὑπὸ τὸν λέβητα,
Οὕτως ὁ γέλως (ὁ) τῶν ἀφρόνων·
Καί γε τοῦτο ματαιότης.
8. Ὅτι ἡ συκοφαντία περιφέρει σοφὸν,
Καὶ ἀπολλύει τὴν καρδίαν εὐτονίας αὐτοῦ.
λόγων 9. Ἀγαθὴ ἐχάτη λόγου ὑπὲρ ἀρχὴν αὐτοῦ·
Ἀγαθὸν μακρόθυμος ὑπὲρ ὑψηλὸν πνεύματι.
10. Μὴ σπεύσῃς ἐν πνεύματί σου τοῦ θυμοῦσθαι·
Ὅτι θυμὸς ἐν κόλπῳ ἀφρόνων ἀναπαύσεται.
11. Μὴ εἴπῃς· τί ἐγένετο ὅτι αἱ ἡμέραι αἱ πρότερον ἦσαν ἀγαθαὶ ὑπὲρ ταύτας;
Ὅτι ἐκ ἐν σοφίᾳ ἐπηρώτησας περὶ τούτου.
12. Ἀγαθὴ σοφία μετὰ κληροδοσίας,
Καὶ περίσσεια τοῖς θεωροῦσι τὸν ἥλιον.
13. Ὅτι ἐν σκιᾷ αὐτῆς ἡ σοφία ὡς σκιᾷ τοῦ ἀργυρίου,
Καὶ περίσσεια γνώσεως τῆς σοφίας
Ζωοποιήσει τὸν παρ' αὐτῆς.
14. Ἴδε τὰ ποιήματα τοῦ Θεοῦ·
Ὅτι τίς δυνήσεται τοῦ κοσμῆσαι
Ὃν ἂν ὁ Θεὸς διαστρέψῃ αὐτόν;
15. Ἐν ἡμέρᾳ ἀγαθωσύνης ζῆθι ἐν ἀγαθῷ, καὶ ἴδε ἐν ἡμέρᾳ κακίας·
Ἴδε καὶ γε τοῦτο σύμφωνον τούτῳ τοῦτο
Ἐποίησεν ὁ Θεὸς, περὶ λαλιᾶς
Ἵνα μὴ εὕρῃ ἄνθρωπος ὀπίσω αὐτοῦ μηδέν.
16. Σὺν πάντα ἶδον ἐν ἡμέραις ματαιότητός μου·
Ἔστι δίκαιος ἀπολλυόμενος ἐν δικαίῳ αὐτοῦ,
Καὶ ἔστιν ἀσεβὴς μένων ἐν κακίᾳ αὐτοῦ.
17. Μὴ γίνου δίκαιος πολὺ,
Καὶ μὴ σοφίζου περισσὰ, μήποτε ἐκπλαγῇς·
18. Μὴ ἀσεβήσῃς πολὺ, καὶ μὴ γίνου σκληρὸς, ἵνα μὴ ἀποθάνῃς ἐν ὥρᾳ σου.
19. Ἀγαθὸν τὸ ἀντέχεσθαί σου ἐν τούτῳ,
Καί γε

v. 2. ſtich. 2. γενέσεως αὐτοῦ) γεννήσεως. v. 3. ſtich. 3. τὸ τέλος) τέλος. ibid. ſtich. 4. ἐν καρδίᾳ) εἰς καρδίαν. v. 7. Ὅτι ὡς φωνὴ τῶν ἀκ.) ὡς φωνὴ ἀκανθῶν. ibid. ſtich. 2. ὁ γέλως ὁ τῶν) γέλως τῶν. v. 8. ſtich. 2. ἀπολλύει) ἀπόλλυσι. ibid. εὐτονίας) εὐγενείας. v. 11. πρότερον) πρότεραι. v. 12. κληροδοσίας) κληρονομίας. v. 13. τοῦ ἀργυρίου) τοῦ abeſt. v. 14. ſtich. 2. τοῦ κοσμῆσαι) τοῦ deeſt. v. 15. ſtich. 2. καίγε τοῦτο συμφώνου τοῦτο) καίγε σὺν τούτῳ συμφώνως τοῦτο. ibid. ſtich. 4. μηδὲν) ἀδὲν. v. 16. Σὺν πάντα) σύμπαντα. ibid. ſtich. 2. ἀπολλυόμενος) ἀπολλύμενος. v. 17. ſtich. 2. Καὶ μὴ) μηδὲ.

μιάνῃς Καίγε ἀπὸ τέτε μὴ ἀνῇς τὴν χεῖρά σε·
Ὅτι ὁ Φοβεμένος τὸν Θεὸν ἐξελεύσεται τὰ πάντα.
20. Ἡ σοφία βοηθήσει τῷ σοφῷ
Ὑπὲρ δέκα ἐξεσιάζοντας τὲς ὄντας ἐν τῇ πόλει·
21. (Ὅτι ἄνθρωπος ἐκ ἔστι δίκαιος ἐν τῇ γῇ,
Ὃς ποιήσει ἀγαθὸν καὶ ἐχ ἁμαρτήσεται·)
22. Καίγε εἰς πάντας τὰς λόγες ἃς λαλήσεσι,
Μὴ θῇς καρδίαν σε,
Ὅπως μὴ ἀκέσῃς τὸ δέλε σε καλαρωμένε σε·
Duæ interpretationes. 23. Ὅτι πλειςάκις πονηρεύσεταί σε,
Καὶ καθόδες πολλὰς κακώσει καρδίαν σε,
ὅτι ὡς Ὅπως καίγε σὺ κατηράσω ἑτέρες.
24. Πάντα ταῦτα ἐπείρασα ἐν τῇ σοφίᾳ·
Εἶπα, σοφισθήσομαι·
25. Καὶ αὕτη ἐμακρύνθη ἀπ' ἐμὲ 25. μακρὰν ὑπὲρ ὃ ἦν.
Καὶ βαθὺ βάθος, τίς εὑρήσει αὐτό;
26. Ἐκύκλωσα ἐγὼ καὶ ἡ καρδία με τὸ γνῶναι
Καὶ τὸ καλασκέψασθαι καὶ τὸ ζητῆσαι σοφίαν καὶ ψῆφον,
Καὶ τὸ γνῶναι ἀσεβὲς ἀφροσύνην
ἀχληρίαν Καὶ σκληρίαν καὶ παραφοράν·
27. Καὶ εὑρίσκω ἐγὼ αὐτὴν πικρότερον ὑπὲρ θάνατον,
Σὺν τὴν γυναῖκα ἥτις ἐςὶ θηρεύματα,
Καὶ σαγῆναι καρδία αὐτῆς,
Δεσμοί εἰσι χεῖρες αὐτῆς· δεσμός
Ἀγαθὸς πρὸ προσώπε τε Θεε ἐξαιρεθήσεται ἀπ' αὐτῆς. εἰς χεῖρας
Καὶ ἁμαρτάνων συλληφθήσεται ἐν αὐτῇ.
28. Ἰδε τέτο εὗρον, εἶπεν ὁ ἐκκλησιαςής·
Μία τῇ μιᾷ τε εὑρεῖν λογισμὸν,
29. Ὃν ἔτι ἐζήτησεν ἡ ψυχή με, καὶ ἐκ εὗρον·
Καὶ ἄνθρωπον ἕνα ἀπὸ χιλίων εὗρον,
Καὶ γυναῖκα ἐν πᾶσι τέτοις ἐχ εὗρον.
30. Πλὴν ἴδε τέτο εὗρον, ὃ ἐποίησεν ὁ Θεὸς Κύριος,
Σὺν τὸν ἄνθρωπον εὐθῆ·
Καὶ αὐτοὶ ἐζήτησαν λογισμὲς πολλές.
Τίς οἶδε σοφὸς, καὶ τίς οἶδε λύσιν ῥήματος;

ΚΕΦ. Η'. VIII.

ΣΟφία ἀνθρώπε φωτιεῖ πρόσωπον αὐτῆ,
Καὶ ἀναιδὴς προσώπῳ αὐτε μισηθήσεται
2. Στόμα βασιλέως φύλαξον,
Καὶ περὶ λόγε ὅρκε θεε μὴ σπεδάσῃς·
3. Ἀπὸ προσώπε αὐτε πορεύσῃ,
Μὴ ςῇς ἐν λόγῳ πονηρῷ,
Ὅτι πᾶν ὃ ἂν θελήσῃ ποιήσει·
4. Καθὼς βασιλεὺς ἐξεσιάζων λαλεῖ,
Καὶ τίς ἐρεῖ αὐτῷ· τί ποιήσεις;

v. 19. ſtich. 3. ὁ Φοβεμένος) Φοβεμένοις. v. 22. λαλήσεσιν) adjicit ἀσεβεῖς. v. 24. ἐν τῇ σοφίᾳ) ἐν σοφίᾳ. v. 26. ſtich. 4. παραφοράν) περιφοράν. v. 27. ἐγὼ αὐτήν) adjicit καὶ ἐγὼ. ibid. ſtich. 2. θηρεύματα) θήρευμα. v. 29. ἐζήτησεν) ἐπεζήτησεν. v. 30. ὁ Κύριος) ὁ Θεὸς. CAP. VIII. v. 1. πρόσωπον) addit αὐτε v. 2. ſtich. 2. ὅρκε) adjicit Θεε. v. 3. ſtich. 3. ὃ ἂν) ὃ ἐὰν. v. 4. λαλεῖ) deeſt. ibid. ſtich. 2. ποιήσεις) ποιεῖς.

5. Ὁ φυλάσσων ἐντολὴν, οὐ γνώσεται ῥῆμα πονηρόν·
Καὶ καιρὸν κρίσεως γινώσκει καρδία σοφῆ.
6. Ὅτι παντὶ πράγματι ἐστὶ καιρὸς καὶ κρίσις·
Ὅτι γνῶσις τῷ ἀνθρώπῳ πολλὴ ἐπ' αὐτόν.
7. Ὅτι οὐκ ἔστι γινώσκων τί τὸ ἐσόμενον·
Ὅτι καθὼς ἔσται, τίς ἀναγγελεῖ αὐτοῖς αὐτῷ;
8. Οὐκ ἔστιν ἄνθρωπος ἐξουσιάζων ἐν πνεύματι,
Τοῦ κωλύσαι σὺν τὸ πνεῦμα·
Καὶ οὐκ ἔστιν ἐξουσιάζων ἐν ἡμέρᾳ θανάτου, ἡμέρας
Καὶ οὐκ ἔστιν ἀποστολὴ ἐν ἡμέρᾳ πολέμου·
Καὶ οὐ διασώσει ἀσέβεια τὸν παρ' αὐτῆς.
9. Καὶ σὺν πᾶν τοῦτο εἶδον, καὶ ἔδωκα τὴν καρδίαν μου εἰς πᾶν ποίημα, ὃ πεποίηται ὑπὸ τὸν ἥλιον,
Τὰ ὅσα ἐξουσιάζεται ὁ ἄνθρωπος
Ἐν ἀνθρώπῳ τοῦ κακῶσαι αὐτόν·
10. Καὶ τότε εἶδον ἀσεβεῖς εἰς τάφους εἰσαχθέντας, καὶ ἐκ τοῦ ἁγίου
Καὶ ἐπορεύθησαν, καὶ ἐπηνέθησαν ἐν τῇ πόλει, ὅτι οὕτως ἐποίησαν·
Καί γε τοῦτο ματαιότης.
11. Ὅτι οὐκ ἔστιν γινομένη ἀντίδοσις
Ἀπὸ τῶν ποιούντων τὸ πονηρὸν ταχύ·
Διὰ τοῦτο ἐπληροφορήθη καρδία υἱῶν τοῦ ἀνθρώπου ἐν αὐτοῖς, τοῦ ποιῆσαι τὸ πονηρόν.
12. Ὅς ἥμαρτεν ἐποίησε τὸ πονηρὸν
Ἀπὸ τότε, καὶ ἀπὸ μακρότητος αὐτῶν αὐτῷ·
Ὅτι καίγε γινώσκω ἐγὼ
Ὅτι ἔσται ἀγαθὸν τοῖς φοβουμένοις τὸν Θεὸν,
Ὅπως φοβῶνται ἀπὸ προσώπου αὐτοῦ·
13. Καὶ ἀγαθὸν οὐκ ἔσται τῷ ἀσεβεῖ,
Καὶ ὁ μακρυνεῖ ἡμέρας ἐν σκιᾷ,
Ὃς οὐκ ἔστι φοβούμενος ἀπὸ προσώπου τοῦ Θεοῦ.
14. Ἔστι ματαιότης ἣ πεποίηται ἐπὶ τῆς γῆς·
Ὅτι εἰσὶ δίκαιοι ὅτι φθάνει πρὸς αὐτοὺς ὡς ποίημα τῶν ἀσεβῶν,
Καὶ εἰσὶν ἀσεβεῖς ὅτι φθάνει πρὸς αὐτοὺς ὡς ποίημα τῶν δικαίων·
Εἶπα, ὅτι καὶ γε τοῦτο ματαιότης.
15. Καὶ ἐπήνεσα ἐγὼ σὺν τὴν εὐφροσύνην,
Ὅτι οὐκ ἔστιν ἀγαθὸν τῷ ἀνθρώπῳ ὑπὸ τὸν ἥλιον,
Ὅτι εἰ μὴ τοῦ φαγεῖν καὶ τοῦ πιεῖν καὶ τοῦ εὐφρανθῆναι·
Καὶ αὐτὸ συμπροσέσται αὐτῷ ἐν μόχθῳ αὐτοῦ
Ἡμέρας ζωῆς αὐτοῦ, ἃς ἔδωκεν αὐτῷ ὁ Θεὸς ὑπὸ τὸν ἥλιον.
16. Ἐν οἷς ἔδωκα τὴν καρδίαν μου τοῦ γνῶναι τὴν σοφίαν,

Καὶ

v. 7. ſtich. 2. αὐτοῖς) αὐτῷ. v. 8. ſtich. 3. ἐξουσιάζων ἡμέρας) ἐξουσία ἐν ἡμέρᾳ. v. 9. Καὶ σὺν πᾶν) καὶ σύμπαν. ibid. πᾶν ποίημα) πᾶν τὸ ποίημα. ibid. ſtich. 2. ἐξουσιάζεται) ἐξουσιάσατο. v. 11. ſtich. 2. πονηρὸν) τὸ πονηρόν. v. 12. ſtich. 3. Ὅτι καίγε) ὅτι καὶ. ibid. ſtich. 4. Ὅτι ἔσται) ὅτι ἔστιν. v. 14. ſtich. 2. πρὸς αὐτούς) ἐπ' αὐτούς. v. 15. ſtich. 3. τοῦ φαγεῖν) φαγεῖν. ibid. ſtich. 5. ἃς) ὅσας.

περασμὸν Καὶ τῦ ἰδεῖν τὸν περισπασμὸν τὸν πεποιημένον ἐπὶ τῆς γῆς·
Ὅτι καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ
Ὕπνον ἐν ὀφθαλμοῖς αὐτῦ ἐκ ἔχει
βλέπειν βλέπων·

17. Καὶ ἶδον σὺν πάντα τὰ ποιήματα τῦ Θεῦ,
Ὅτι ἐ δυνήσεται ἄνθρωπος τῦ εὑρεῖν
Σὺν τὸ ποίημα τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον·
ποιήσῃ Ὅσα ἐὰν μοχθήσῃ ἄνθρωπος τῦ ζητῆσαι, καὶ ἐχ εὑρήσει·
Καί γε ὅσα ἂν εἴπῃ ὁ σοφὸς τῦ γνῶναι,
Οὐ δυνήσεται τῦ εὑρεῖν.

ΚΕΦ. Θ'. IX.

ΟΤΙ σὺν πᾶν τῦτο ἔδωκα εἰς τὴν καρδίαν μῦ,
Καὶ καρδία μῦ σὺν πᾶν ἶδε τῦτο·
Ὅτι οἱ δίκαιοι καὶ οἱ σοφοὶ καὶ αἱ ἐργασίαι αὐτῶν ἐν χειρὶ τῦ Θεῦ,
Καί γε ἀγάπην καί γε μῖσος ἐκ ἔχιν εἰδὼς ὁ ἄνθρωπος·
Τὰ πάντα πρὸ προσώπυ αὐτῶν,
Ματαιότης ἐν τοῖς πᾶσι.

2. Συναάντημα ἓν τῷ δικαίῳ καὶ τῷ ἀσεβεῖ, τῷ ἀγαθῷ καὶ τῷ κακῷ,
Καὶ τῷ καθαρῷ καὶ τῷ ἀκαθάρτῳ,
Καὶ τῷ θυσιάζοντι καὶ τῷ μὴ θυσιάζοντι·
Ὡς ὁ ἀγαθὸς ὡς ὁ ἁμαρτάνων,
Ὡς ὁ ὀμνύων καθὼς ὁ τὸν ὅρκον φοβέμενος.

3. Τῦτο (τὸ) πονηρὸν ἐν παντὶ πεποιημένῳ ὑπὸ τὸν ἥλιον,
Ὅτι συναάντημα ἓν τοῖς πᾶσι·
Καί γε καρδία υἱῶν τῦ ἀνθρώπυ ἐπληρώθη πονηρῦ,
Καὶ περιφέρεια ἐν καρδίᾳ αὐτῶν ἐν ζωῇ αὐτῶν,
Καὶ ὀπίσω αὐτῶν πρὸς τὺς νεκρύς.

4. Ὅτι τίς ὃς κοινωνεῖ πρὸς πάντας τὺς ζῶντας;
Ἔχιν ἐλπίς· ὅτι ὁ κύων ὁ ζῶν αὐτὸς ἀγαθὸς
Ὑπὲρ τὸν λέοντα τὸν νεκρόν.

5. Ὅτι οἱ ζῶντες γνώσονται ὅτι ἀποθανοῦνται,
Καὶ οἱ νεκροὶ ἐκ εἰσὶ γινώσκοντες ἐδέν·
καὶ ἐκ ἔχιν αὐτοῖς ἔτι μισθὸς,
Ὅτι ἐπελήθη ἡ μνήμη αὐτῶν· ἐπλήθη

6. Καί γε ἀγάπη αὐτῶν, καί γε μῖσος αὐτῶν,
Καί γε ζῆλος αὐτῶν ἤδη ἀπώλετο,
Καὶ μερὶς ἐκ ἔχιν αὐτοῖς ἔτι εἰς αἰῶνα
Ἐν παντὶ τῷ πεποιημένῳ ὑπὸ τὸν ἥλιον.

7. Δεῦρο φάγε ἐν εὐφροσύνῃ τὸν ἄρτον σε,
Καὶ πίε ἐν καρδίᾳ ἀγαθῇ οἶνόν σε,
Ὅτι ἤδη εὐδόκησεν ὁ Θεὸς τὰ ποιήματά σε.

8. Ἐν παντὶ καιρῷ ἔστωσαν ἱμάτιά σε λευκὰ, καὶ ἔλαιον ἐπὶ κεφαλήν σε μὴ ὑστερησάτω·

V. 16. ſtich. 2. περισπασμὸν) περισπασμὸν. ibid. ſtich. 4. ἐν ὀφθαλμοῖς) ἐν abeſt. ibid. βλέπειν) βλέπων. V. 17. σὺν πάντα) σύμπαντα. ibid. ſtich. 4. Ὅσα ἐὰν ποιήσῃ) ὅσα ἂν μοχθήσῃ. ibid. ſtich. 5. ὁ σοφὸς) σοφὸς. CAP. IX. V. 1. σὺν πᾶν) σύμπαν, bis hoc verſu. ibid. εἰς τὴν καρδίαν) εἰς καρδίαν. ibid. ſtich. 3. Ὅτι οἱ δίκαιοι) Ὡς οἱ δίκαιοι. ab his verbis *Edit. Rom.* incipit Cap. 9. V. 2. ſtich. 2. τῷ καθαρῷ) καὶ τῷ καθαρῷ. V. 3. (τὸ) deeſt. V. 5. ſtich. 3. ἐπλήθη) ἐπελήθη. V. 6. ſtich. 3. Καὶ μερὶς) καί γε μερὶς. ibid. εἰς αἰῶνα) εἰς τὸν αἰῶνα. V. 7. ſtich. 3. Ὅτι) addit ἤδη. V. 8. ἐπὶ κεφαλὴν) ἐπὶ κεφαλῆς.

9. Καὶ ἴδε ζωὴν μετὰ γυναικὸς ἧς ἠγάπησας,
Πάσας τὰς ἡμέρας ζωῆς ματαιότητός σε, τὰς δοθείσας σοι ὑπὸ τὸν ἥλιον πάσας τὰς ἡμέρας ματαιότητός σε·
Ὅτι αὐτὸ μερὶς σε ἐν τῇ ζωῇ σε,
Καὶ ἐν τῷ μόχθῳ σε ᾧ σὺ μοχθεῖς ὑπὸ τὸν ἥλιον.
10. Πάντα ὅσα ἂν εὕρῃ ἡ χείρ σε τῦ ποιῆσαι, ὡς ἡ δύναμίς σε, ποίησον·
Ὅτι ἐκ ἔστι ποίημα καὶ λογισμὸς καὶ γνῶσις καὶ σοφία
Ἐν ᾅδῃ, ὅπε σὺ πορεύῃ ἐκεῖ.
11. Ἐπέστρεψα καὶ ἴδον ὑπὸ τὸν ἥλιον,
Ὅτι ἐ τοῖς κέφοις ὁ δρόμος,
Καὶ ἐ τοῖς δυνατοῖς ὁ πόλεμος,
Καί γε ἐ τοῖς σοφοῖς ὁ ἄρτος,
Καί γε ἐ τοῖς συνετοῖς ὁ πλῦτος,
Καί γε ἐ τοῖς γινώσκυσι χάρις·
Ὅτι καιρὸς καὶ ἀπάντημα συναντήσεται τοῖς πᾶσιν αὐτοῖς.
12. Οτι καί γε ἐκ ἔγνω ὁ ἄνθρωπος τὸν καιρὸν αὐτῦ·
Ὡς οἱ ἰχθύες οἱ θηρευόμενοι ἐν ἀμφιβλήστρῳ κακῷ,
Καὶ ὡς ὄρνεα ἃ θηρευόμενα ἐν παγίδι·
Ὡς αὐτὰ, παγιδεύονται οἱ υἱοὶ τῦ ἀνθρώπε εἰς καιρὸν πονηρὸν,
Ὅταν ἐπιπέσῃ ἐπ' αὐτοὺς ἄφνω.
13. Καί γε τῦτο ἴδον σοφίαν ὑπὸ τὸν ἥλιον,
Καὶ μεγάλη ἐστὶ πρὸς μέ· 14. πόλις μικρὰ καὶ ἄνδρες ἐν αὐτῇ ὀλίγοι,
Καὶ ἔλθῃ ἐπ' αὐτὴν βασιλεὺς μέγας, καὶ κυκλώσῃ αὐτὴν,
Καὶ οἰκοδομήσῃ ἐπ' αὐτὴν χάρακας μεγάλες·
15. Καὶ εὕρῃ ἐν αὐτῇ ἄνδρα πένητα (καὶ) σοφὸν,
Καὶ διασώσῃ αὐτὸς τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτῦ,
Καὶ ἄνθρωπος οὐκ ἐμνήσθη σὺν τῦ ἀνδρὸς τῦ πένητος ἐκείνε.
16. Καὶ εἶπα ἐγώ· ἀγαθὴ σοφία ὑπὲς δύναμιν,
Καὶ σοφία τῦ πένητος ἐξεδενωμένη,
Καὶ λόγοι αὐτῦ ἐκ εἰσὶν ἀκεόμενοι.
17. Λόγοι σοφῶν ἐν ἀναπαύσει ἀκέονται
Ὑπὲς κραυγὴν ἐξεσιαζόντων ἐν ἀφροσύναις.
18. Ἀγαθὴ σοφία ὑπὲς σκεύη πολέμε·
Καὶ ἁμαρτάνων εἷς ἀπολέσει ἀγαθωσύνην πολλήν.

ΚΕΦ. Ι'. Χ.

ΜΥΙΑΙ θανατῦσαι σαπριῦσι σκευασίαν ἐλαίε ἡδύσματος.
Τίμιον ὀλίγον σοφίας ὑπὲς δόξαν ἀφροσύνης μεγάλην.
2. Καρδία σοφῦ εἰς δεξιὸν αὐτῦ·
Καὶ καρδία ἄφρονος εἰς ἀριστερὸν αὐτῦ.
3. Καί γε ἐν ὁδῷ ὅταν ἄφρων πορεύηται, Καρδία αὐτῦ ὑστερήσει·
Καὶ πᾶ λογιεῖται, πάντα ἀφροσύνη ἐστίν.

4. Ἐὰν

v. 9. ſtich. 4. ᾧ μοχθεῖς) ᾧ σὺ μοχθεῖς. v. 11. ſtich. 4. ἐ τοῖς σοφοῖς ὁ ἄρτος) οὐ τῷ σοφῷ ἄρτος. ibid. ſtich. 5. ὁ πλῦτος) πλοῦτος. ibid. ſtich. 7. τοῖς πᾶσιν αὐτοῖς) σύμπασιν αὐτοῖς. v. 12. καί γε οὐκ ἔγνω) ὅτι καίγε καὶ ἐκ ἔγνω. v. 15. (καὶ) deeſt. v. 16. ſtich. 3. in *Rom.* καὶ οἱ λόγοι αὐτῦ ἐκ εἰσακεόμενοι.

4. Ἐὰν πνεῦμα τῦ ἐξουσιάζοντος ἀναβῆ ἐπὶ σὲ,
Τόπον σε μὴ ἀφῆς·
Ὅτι ἴαμα καταπαύσει ἁμαρτίας μεγάλας.
5. Ἔστι πονηρία ἣν εἶδον ὑπὸ τὸν ἥλιον,
Ὡς ἀκούσιον ὃ ἐξῆλθεν ἀπὸ προσώπε τῦ ἐξουσιάζοντος·
6. Ἐδόθη ὁ ἄφρων ἐν ὕψεσι μεγάλοις,
Καὶ πλούσιοι ἐν ταπεινῷ καθήσονται·
7. Εἶδον δούλους ἐφ' ἵππους,
Καὶ ἄρχοντας ὡς δούλους πορευομένους ἐπὶ τῆς γῆς.
8. Ὁ ὀρύσσων βόθρον, ἐν αὐτῷ ἐμπεσεῖται· (καὶ ὁ κυλίων λίθον, ἐφ' ἑαυτὸν κυλίει·)
Καὶ καθαιρῶντα φραγμὸν δήξεται αὐτὸν ὄφις·
9. Ἐξαίρων λίθους, διαπονηθήσεται ἐν αὐτοῖς·
Σχίζων ξύλα, κινδυνεύσει ἐν αὐτοῖς,
10. Ἐὰν ἐκπέσῃ τὸ σιδήριον,
Καὶ αὐτὸς πρόσωπον ἐτάραξε·
Καὶ δυνάμεις δυναμώσει,
Καὶ περίσσεια τῦ ἀνδρείε σοφία,
11. Ἐὰν δάκῃ ὄφις ἐν ᾧ ψιθυρισμῷ,
Καὶ οὐκ ἔστι περίσσεια τῷ ἐπάδοντι.
12. Λόγοι στόματος σοφῦ χάρις,
Καὶ χείλη ἄφρονος καταποντίσουσιν αὐτόν·
13. Ἀρχὴ λόγων στόματος αὐτῦ ἀφροσύνη, καὶ ἐσχάτη στόματος αὐτῦ περιφέρεια πονηρά,
14. Καὶ ὁ ἄφρων πληθυνεῖ λόγους.
Οὐκ ἔγνω ὁ ἄνθρωπος τί τὸ γενησόμενον, γενόμενον
Καὶ τί τὸ ἐσόμενον
(Ὅτι) ὀπίσω αὐτῦ, τίς ἀπαγγελεῖ αὐτῷ;
15. Μόχθος τῶν ἀφρόνων * κοπώσει αὐτὸν, τῦ ἄφρονος
Ὃς οὐκ ἔγνω τῦ πορευθῆναι εἰς πόλιν.
16. Οὐαί σοι πόλις ἧς ὁ βασιλεύς σε * σκολώνεώτερος,
Καὶ οἱ ἄρχοντές σε ἐν πρωΐᾳ ἐσθίουσι.
17. Μακαρία σὺ γῆ, ἧς ὁ βασιλεύς σε υἱὸς ἐλευθέρων, ἐλευθέρε
Καὶ οἱ ἄρχοντές σε πρὸς καιρὸν φάγονται ἐν δυνάμει,
Καὶ οὐκ αἰσχυνθήσονται.
18. Ἐν ὀκνηρίαις ταπεινωθήσεται ἡ δόκωσις,
Καὶ ἐν ἀργίᾳ χειρῶν στάξει ἡ οἰκία. στενάξει
19. Εἰς γέλωτα ποιοῦσιν ἄρτον,
Καὶ οἶνος εὐφραίνει ζῶντας·
Καὶ τῷ ἀργυρίῳ ἐπακούσεται (σὺν) τὰ πάντα.
20. Καί γε ἐν συνειδήσει σε βασιλέα μὴ καταράσῃ,
Καὶ ἐν ταμιείοις κοιτώνων σε μὴ καταράσῃ πλούσιον·
Ὅτι πετεινὸν τῦ ἀρανῦ ἀποίσει τὴν φωνήν σε,
Καὶ ὁ ἔχων τὰς πτέρυγας ἀπαγγελεῖ λόγον σε.

ΚΕΦ.

CAP. X. v. 5. ſtich. 2. ὃ ἐξῆλθεν) ὃ abeſt. ibid. τῦ ἐξουσιάζοντος) τῦ deeſt. v. 7. ſtich. 2. ὡς δοῦλος πορευομένους) transpoſita. v. 8. ἐν αὐτῷ) εἰς αὐτόν. ibid. uncis incluſa non habet *Edit. Rom.* v. 10. ſtich. 4. τῦ ἀνδρείου σοφία) τῷ ἀνδρὶ ὁ σοφία. v. 12. ſtich. 2. καταποντίσουσιν) καταποντιοῦσιν. v. 14. ſtich. 2. ὁ ἄνθρ.) ἄνθρωπος. ibid. ſtich. 4. ἀπαγγελεῖ) ἀναγγελεῖ. v. 15. ſtich. 1. in *Rom.* μόχθος τῶν ἀφρόνων κακώσει αὐτούς. v. 16. ſtich. 2. ἐν πρωΐᾳ) πρωΐ. v. 17. ἐλευθέρων) ἐλευθέρων. v. 18. ſtich. 2. στενάξει) στάξει. v. 19. ſtich. 2. in *Rom.* καὶ οἶνον καὶ ἔλαιον τῦ εὐφρανθῆναι ζῶντας. ibid. ſtich. 3. in *Rom.* καὶ τῦ ἀργυρίῳ ταπεινώσει ἐπακόσεται τὰ πάντα. v. 20. ſtich. 4. ἔχων πτ.) ἔχων τὰς πτέρυγας.

ΚΕΦ. ΙΑ'. XI.

Απόσειλον τὸν ἄρτον σε ἐπὶ πρόσωπον τῶ ὕδατος·
Ὅτι ἐν πλήθει τῶν ἡμερῶν εὑρήσεις αὐτόν.

2. Δὸς μερίδα τοῖς ἑπτὰ, καὶ γε τοῖς ὀκτώ·
Ὅτι ὐ γινώσκεις τί ἔσαι πονηρὸν ἐπὶ τὴν γῆν.

3. Ἐὰν πληρωθῶσι τὰ νέφη ὑετῶ, ἐπὶ τὴν γῆν, ἐκχεῦσι·
Καὶ ἐὰν πέσῃ ξύλον ἐν τῷ νότῳ, καὶ ἐὰν ἐν τῷ βορρᾷ, τόπῳ
Οὗ πεσεῖται τὸ ξύλον, ἐκεῖ ἔσαι.

σπείρει 4. Τηρῶν ἄνεμον, ὐ σπερεῖ·
Καὶ βλέπων ἐν ταῖς νεφέλαις, ὐ θερίσει.

5. Ἐν οἷς ὐκ ἔσι γινώσκων τίς ἡ ὁδὸς τῶ πνεύματος,
Ὡς ὀσᾶ ἐν γαστρὶ τῆς κυοφορέσης·
Ἕτως ὐ γνώσῃ τὰ ποιήματα τῶ Θεῶ, ὅσα ποιήσει τὰ σύμπαντα.

6. Ἐν πρωΐᾳ σπεῖρον τὸ σπέρμα σε,
ἐν ἑσπέρᾳ Καὶ εἰς ἑσπέραν μὴ ἀφέτω ἡ χείρ σε·
Ὅτι ὐ γινώσκεις ποῖον τοιχήσει, ἢ τῦτο ἢ τῦτο,
ἀγαθόν Καὶ ἐὰν τὰ δύο ἐπιτοαυτὸ ἀγαθά.

7. Καὶ γλυκὺ τὸ φῶς, καὶ ἀγαθὸν τοῖς ὀφθαλμοῖς
Τῶ βλέπειν σὺν τὸν ἥλιον·

8. Ὅτι καὶ ἐὰν ἔτη πολλὰ ζήσεται ὁ ἄνθρωπος,
Ἐν πᾶσιν αὐτοῖς εὐφρανθήσεται,
Καὶ μνηθήσεται τὰς ἡμέρας τῶ σκότες,
Ὅτι πολλαὶ ἔσονται·
Πᾶν τὸ ἐρχόμενον ματαιότης.

9. Εὐφραίνε νεανίσκε ἐν νεότητί σε, καὶ ἀγαθυνάτω σε ἡ καρδία σε ἐν ἡμέραις νεότητός σε,
Καὶ περιπάτει ἐν ὁδοῖς καρδίας σε ἄμωμος,
Καὶ ἐν ὁράσει ὀφθαλμῶν σε·
Καὶ γνῶθι ὅτι ἐπὶ πᾶσι τέτοις ἄξει σε ὁ Θεὸς ἐν κρίσει.

10. Καὶ ἀπόσησον θυμὸν ἀπὸ καρδίας σε,
Καὶ παράγαγε πονηρίαν ἀπὸ σαρκός σε·
Ὅτι ἡ νεότης καὶ ἡ ἄνοια μαλαιότης.

ΚΕΦ. ΙΒ'. XII.

ΚΑΙ μνήθητι τῶ κλίσαντός σε
Ἐν ἡμέραις νεότητός σε,
Ἕως ἔ μὴ ἔλθωσιν ἡμέραι τῆς κακίας (σε).
Καὶ φθάσωσιν ἔτη ἐν οἷς ἐρεῖς·
Οὐκ ἔσι μοι ἐν αὐτοῖς θέλημα·

2. Ἕως ἔ μὴ σκοτισθῇ ὁ ἥλιος καὶ τὸ φῶς,
Καὶ ἡ σελήνη καὶ οἱ ἀσέρες,
Καὶ ἐπισρέψωσι τὰ νέφη ὀπίσω τῶ ὑετῶ·

3. Ἐν ἡμέρᾳ ᾗ ἂν σαλευθῶσι φύλακες τῆς οἰκίας,
Καὶ διασραφῶσιν ἄνδρες τῆς δυνάμεως,

Καὶ

CAP. XI. v. 1. ſtich. 2. τῶν ἡμερῶν) ἡμερῶν v. 3. πληρωθῶσι) πληθῶσι. v. 5. ſtich. 2. τῆς κυοφορέσης) τῆς deeſt. v. 6. Ἐν πρωΐᾳ) ἐν τῷ πρωΐ. ibid. ſtich. 4. ἀγαθὸν) ἀγαθά. v. 9. ſtich. 3. Καὶ ἐν ὁράσει) καὶ μὴ ἐν ὁράσει. v. 10. ſtich. 2. παράγαγε) πάραγε. CAP. XII. v. 1. ſtich. 3. in *Rom.* ἕως ὅτου μὴ ἔλθωσιν αἱ ἡμέραι τῆς κακίας. ibid. ſtich. 4. φθάσωσιν) φθάσσιν. v. 2. ſtich. 3. ἐπισρέψωσι) ἐπισρέψασι. ibid. ὑετῶ) τῶ ὑετῶ. v. 3. ᾗ ἂν) ᾗ ἐὰν.

Καὶ ἤργησαν αἱ ἀλήθουσαι, ὅτι ὠλιγώθησαν,
Καὶ σκοτάσουσιν αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς·

Θύραν Φωνῇ 4. Καὶ κλείσουσιν θύρας ἐν ἀγορᾷ
Ἐν ἀσθενείᾳ φωνῆς τῆς ἀληθούσης,
Καὶ ἀναστήσεται εἰς φωνὴν τοῦ ὄρνιθος,
Καὶ ταπεινωθήσονται πᾶσαι αἱ θυγατέρες τοῦ ᾄσματος·

5. Καί γε ἀπὸ ὕψους ὄψονται, καὶ θάμβοι ἐν τῇ ὁδῷ,
Καὶ ἀνθήσει τὸ ἀμύγδαλον,
Καὶ παχυνθῇ ἡ ἀκρὶς,
Καὶ διασκεδασθῇ ἡ κάππαρις·
Ὅτι ἐπορεύθη ὁ ἄνθρωπος εἰς οἶκον αἰῶνος αὐτοῦ,
Καὶ ἐκύκλωσαν ἐν ἀγορᾷ οἱ κοπτόμενοι·

6. Ἕως ὅτου μὴ ἀνατραπῇ χοινίον τοῦ ἀργυρίου,
Καὶ συνθλιβῇ τὸ ἀνθέμιον τοῦ χρυσίου,
Καὶ συντριβῇ ἡ ὑδρία ἐπὶ τὴν πηγὴν,
Καὶ συντροχάσῃ ὁ τροχὸς ἐπὶ τὸν λάκκον·

7. Καὶ ἐπιστρέψει ὁ χοῦς ἐπὶ τὴν γῆν ὡς ἦν,
Καὶ τὸ πνεῦμα ἐπιστρέψει πρὸς τὸν Θεὸν ὃς ἔδωκεν αὐτό.

8. Ματαιότης ματαιοτήτων, εἶπεν ὁ ἐκκλησιαστὴς,
Τὰ πάντα ματαιότης.

9. Καὶ περισσὸν, ὅτι ἐγένετο (ὁ) ἐκκλησιαστὴς σοφὸς,
(Καὶ) ἔτι ἐδίδαξε γνῶσιν σὺν τῷ ὅτι ἄνθρωπον·
Καὶ ἐξιχνιάσεται κόσμιον παραβολῶν.

10. Πολλὰ ἐζήτησεν ἐκκλησιαστὴς
Τοῦ εὑρεῖν λόγους θελήματος,
Καὶ γεγραμμένον εὐθύτητος, λόγους ἀληθείας.

11. Λόγοι σοφῶν ὡς τὰ βόκεντρα,
Καὶ ὡς ἧλοι πεφυτευμένοι, πεπυρωμένοι
Οἱ παρὰ τῶν συναγμάτων ἐδόθησαν
Ἑνὸς ποιμένος. 12. Καὶ περισσὸν ἐξ αὐτῶν
Υἱέ μου Φυλάσσου· τοῦ ποιῆσαι βιβλία πολλὰ
Οὐκ ἔστι περασμὸς,
Καὶ μελέτη πολλὴ κόπωσις σαρκός.

13. Τέλος λόγου τὸ πᾶν ἄκουε·
Τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε,
Ὅτι τοῦτο πᾶς ὁ ἄνθρωπος·

14. Ὅτι σὺν πᾶν τὸ ποίημα ἄξει ὁ Θεὸς
ἐν κρίσει ἐν παντὶ παρεωραμένῳ,
ἐὰν ἀγαθὸν καὶ ἐὰν πονηρόν.

ΕΚΚΛΗΣΙΑΣΤΗΣ.

v. 4. θύραν) θύρας. ibid. ſtich. 2. φωνῇ) φωνῆς. v. 5. Καί γε ἀπὸ ὕψους) καὶ εἰς τὸ ὕψος. ibid. ſtich. 2. ἀνθήσει) ἀνθήσῃ. ibid. ſtich. 5. ἄνθρωπος) ὁ ἄνθρωπος. v. 6. οχοινίον) τὸ οχοινίον. ibid. ſtich. 2. συνθλιβῇ) συντριβῇ. ibid. ſtich. 3. ἡ ὑδρία ἐπὶ τὴν πηγὴν) ὑδρία ἐπὶ τῇ πηγῇ. v. 7. ἐπιστρέψει) ἐπιστρέψῃ, bis hoc verſu. v. 9. (ὁ) abeſt. ibid. ſtich. 2. (Καὶ) deeſt. v. 10. ſtich. 3. γεγραμμένον) καὶ γεγραμμένον. v. 11. ſtich. 2. πεπυρωμένοι) πεφυτευμένοι. ibid. ſtich. 3. συναγμάτων) συνθεμάτων. v. 12. ſtich. 2. φυλάσσου) φύλαξαι. v. 14. σὺν πᾶν) σύμπαν. ibid. ἄξει ὁ Θεὸς) transpoſita. Subſcript. ΕΚΚΛΗCΙΑCΤΗC, non eſt in *Rom.*

ΑCMA-
TA

ΑΣΜΑ
ΑΣΜΑΤΩΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΑΣΜΑ ἀσμάτων, ὅ ἐστι τῷ Σαλωμών.

2. Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ·
Ὅτι ἀγαθοὶ μαστοί σε ὑπὲρ οἶνον,

3. Καὶ ὀσμὴ μύρων σε ὑπὲρ πάντα τὰ ἀρώματα.
σοι Μύρον ἐκκενωθὲν ὄνομά σε.
Διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε.
σε 4. Εἵλκυσάν με·
Ὀπίσω σε εἰς ὀσμὴν μύρων σε δραμοῦμεν.
Εἰσήνεγκέ με ὁ βασιλεὺς εἰς τὸ ταμιεῖον αὐτοῦ·
Ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν σοὶ,
Ἀγαπήσομεν μαστούς σε ὑπὲρ οἶνον·
Εὐθύτης ἠγάπησέ σε.

5. Μέλαινά εἰμι καὶ καλὴ, θυγατέρες Ἰερουσαλήμ,
Ὡς σκηνώματα Κηδὰρ, ὡς δέρρεις Σαλωμών.

6. Μὴ βλέψητέ με ὅτι ἐγώ εἰμι μεμελανωμένη,
Ὅτι παρέβλεψέ με ὁ ἥλιος·
Υἱοὶ μητρός με ἐμαχέσαντο ἐν ἐμοὶ,
Ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶσιν·
Ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα. ἐφύλαξαν

7. Ἀπάγγειλόν μοι ὃν ἠγάπησεν ἡ ψυχή μου,
Ποῦ ποιμανεῖς, ποῦ κοιτάσεις ἐν μεσημβρίᾳ· κοιτάζεις
Μήποτε γένωμαι ὡς περιβαλλομένη ἐπ' ἀγέλαις ἑταίρων σου.

8. Ἐὰν μὴ γνῷς σεαυτὴν ἡ καλὴ ἐν γυναιξὶν,
Ἔξελθε σοὶ ἐν πλέρναις τῶν ποιμνίων, σὺ
Καὶ ποίμαινε τὰς ἐρίφους σου,
Ἐπὶ σκηνώμασι τῶν ποιμένων (σου).

9. Τῇ ἵππῳ μου ἐν ἅρμασι Φαραὼ ἐπ'
Ὡμοίωσά σε ἡ πλησίον μου.

10. Τί ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνες,
Τράχηλός σου ὡς ὁρμίσκοι; ὁρμίσκος

11. Ὁμοιώματα χρυσία ποιήσομέν σοι μετὰ στιγμάτων τοῦ ἀργυρίου.

12. Ἕως ἂν ὁ βασιλεὺς ἐν ἀνακλίσει αὐτοῦ,
Νάρδος μου ἔδωκεν ὀσμὴν αὐτοῦ.

13. Ἀπόδεσμος τῆς σακτῆς ἀδελφιδός μου ἐμοὶ,

Ἀνα-

ACMATA ACMATΩN. *Rom.* ACMA. CAP. I. v. 1. τῷ Σαλωμών.) articulus abeſt. v. 3. ſtich. 2. ὄνομά σοι) ὄνομά σε. v. 4. ſtich. 3. ταμιεῖον) ταμεῖον. v. 5. εἰμὶ καὶ) εἰμὶ ἐγὼ καὶ. v. 6. ſtich. 5. ἐφύλαξαν) ἐφύλαξα. v. 7. ſtich. 2. ποιμανεῖς) ποιμαίνεις. v. 8. ſtich. 4. (σου) abeſt. v. 9. ἐπ' ἅρμασι) ἐν ἅρμασι. v. 10. τρυγόνες) τρυγόνος. ibid. ſtich. 2. ὁρμίσκος) ὁρμίσκοι.

Ἀναμέσον τῶν μαζῶν μὲ αὐλιθήσεται·
14. Βότρυς τῆς κύπρου ἀδελφιδός μὲ ἐμοὶ,
Ἐν ἀμπελῶσιν Ἐνγαδδί.
15. Ἰδὲ εἶ καλὴ ἡ πλησίον μὲ, ἰδὲ εἶ καλή·
ὀφθαλμός Ὀφθαλμοί σὲ περιστεραί.
16. Ἰδὲ εἶ καλὸς ὁ ἀδελφιδός μὲ, καί γε ὡραῖος·
Πρὸς κλίνη ἡμῶν σύσκιος,
17. Δοκοὶ οἴκων ἡμῶν κέδροι,
Φατνώματα ἡμῶν κυπάρισσοι.

ΚΕΦ. Β'. II.

ΕΓΩ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων.
2. Ὡς κρίνον ἐν μέσῳ ἀκανθῶν,
Οὕτως ἡ πλησίον μὲ ἀναμέσον τῶν θυγατέρων.
3. Ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ,
Οὕτως ἀδελφιδός μὲ ἀναμέσον τῶν υἱῶν·
Ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα καὶ ἐκάθισα,
Καὶ καρπὸς αὐτοῦ γλυκὺς ἐν λάρυγγί μὲ.
4. Εἰσαγάγετέ με εἰς οἶκον τοῦ οἴνου,
Τάξατε ἐπ' ἐμὲ ἀγάπην·
μύροις 5. Στηρίσατέ με ἐν ἀμόραις,
Στοιβάσατέ με ἐν μήλοις·
Ὅτι τετρωμένη ἀγάπης ἐγώ.
6. Εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μὲ,
Καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με.
7. Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ
Ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ·
Ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως ἂν θελήσῃ.
8. Φωνὴ ἀδελφιδοῦ μὲ·
Ἰδοὺ ἔτος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη,
Διαλλόμενος ἐπὶ τοὺς βουνούς·
9. Ὅμοιος ἐστιν ἀδελφιδός μὲ τῇ δορκάδι
Ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη Βαιθήλ.
Ἰδοὺ ἔτος ἕστηκεν ὀπίσω τοῦ τοίχου ἡμῶν,
Παρακύπτων διὰ τῶν θυρίδων,
Ἐκκύπτων διὰ τῶν δικτυωτῶν. δικτύων
10. Ἀποκρίνεται ἀδελφιδός μὲ, καὶ λέγει μοι·
Ἀνάστα, ἐλθὲ ἡ πλησίον μὲ, καλή μὲ, περιστερά μὲ,
11. Ὅτι ἰδοὺ ὁ χειμὼν παρῆλθεν,
Ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ·
12. Τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ,
Καιρὸς τῆς τομῆς ἔφθακεν,
Φωνὴ τῆς τρυγόνος ἠκούθη ἐν τῇ γῇ τοῦ ἡμῶν·
13. Ἡ συκῆ ἐξήνεγκεν ὀλύνθους αὐτῆς,
Αἱ ἄμπελοι κυπρίζουσιν, ἔδωκαν ὀσμήν.
Ἀνάστα, ἐλθὲ ἡ πλησίον μὲ, καλή μὲ, περιστερά μὲ,
Καὶ ἐλθέ σοι 14. περιστερά μὲ ἐν σκέπῃ τῆς πέτρας, σὺ
Ἐχόμενα τοῦ προτειχίσματος·
Δεῖξόν μοι τὴν ὄψιν σὲ,
Καὶ ἀκούτισόν με τὴν φωνήν σὲ·
Ὅτι ἡ φωνή σὲ ἡδεῖα, καὶ ἡ ὄψις σὲ ὡραία.

v. 15. ſtich. 2. ὀφθαλμοὺς) ὀφθαλμοί. v. 16. ὁ ἀδελφιδὸς) articulus deeſt. CAP. II. v. 5. ſtich. 2. Στοιβάσατε ἐν) στοιβάσατέ με ἐν. v. 7. ſtich. 2. Ἐν ταῖς δυνάμεσι) ἐν δυνάμεσι. ibid. καὶ ἐν ταῖς ἰσχύσεσι) itidem deeſt articulus. v. 9. ſtich. 3. ἕστηκεν) abeſt. v. 12. ſtich. 3. τοῦ τρυγόνος) τῆς τρυγόνος.

15. Πιάσατε ἡμῖν ἀλώπεκας
Μικρὲς, ἀφανίζοντας ἀμπελῶνας·
Καὶ αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν.
16. Ἀδελφιδός μου ἐμοὶ, κἀγὼ αὐτῷ,
Ὁ ποιμαίνων ἐν τοῖς κρίνοις,
17. Ἕως ἂ διαπνεύσῃ ἡ ἡμέρα, καὶ κινηθῶσιν αἱ σκιαί.
Ἀπόστρεψον, ὁμοιώθητι σὺ ἀδελφιδέ μου
Τῷ δόρκωνι ἢ νεβρῷ ἐλάφων
Ἐπὶ ὄρη κοιλωμάτων.

ΚΕΦ. Γ'. III.

ΕΠΙ κοίτην μου ἐν νυξὶν
Ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου·
Ἐζήτησα αὐτὸν, καὶ οὐχ εὗρον αὐτόν·
Ἐκάλεσα αὐτὸν, καὶ οὐχ ὑπήκουσέ μου.
2. Ἀναστήσομαι δὴ, καὶ κυκλώσω ἐν τῇ πόλει,
Ἐν ταῖς ἀγοραῖς καὶ ἐν ταῖς πλατείαις,
Καὶ ζητήσω ὃν ἠγάπησεν ἡ ψυχή μου·
ἐζήτησα αὐτὸν, καὶ οὐχ εὗρον αὐτόν·
Ἐκάλεσα αὐτὸν, καὶ οὐχ ὑπήκουσέ μου.
3. Εὗρόσάν με οἱ τηροῦντες, οἱ κυκλοῦντες ἐν τῇ πόλει·
Μὴ ὃν ἠγάπησεν ἡ ψυχή μου, εἴδετε;
4. Ὡς μικρὸν ὅτε παρῆλθον ἀπ' αὐτῶν,
Ἕως ἂ εὗρον ὃν ἠγάπησεν ἡ ψυχή μου·
Ἐκράτησα αὐτὸν, καὶ οὐκ ἀφήσω αὐτὸν,
Ἕως ἂ εἰσήγαγον αὐτὸν εἰς οἶκον μητρός μου,
Καὶ εἰς ταμιεῖον τῆς συλλαβούσης με.
5. Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ
Ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τῆ ἀγρῆ·
Ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως ἂν θελήσῃ.
6. Τίς αὕτη ἡ ἀναβαίνουσα ἀπὸ τῆς ἐρήμου,
Ὡς στελέχη καπνῆ, τεθυμιαμένη
Σμύρναν καὶ λίβανον ἀπὸ πάντων κονιορτῶν μυρεψῆ;
7. Ἰδοὺ ἡ κλίνη τῆ Σαλωμὼν,
Ἑξήκοντα δυνατοὶ κύκλῳ αὐτῆς
Ἀπὸ δυνατῶν Ἰσραήλ·
8. Πάντες κατέχοντες ῥομφαίαν,
Δεδιδαγμένοι πόλεμον·
Ἀνὴρ ῥομφαία αὐτῆ ἐπὶ μηρὸν αὐτῆ
Ἀπὸ θάμβους ἐν νυξί.
9. Φορεῖον ἐποίησεν ἑαυτῷ ὁ βασιλεὺς Σαλωμὼν
Ἀπὸ ξύλων τῆ Λιβάνου.
10. Στύλους αὐτῆ ἐποίησεν ἀργύριον,
Καὶ ἀνάκλιτον αὐτῆ χρύσεον·
Ἐπίβασις αὐτῆ πορφυρᾶ,
Ἐντὸς αὐτῆ λιθόστρωτον
Ἀγάπην ἀπὸ θυγατέρων Ἱερουσαλήμ.
11. Ἐξέλθατε καὶ ἴδετε θυγατέρες Σιὼν
Ἐν τῷ βασιλεῖ Σαλωμὼν,
Ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτῆ,
Ἐν ἡμέρᾳ νυμφεύσεως αὐτῆ,
Καὶ ἐν ἡμέρᾳ εὐφροσύνης καρδίας αὐτῆ.

ΚΕΦ.

v. 15. stich. 3. κυπρίζουσιν) κυπρίζουσαι. v. 17. ἡμέρα) ἡ ἡμέρα. CAP. III. v. 2. δὴ, κυκλώσω) δὴ καὶ κυκλώσω. ibid. stich. 4. non legitur in *Ed. Rom.* v. 4. stich. 3. ἀφήσω) ἀφῆκα. ibid. stich. 5. ταμιεῖον) ταμεῖον. v. 11. stich. 1. in *Rom.* θυγατέρες σιὼν ἐξέλθατε καὶ ἴδετε.

ΚΕΦ. Δ'. IV.

Ἰδοὺ εἶ καλὴ ἡ πλησίον μȣ, ἰδοὺ εἶ καλή·
Ὀφθαλμοί σȣ περιστεραὶ,
Ἐκλὸς τῆς σιωπήσεώς σȣ·
Τρίχωμά σȣ ὡς ἀγέλαι τῶν αἰγῶν,
Αἳ ἀπεκαλύφθησαν ἀπὸ τȣ̃ Γαλαάδ.

2. Ὀδόντες σȣ ὡς ἀγέλαι τῶν κεκαρμένων,
Αἳ ἀνέβησαν ἀπὸ τȣ̃ λȣτρȣ̃,
Αἳ πᾶσαι δίδυμεύȣσαι,
αὐτοῖς Καὶ ἀτεκνȣ̃σα ἐκ ἔστιν ἐν αὐταῖς.

3. Ὡς σπαρτίον τὸ κόκκινον χείλη σȣ,
Καὶ ἡ λαλιά σȣ ὡραία·
Ὡς λέπυρον τῆς ῥοᾶς μῆλόν σȣ,
Ἐκλὸς τῆς σιωπήσεώς σȣ.

4. Ὡς πύργος Δαυὶδ τραχήλός σȣ,
Ὁ ᾠκοδομημένος εἰς Θαλφιώθ·
Χίλιοι θυρεοὶ κρέμανται ἐπ' αὐτὸν,
Πᾶσαι βολίδες τῶν δυνατῶν.

5. Δύο μαστοί σȣ ὡς δύο νεβροὶ δίδυμοι δορκάδος,
Οἱ νεμόμενοι ἐν κρίνοις,

6. Ἕως διαπνεύσῃ ἡ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί.
Πορεύσομαι ἐμαυτῷ πρὸς τὸ ὄρος τῆς σμύρνης
Καὶ πρὸς τὸν βȣνὸν τȣ̃ Λιβάνȣ.

7. Ὅλη καλὴ εἶ πλησίον μȣ, καὶ μῶμος ἐκ ἔστιν ἐν σοί.

8. Δεῦρο ἀπὸ Λιβάνȣ νύμφη, δεῦρο ἀπὸ Λιβάνȣ·
Ἐλεύσῃ καὶ διελεύσῃ ἀπ' ἀρχῆς πίστεως,
Ἀπὸ κεφαλῆς Σανεὶρ καὶ Ἀερμών,
Ἀπὸ μανδρῶν λεόντων, ἀπὸ ὀρέων παρδάλεων.

9. Ἐκαρδίωσας ἡμᾶς ἀδελφή μȣ νύμφη,
Ἐκαρδίωσας ἡμᾶς ἐν ἑνὶ ἀπὸ ὀφθαλμῶν σȣ,
Ἐν μιᾷ ἐνθέματι τραχήλων σȣ. Ιεραχήλ

10. Τί ἐκαλλιώθησαν μαστοί σȣ ἀδελφή μȣ νύμφη;
Τί ἐκαλλιώθησαν μαστοί σȣ ἀπὸ οἴνȣ,
Καὶ ὀσμὴ ἱματίων σȣ ὑπὲρ πάντα τὰ ἀρώματα;

11. Κηρίον ἀποστάζȣσι χείλη σȣ νύμφη,
Μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σȣ,
Καὶ ὀσμὴ ἱματίων σȣ ὡς ὀσμὴ Λιβάνȣ.

12. Κῆπος κεκλεισμένος ἀδελφή μȣ νύμφη,
Κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη.

13. Ἀποστολαί σȣ παράδεισος ῥοῶν
Μετὰ καρπȣ̃ ἀκροδρύων,
Κύπροι μετὰ νάρδων,

14. Νάρδος καὶ κρόκος,
Κάλαμος, καὶ κιννάμωμον
Μετὰ πάντων ξύλων τȣ̃ Λιβάνȣ,
Σμύρνα Ἀλὼθ μετὰ πάντων πρώτων μύρων.

15. Πηγὴ κήπων φρέαρ ὕδατος ζώντος
Καὶ ῥοιζοῦντος ἀπὸ τȣ̃ Λιβάνȣ.

 16. Ἔξε-

CAP. IV. v. 2. ſtich. 4. ἐν αὐτοῖς) ἐν αὐταῖς. v. 3. κόκκινον) τὸ κόκκινον. ibid. ſtich. 3. τῆς ῥοᾶς) ῥοᾶς. v. 4. ſtich. 2. Θαλφιὼθ) θαλπιὼθ. v. 6. Ἕως διαπνεύσῃ ἡ ἡμ.) ἕως ἂ διαπνεύσῃ ἡμέρα. v. 8. ſtich. 2. ἀπ' ἀρχῆς) ἀπὸ ἀρχῆς. ibid. ſtich. 3. Σανεὶρ καὶ Ἀερμών) σανὶρ καὶ ἑρμών. v. 9. ſtich. 2. ἐν ἀπὸ) ἑνὶ ἀπὸ. ibid. ſtich. 3. τραχήλ) τραχήλων. v. 10. ſtich. 3. τὰ ἀρώματα) absque articulo. v. 13. παράδεισος) adjicit ῥοῶν. v. 15. κήπων) κήπε καὶ.

16. Ἐξεγέρθητι βορρᾶ, καὶ ἔρχε νότε,
Διάπνευσον κῆπόν μου,
Καὶ ῥευσάτωσαν ἀρώματά μου.
Καταβήτω ἀδελφιδός με εἰς κῆπον μου αὐτοῦ,
Καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ.

ΚΕΦ. Ε'. V.

1. Εἰσῆλθον εἰς κῆπόν με ἀδελφή με νύμφη·
Ἐτρύγησα σμύρναν με μετὰ ἀρωμάτων με,
ἄρτον Ἔφαγον ἀγρέν με μετὰ μέλιτός με,
Ἔπιον οἶνόν μου μετὰ γάλακτός μου·
Φάγετε οἱ πλησίον, καὶ πίετε καὶ μεθύσθητε ἀδελφοί.
2. Ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ·
Φωνὴ ἀδελφιδοῦ μου, κρούει ἐπὶ τὴν θύραν·
Ἄνοιξόν μοι ἀδελφή μου, ἡ πλησίον μου,
Περιστερά μου, τελεία μου·
Ὅτι ἡ κεφαλή μου ἐπλήσθη δρόσου,
Καὶ οἱ βόστρυχοί μου ψεκάδων νυκτός.
3. Ἐξεδυσάμην τὸν χιτῶνά μου, πῶς ἐνδύσωμαι αὐτόν;
Ἐνιψάμην τὰς πόδας μου, πῶς μολυνῶ αὐτάς;
4. Ἀδελφιδός μου ἀπέστειλεν χεῖρα αὐτοῦ ἀπὸ τῆς ὀπῆς,
Καὶ ἡ κοιλία με ἐθροήθη ἐπ' αὐτόν.
5. Ἀνέστην ἐγὼ ἀνοῖξαι τῷ ἀδελφιδῷ με·
Αἱ χεῖρές μου ἔσταξαν σμύρναν,
Δάκτυλοί μου σμύρναν πλήρη
Ἐπὶ χεῖρας τοῦ κλείθρου.
6. Ἤνοιξα ἐγὼ τῷ ἀδελφιδῷ μου·
Ἀδελφιδός μου παρῆλθε.
Ἡ ψυχή μου ἐξῆλθεν ἐν λόγῳ αὐτοῦ·
Ἐζήτησα αὐτόν, καὶ οὐχ εὗρον αὐτόν·
Ἐκάλεσα αὐτόν, καὶ οὐκ ἐπήκουσέ μου.
7. Εὗρόσάν με οἱ φύλακες οἱ κυκλοῦντες ἐν τῇ πόλει·
Ἐπάταξάν με, ἐτραυμάτισάν με·
Ἦραν τὸ θέριστρόν με ἀπ' ἐμοῦ φύλακες τῶν τειχέων.
8. Ὥρκισα ὑμᾶς θυγατέρες Ἰερουσαλὴμ
Ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ·
Ἐὰν εὕρητε τὸν ἀδελφιδόν μου, τί ἀπαγγείλητε αὐτῷ·
Ὅτι τετρωμένη ἀγάπης εἰμὶ ἐγώ.
9. Τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ἡ καλὴ ἐν γυναιξί;
Τί ἀδελφιδός σε ἀπὸ ἀδελφιδοῦ, ὅτι οὕτως ὥρκισας ἡμᾶς;
10. Ἀδελφιδός μου λευκὸς καὶ πυῤῥός,
Ἐκλελοχισμένος ἀπὸ μυριάδων.
11. Κεφαλὴ αὐτοῦ χρυσίον Καιφάζ,
Βόστρυχοι αὐτοῦ ἐλάται, μέλανες ὡς κόραξ.
12. Ὀφθαλμοὶ αὐτοῦ ὡς περιστεραὶ ἐπὶ πληρώματα ὑδάτων,
Λελουμέναι ἐν γάλακτι,

Καθή-

v. 16. stich. 2. Διάπνευσον) καὶ διάπνευσον. ibid. stich. 4. ab hoc sticho *Edit. Rom.* incipit 5. Cap. ibid. κῆπον μου) κῆπον αὐτοῦ. CAP. V. v. 1. stich. 5. οἱ πλησίον) πλήσιοι. v. 2. stich. 3. in *Rom.* ἄνοιξόν μοι ἡ πλησίον με ἀδελφή μου. v. 3. ἐνδύσωμαι) ἐνδύσομαι. v. 5. stich. 2. Αἱ χεῖρες) absque articulo. v. 6. stich. 3. Ἡ ψυχή) articulus deest. ibid. stich. 5. ἐκ ἐπήκουσε) ἐχ ὑπήκουσε. v. 8. stich. 4. εἰμὶ ἐγὼ) transposita. v. 11. Καιφάζ) κεφάζ. v. 12. stich. 2. Λελουμέναι) λελασμέναι.

πληρώματα * Φιάλες

Καθήμεναι ἐπὶ πληρώματι (ὑδάτων)·
13. Σιαγόνες αὐτῆ̃ ὡς * φυταλιαὶ τῆ̃ ἀρώματος, φύσσαι μυρεψικά·
Χείλη αὐτῆ̃ κρίνα, σάζοντα σμύρναν πλήρη.
14. Χεῖρες αὐτῆ̃ τορευταὶ χρυσαῖ, πεπληρωμέναι Θαρσείς·
Κοιλία αὐτῆ̃ πυξίον ἐλεφάντινον ἐπὶ λίθου σαπφείρου·
15. Κνῆμαι αὐτῆ̃ σύλοι μαρμάρινοι, Τεθεμελιωμένοι ἐπὶ βάσεις χρυσᾶς.
Εἶδος αὐτῆ̃ ὡς Λίβανος, ἐκλεκτὸς ὡς κέδροι·
16. Φάρυγξ αὐτῆ̃ γλυκασμοὶ, καὶ ὅλος ἐπιθυμία·
Οὗτος ἀδελφιδός μα, καὶ ἕτος πλησίον μου,
Θυγατέρες Ἰερουσαλήμ.
17. Πῆ̃ ἀπῆλθεν ὁ ἀδελφιδός σου, ἡ καλὴ ἐν γυναιξί;
Πῆ̃ ἀπέβλεψεν ὁ ἀδελφιδός σου;
Καὶ ζητήσομεν αὐτὸν μετὰ σῆ̃.

ΚΕΦ. ς'. VI.

μα Φιάλας

ΑΔελφιδός μα κατέβη εἰς κῆπον αὐτῆ̃
Εἰς φυταλιὰς τῆ̃ ἀρώματος,
Ποιμαίνειν ἐν κήποις, καὶ συλλέγειν κρίνα.
2. Ἐγὼ τῷ̃ ἀδελφιδῷ̃ μου, καὶ ὁ ἀδελφιδός μου ἐμοὶ,
Ὁ ποιμαίνων ἐν τοῖς κρίνοις.
3. Καλὴ εἶ ἡ πλησίον μου, ὡς εὐδοκία,
Ὡραῖα ὡς Ἰερουσαλὴμ, θάμβος ὡς τεταγμέναι.
4. Ἀπόστρεψον ὀφθαλμές σε ἀπεναντίον ἐμῆ̃,
Ὅτι αὐτοὶ ἀνεπλέρωσάν με.
Τρίχωμά σε ὡς ἀγέλαι τῶν αἰγῶν,
Αἳ ἀνεφάνησαν ἀπὸ τῆ̃ Γαλαάδ.
5. Ὀδόντες σε ὡς ἀγέλαι τῶν κεκαρμένων, αἳ ἀνέβησαν ἀπὸ τῆ̃ λατρῆ̃,
Αἱ πᾶσαι δίδυμεύουσαι,
Καὶ ἀτεκνῶσα ἐκ ἔστιν ἐν αὐταῖς. αὐτοῖς
Ὡς σπαρτίον τὸ κόκκινον χείλη σε,
Καὶ ἡ λαλιά σου ὡραῖα·
6. Ὡς λέπυρον τῆς ῥοᾶς μῆλόν σου
Ἐκλὸς τῆς σιωπήσεώς σου.
7. Ἑξήκοντα εἰσὶ βασίλισσαι
Καὶ ὀγδοήκοντα παλλακαὶ,
Καὶ νεάνιδες ὧν ἐκ ἔστιν ἀριθμός.
8. Μία ἐστὶ περιστερά μου, τελεία μου·
Μία ἐστὶ τῇ̃ μητρὶ αὐτῆ̃ς,
Ἐκλεκτή ἐστι τῇ̃ τεκούσῃ αὐτὴν· αὐτῆς
Εἶδοσαν αὐτὴν θυγατέρες, καὶ μακαριοῦσιν αὐτὴν,
Βασίλισσαι καὶ παλλακαὶ, καὶ αἰνέσουσιν αὐτήν.
9. Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος,
Καλὴ ὡς σελήνη, ἐκλεκτὴ ὡς ὁ ἥλιος,
Θάμβος ὡς τεταγμέναι;
10. Εἰς κῆπον καρύας κατέβην
Ἰδεῖν ἐν γενήμασιν τῆ̃ χειμάρρου, γενήματι
Ἰδεῖν εἰ ἤνθησεν ἡ ἄμπελος,
Εἰ ἤνθησαν αἱ ῥοαί·
Ἐκεῖ δώσω τὰς μαστές μου σοί.
11. Οὐκ

v. 12. stich. 3. (ὑδάτων) deest. v. 13. Φιάλες forte pro Φιάλαι, uti legitur in *Rom.* v. 14. Θαρσεὶς) Θαρσίς. CAP. VI. v. 1. κῆπόν μα) κῆπον αὐτῆ̃. v. 2. ὁ ἀδελφιδός) absque articulo. v. 4. ἀπεναντίον ἐμῆ̃) ἀπεναντίον μου. v. 5. stich. 3. ἐν αὐτοῖς) ἐν αὐταῖς. ibid. stich. 4. κόκκινον) τὸ κόκκινον. v. 8. stich. 3. τεκούσῃ αὐτῆς) τεκούσῃ αὐτήν. ibid. stich. 5. καὶ παλλ.) καί γε παλλακαὶ. v. 10. stich. 2. γενήματι) γενήμασι. ibid. stich. 4. Εἰ ἤνθησαν) ἐξήνθησαν.

11. Οὐκ ἔγνω ἡ ψυχή μου,
Ἔθετό με ἅρματα Ἀμιναδάβ.

12. Ἐπίστρεφε ἐπίστρεφε ἡ Σουλαμίτις,
Ἐπίστρεφε ἐπίστρεφε, καὶ ὀψόμεθα ἐν σοί.
Τί ὄψεσθε ἐν τῇ Σουλαμίτιδι;
Ἡ ἐρχομένη ὡς χοροὶ τῶν παρεμβολῶν.

ΚΕΦ. Ζ'. VII.

ΤΙ ὡραιώθησαν διαβήματά σου ἐν ὑποδήμασί σε,
Ἀμιναδάβ. Θύγατερ Ναδάβ;
Ῥυθμοὶ μηρῶν σου ὅμοιοι ὁρμίσκοις,
Ἔργῳ χειρῶν τεχνίτε.

2. Ὀμφαλός σου κρατὴρ τορευτὸς,
Μὴ ὑστερέμενος κράματος·
Θιμονία Κοιλία σου θημωνία σίτε, πεφραγμένη ἐν κρίνοις·

3. Δύο μαστοί σου ὡς δύο νεβροὶ δίδυμοι δορκάδος.

4. Τράχηλός σε ὡς πύργος ἐλεφάντινος·
Ὀφθαλμοί σε ὡς λίμναι ἐν Ἐσεβὼν,
Ἐν πύλαις θυγατρὸς πολλῶν·
Μυκτήρ σου ὡς πύργος τῦ Λιβάνου,
Σκοπεύων πρόσωπον Δαμασκῦ·

5. Κεφαλή σου ἐπὶ σὲ ὡς Κάρμηλος,
Καὶ πλόκιον κεφαλῆς σου ὡς πορφύρα,
Βασιλεὺς δεδεμένος ἐν παραδρομαῖς.

6. Τί ὡραιώθης, καὶ τί ἡδύνθης
Ἀγάπη ἐν τρυφαῖς σου;

7. Τῦτο μέγεθός σου ὡμοιώθη τῷ φοίνικι,
Καὶ οἱ μαστοί σου τοῖς βότρυσιν.

8. Εἶπα ἀναβήσομαι ἐν τῷ φοίνικι,
Κρατήσω τῶν ὕψεων αὐτῦ·
Καὶ ἔσονται δὴ μαστοί σου, ὡς βότρυες τῆς ἀμπέλου,
Καὶ ὀσμὴ ῥινός σου ὡς μῆλα,

9. Καὶ ὁ λάρυγξ σου, ὡς οἶνος ὁ ἀγαθὸς,
Πορευόμενος τῷ ἀδελφιδῷ με εἰς εὐθύτητα,
Ἱκανούμενος (ἐν) χείλεσί με καὶ ὀδοῦσιν.

10. Ἐγὼ τῷ ἀδελφιδῷ με,
Καὶ ἐπ' ἐμὲ ἡ ἐπιστροφὴ αὐτῦ.

11. Ἐλθὲ ἀδελφιδέ με, ἐξέλθωμεν εἰς ἀγρὸν,
Αὐλισθῶμεν ἐν κώμαις·

12. Ὀρθρίσωμεν εἰς ἀμπελῶνας,
Ἰδωμεν εἰ ἤνθησεν ἡ ἄμπελος,
Ἤνθησεν ὁ κυπρισμός,
Ἤνθησαν αἱ ῥοαί·
Ἐκεῖ δώσω τὰς μαστάς με σοί.

13. Οἱ μανδραγόραι ἔδωκαν ὀσμὴν,
Καὶ ἐπὶ θύραις ἡμῶν πάντα ἀκρόδρυα
Νέα· πρὸς παλαιὰ ἀδελφιδέ με ἐτήρησά σοι.

ΚΕΦ.

v. 12. Σελαμίτις) σουναμίτις. ibid. ſtich. 3. ab hoc ſticho *Edit. Rom.* 7. Cap. incipit. ibid. Σελαμίτιδι) σναμίτιδι, paſſim. CAP. VII. v. 1. Τί ὡρ.) τί abeſt. ibid. ὑποδήμασι) addit σε. ibid. ſtich. 2. Ἀμιναδάβ) ναδάβ. ibid. ſtich. 3. μηρῶν σε) σε abeſt. ibid. ſtich. 4. Ἔργῳ χειρῶν) ἔργον. v. 2. ſtich. 2. κράματος) κράμα. ibid. ſtich. 3. θιμωνία) θημωνία. v. 4. Τράχηλος) ὁ τράχηλος. ibid. ſtich. 2. Ὀφθαλμοί) οἱ ὀφθαλμοί. v. 7. ὡμοιώθη) ὁμοιώθη. v. 8. ἐν τῷ φ.) ἐπὶ τῷ φ. v. 9. ἀγαθὸς) ὁ ἀγαθὸς. ibid. ſtich. 3. (ἐν) deeſt.

ΚΕΦ. Η'. VIII.

Τις δώη σε ἀδελφιδέ μοι θηλάζοντα μαστοὺς μητρός μου;
Εὑρὼν σε ἔξω φιλήσω σε,
με Καί γε οὐκ ἐξουδενήσουσί μοι.

2. Παραλήψομαί σε, εἰσάξω σε εἰς οἶκον μητρός μου
Καὶ εἰς ταμιεῖον τῆς συλλαβούσης με·
Ποτιῶ σε ἀπὸ οἴνου τοῦ μυρεψικοῦ,
Ἀπὸ νάματος ῥοῶν μου.

3. Εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου,
Καὶ δεξιὰ αὐτοῦ περιλήψεταί με.

4. Ὥρκισα ὑμᾶς θυγατέρες Ἰερουσαλὴμ
Ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ·
Τί ἐγείρητε καὶ τί ἐξεγείρητε τὴν ἀγάπην
Ἕως ἂν θελήσῃ.

5. Τίς αὕτη ἡ ἀναβαίνουσα λελευκανθισμένη,
ἐπισηριζομένη Ἐπιστηριζομένη ἐπὶ τὸν ἀδελφιδὸν αὐτῆς;
Ὑπὸ μῆλον ἐξήγειρά σε·
Ἐκεῖ ὠδίνησέ σε ἡ μήτηρ σου,
Ἐκεῖ ὠδίνησέ σε ἡ τεκοῦσά σε.

6. Θές με ὡς σφραγίδα ἐπὶ τὴν καρδίαν σου,
Ὡς σφραγίδα ἐπὶ τὸν βραχίονά σου·
Ὅτι κραταιὰ ὡς θάνατος ἀγάπη,
Σκληρὸς ὡς ᾅδης ζῆλος· Σκληρὸν
Περίπλεκα αὐτῆς περίπλεκα πυρὸς, φλόγες αὐτῆς·

7. Ὕδωρ πολὺ οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην,
Καὶ ποταμοὶ οὐ συγκλύσουσιν αὐτήν·
Ἐὰν δῷ ἀνὴρ τὸν πάντα βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ,
Ἐξουδενώσει ἐξουδενήσουσιν αὐτόν.

8. Ἀδελφὴ ἡμῶν μικρὰ, καὶ μαστοὺς οὐκ ἔχει·
Τί ποιήσωμεν τῇ ἀδελφῇ ἡμῶν,
Ἐν ἡμέρᾳ ᾗ ἂν λαληθῇ ἐν αὐτῇ;

9. Εἰ τεῖχός ἐστιν, οἰκοδομήσωμεν ἐπ' αὐτὴν ἐπαύλεις ἀργυρᾶς· ἐπάλξεις
Καὶ εἰ θύρα ἐστὶ, διαγράψωμεν ἐπ' αὐτὴν σανίδα κεδρίνην.

10. Ἐγὼ τεῖχος, καὶ μαστοί μου ὡς πύργοι·
Ἐγὼ ἤμην ἐν ὀφθαλμοῖς αὐτοῦ ὡς εὑρίσκουσα εἰρήνην.

11. Ἀμπελὼν ἐγενήθη τῷ Σαλωμὼν ἐν Βεελαμών· ἐγενήθην
Ἔδωκε τὸν ἀμπελῶνα αὐτοῦ τοῖς τηροῦσιν·
Ἀνὴρ οἴσει ἐν καρπῷ αὐτοῦ χιλίας ἀργυρίου.

12. Ἀμπελών μου ἐμὸς ἐνώπιόν μου·
Οἱ χίλιοι τῷ Σαλωμὼν,
Καὶ οἱ διακόσιοι τοῖς τηροῦσι τὸν καρπὸν αὐτοῦ.

CAP. VIII. v. 1. ſtich. 3. ἐξουδενήσουσί με) ἐξουδενώσουσί μοι. v. 2. ſtich. 2. ταμιεῖον) ταμεῖον. v. 3. ſtich. 2. Καὶ δεξιὰ) καὶ ἡ δεξιὰ. v. 4. ſtich. 2. Ἐν ταῖς δυνάμεσι καὶ) hæc verba deſunt. ibid. ſtich. 3. τί) ἐὰν, bis hoc ſticho. v. 6. ſtich. 4. Σκληρὸν) σκληρὸς. v. 7. ſtich. 3. τὸν πάντα βίον) πάντα τὸν βίον. ibid. ſtich. 4. ἐξουδενήσουσιν) ἐξουδενώσουσιν. v. 8. ſtich. 3. ᾗ ἂν) ἢ ἐὰν. v. 10. ſtich. 2. αὐτοῦ εὑρίσκουσα) αὐτῶν ὡς εὑρίσκουσα. v. 11. ἐγενήθην) ἐγενήθη. ibid. ſtich. 3. ſuppletus à *Cl. Grabio* integer habetur in *Edit. Rom.*

13. Ὁ καθήμενος ἐν κήποις, ἑταῖροι προσέχοντες
Τῇ φωνῇ σε· ἀκούτισόν με.

14. Φεύγε ἀδελφιδέ μου, καὶ ὁμοιώθητι τῇ δορκάδι
Ἢ τῷ νεβρῷ τῶν ἐλάφων ἐπὶ τὰ ὄρη ἀρωμάτων. κοιλωμάτων

ΑΣΜΑ ΑΣΜΑΤΩΝ.

V. 14. Φεύγε) φύγε. ibid. stich. 2. in *Rom.* ἢ τῷ νεβρῷ τῶν ἐλάφων ἐπὶ ὄρη τῶν ἀρωμάτων. * Subscriptionem non habet *Edit. Rom.*

ΣΟΦΙΑ ΣΟΛΟΜΩΝΤΟΣ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἀγαπήσατε δικαιοσύνην οἱ κρίνοντες τὴν γῆν· Φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι, Καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν·

2. Ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτὸν,
Ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. πιστεύουσιν

3. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ·
Δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει τοὺς ἄφρονας.

4. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐ εἰσελεύσεται σοφία,
Οὐδὲ κατοικήσει ἐν σώματι κατακρέου ἁμαρτίας·

5. Ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται σοφίας δόλον,
Καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων,
Καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας.

6. Φιλάνθρωπον γὰρ πνεῦμα σοφίας,
Καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ·
Ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς, καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς,

Καὶ

ΣΟΦΙΑ ΣΟΛΟΜΩΝΤΟΣ.) in *Rom.* ΣΟΦΙΑ ΣΑΛΩΜΩΝ. CAP. I. v. 2. stich. 2. πιστεύουσιν) ἀπιστοῦσιν. v. 5. σοφίας) παιδείας. v. 6. σοφίας) σοφία.

Καὶ τῆς γλώσσης αὐτῦ ἀκρατής.
7. Ὅτι πνεῦμα Κυρίε ἐπλήρωσε τὴν οἰκουμένην,
Καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς.
8. Διὰ τῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ,
Οὐδὲ μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη.
9. Ἐν γὰρ διαβουλίοις ἀσεβῶν ἐξέτασις ἔσται,
Λόγων δὲ αὐτῦ ἀκοὴ πρὸς Κύριον ἥξει
Εἰς ἔλεγχον ἀνομημάτων αὐτῦ.
10. Ὅτι ὃς ζηλώσεως ἀκροᾶται τὰ πάντα,
Καὶ θρῶν γογγυσμῶν οὐκ ἀποκρύπλεται.
11. Φυλάξασθε τοίνυν γογγυσμὸν ἀνωφελῆ,
Καὶ ἀπὸ καταλαλιᾶς φείσασθε γλώσσης.
Ὅτι φθέγμα λαθραῖον κενὸν οὐ πορεύσεται,
Στόμα δὲ καταψευδόμενον ἀναιρεῖ ψυχήν.
12. Μὴ ζηλῶτε θάνατον ἐν πλάνῃ ζωῆς ὑμῶν,
Μηδὲ ἐπισπᾶσθε ὄλεθρον ἐν ἔργοις χειρῶν ὑμῶν.
13. Ὅτι ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν,
Οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων.
14. Ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ πάντα,
Καὶ σωτήριοι αἱ γενέσεις τῦ κόσμου,
Καὶ οὐκ ἔστιν ἐν αὐταῖς φάρμακον ὀλέθρου,
Οὐδὲ ᾅδου βασίλειον ἐπὶ τῆς γῆς.
15. Δικαιοσύνη γὰρ ἀθάνατός ἐστιν.
16. Ἀσεβεῖς δὲ ταῖς χερσὶ καὶ τοῖς λόγοις προσεκαλέσαντο αὐτόν·
Φίλον ἡγησάμενοι αὐτὸν ἐτάκησαν,
Καὶ συνθήκην ἔθεντο πρὸς αὐτὸν,
Ὅτι ἄξιοί εἰσι τῆς ἐκείνε μερίδος εἶναι.

ΚΕΦ. Β'. II.

Εἶπον γὰρ ἐν ἑαυτοῖς λογισάμενοι οὐκ ὀρθῶς·
Ὀλίγος ἐστὶ καὶ λυπηρὸς ὁ βίος ἡμῶν,
Καὶ οὐκ ἔστιν ἴασις ἐν τελευτῇ ἀνθρώπε,
Καὶ οὐκ ἐγνώσθη ὁ ἀναλύσας ἐξ ᾅδε.
2. Ὅτι αὐτοσχεδίως ἐγεννήθημεν,
Καὶ μετὰ τῦτο ἐσόμεθα ὡς οὐκ ὑπάρξαντες·
Ὅτι καπνὸς ἡ πνοὴ ἐν ῥισὶν ἡμῶν,
Καὶ ὁ λόγος σπινθὴρ ἐν κινήσει καρδίας ἡμῶν·
3. Οὗ σβεσθέντος, τέφρα ἀποβήσεται τὸ σῶμα,
Καὶ τὸ πνεῦμα διαχυθήσεται ὡς χαῦνος αἰήρ·
4. Καὶ τὸ ὄνομα ἡμῶν ἐπιληθήσεται ἐν χρόνῳ,
Καὶ οὐθεὶς μνημονεύσει τῶν ἔργων ἡμῶν·
Καὶ παρελεύσεται ὁ βίος ἡμῶν ὡς ἴχνη νεφέλης,
Καὶ ὡς ὁμίχλη διασκεδασθήσεται
Διωχθεῖσα ὑπὸ ἀκτίνων ἡλίε,

ἀγγελεία

v. 6. stich. 4. γλώσσης αὐτοῦ) αὐτῦ deest. μὴν. v. 12. stich. 2. ἐν ἔργοις) ἔργοις. Οὐδὲ) οὔτε. ibid. ἐπὶ τῆς γῆς) ἐπὶ γῆς. v. 7. ἐπλήρωσε) πεπλήρωκε. v. 8. stich. 2. οὐδὲ μὴ) ἠδὲ v. 13. stich. 2. ἀγγελείᾳ) ἀπωλείᾳ. v. 14. stich. 4. CAP. II. v. 1. ἐν ἑαυτοῖς) ἐν abest.

Καὶ ὑπὸ θερμότητος αὐτῦ βαρυνθεῖσα.

5. Σκιᾶς γὰρ πάροδος ὁ βίος ἡμῶν,
Καὶ ἐκ ἔστιν ἀναποδισμὸς τῆς τελευτῆς ἡμῶν·
Ὅτι κατεσφραγίσθη, καὶ ἐδεὶς ἀναστρέφει.

6. Δεῦτε ἓν, ἀπολαύσωμεν τῶν ὄντων ἀγαθῶν,
Καὶ χρησώμεθα τῇ κλήσει ὡς νεότητος σπουδαίως·

7. Οἴνῳ πολυτελεῖ καὶ μύρων πληθῶμεν,
Καὶ μὴ παροδευσάτω ἡμᾶς
Ἄνθος ἔαρος·

8. Στεψώμεθα ῥόδων κάλυξι πρινὶ μαρανθῆναι·

9. Μηδεὶς ἡμῶν ἄμοιρος ἔστω τῆς ἡμετέρας ἀγερωχίας,
Πανταχῆ καταλίπωμεν σύμβολα τῆς εὐφροσύνης,
Ὅτι αὕτη ἡ μερὶς ἡμῶν καὶ ὁ κλῆρος ἡμῶν.

10. Καταδυναστεύσωμεν πένητα δίκαιον,
Μὴ φεισώμεθα χήρας,
Μηδὲ πρεσβυτέρου ἐντραπῶμεν πολιὰς πολυχρονίους·

11. Ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς νόμος τῆς δικαιοσύνης·
(Τὸ γὰρ ἀσθενὲς ἄχρηστον ἐλέγχεται·)

12. Ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι,
Καὶ ἐναντιῦται τοῖς ἔργοις ἡμῶν,
Καὶ ὀνειδίζει ἡμῖν ἁμαρτήματα νόμου,
Καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδίας ἡμῶν·

13. Ἐπαγγέλλεται γνῶσιν ἔχειν Θεοῦ,
Καὶ παῖδα Κυρίου ἑαυτὸν ὀνομάζει·

14. Ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν·
Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος,

15. Ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ,
Καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ·

16. Εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ,
Καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν ὡς ἀπὸ ἀκαθαρσιῶν·
Μακαρίζει ἔσχατα δικαίων,
Καὶ ἀλαζονεύεται πατέρα Θεόν.

17. Ἴδωμεν εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς,
Καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ.

18. Εἰ γάρ ἐστιν ὁ δίκαιος υἱὸς Θεοῦ, ἀντιλήψεται αὐτοῦ,
Καὶ ῥύσεται αὐτὸν ἐκ χειρὸς ἀνθεστηκότων·

19. Ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτὸν,
Ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ,
Καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ.

20. Θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτὸν,
Ἔσται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ.

21. Ταῦτα ἐλογίσαντο, καὶ ἐπλανήθησαν·
Ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν,

22. Καὶ ἐκ ἔγνωσαν μυστήρια Θεοῦ,
Οὐδὲ μισθὸν ἤλπισαν ὁσιότητος,
Οὐδὲ ἔκριναν γέρας ψυχῶν ἀμώμων.

23. Ὅτι

v. 6. Δεῦτε ἓν,) addit καὶ. ibid. ſtich. 2. νεότητος) νεότητι. v. 7. ſtich. 3. ἔαρος) ἄερος. v. 9. ſtich. 3. κλῆρος ἡμῶν) κλῆρος ἕτος. v. 10. ſtich. 3. πρεσβυτέρου) πρεσβύτου. v. 12. Ἐνεδρεύσωμεν) addit δὲ. ibid. ſtich. 4. παιδίας) παιδείας.

23. Ὅτι ὁ Θεὸς ἔκλισε τὸν ἄνθρωπον ἐπ' ἀφθαρσίᾳ,
Καὶ εἰκόνα τῆς ἰδίας ἀϊδιότητος ἐποίησεν αὐτόν.
ἰδιότητος
24. Φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον·
25. Πειράζουσι δὲ αὐτὸν οἱ τῆς ἐκείνου μερίδος ὄντες.

ΚΕΦ. Γ'. III.

Δικαίων δὲ ψυχαὶ ἐν χειρὶ Θεοῦ,
Καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. 2. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι,
Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν,
3. Καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα·
Οἱ δὲ εἰσιν ἐν εἰρήνῃ.
4. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν,
Ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης·
5. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται.
Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ·
6. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς,
Καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς.
7. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν,
Καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται·
8. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν,
Καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας.
9. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν,
Καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ·
Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ,
Καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις αὐτοῦ.
10. Οἱ δὲ ἀσεβεῖς καθὰ ἐλογίσαντο, ἔξουσιν ἐπιτιμίαν,
Οἱ ἀμελήσαντες τοῦ δικαίου, καὶ τοῦ Κυρίου ἀποστάντες.
11. Σοφίαν γὰρ καὶ παιδείαν ὁ ἐξουθενῶν ταλαίπωρος,
Καὶ κενὴ ἡ ἐλπὶς αὐτῶν, καὶ οἱ κόποι ἀνόνητοι,
Καὶ ἄχρηστα τὰ ἔργα αὐτῶν·
12. Αἱ γυναῖκες αὐτῶν ἄφρονες,
Καὶ πονηραὶ τὰ τέκνα αὐτῶν,
Ἐπικατάρατος ἡ γένεσις αὐτῶν.
13. Ὅτι μακαρία στεῖρα ἡ ἀμίαντος,
Ἥτις οὐκ ἔγνω κοίτην ἐν παραπτώματι·
Ἕξει καρπὸν ἐν ἐπισκοπῇ ψυχῶν ἁγίων·
αὐτῶν
14. Καὶ εὐνοῦχος ὁ μὴ ἐργασάμενος ἐν χειρὶ ἀνόμημα,
Μηδὲ ἐνθυμηθεὶς κατὰ τοῦ Κυρίου πονηρά,
Δοθήσεται γὰρ αὐτῷ τῆς πίστεως χάρις ἐκλεκτή,
Καὶ κλῆρος ἐν ναῷ Κυρίου θυμηδέστερος. θυμηρέστερος
15. Ἀγαθῶν γὰρ πόνων καρπὸς εὐκλεής,
Καὶ ἀδιάπλωτος ἡ ῥίζα τῆς φρονήσεως.
16. Τέκνα δὲ μοιχῶν ἀτέλεστα ἔσται,

CAP. III. v. 9. ſtich. 3. ἐν τοῖς ἐκλεκτοῖς) præpoſitio abeſt. ibid. ſtich. 4. deſideratur in *Edit. Rom.* v. 13. ſtich. 3. ψυχῶν αὐτῶν) αὐτῶν deeſt.

Καὶ ἐκ παρανόμου κοίτης σπέρμα ἀφανισθήσεται.

17. Ἐάν τε γὰρ μακρόβιοι γένωνται, εἰς ἀθὲν λογισθήσονται,
Καὶ ἄτιμον ἐπ' ἐσχάτων τὸ γῆρας αὐτῶν·

18. Ἐάν τε γὰρ ὀξέως τελευτήσωσιν, ἐκ ἔξουσιν ἐλπίδα,
Οὐδὲ ἐν ἡμέρᾳ διαγνώσεως παραμύθιον·

19. Γενεᾶς γὰρ ἀδίκου χαλεπὰ τὰ τέλη.

ΚΕΦ. Δ'. IV.

Κρείσσων ἀτεκνία μετὰ ἀρετῆς· Ἀθανασία γάρ ἐστιν ἐν μνήμῃ αὐτῆς, ὅτι καὶ παρὰ Θεῷ γινώσκεται καὶ παρὰ ἀνθρώποις·

2. Παροῦσάν τε τιμῶσιν αὐτὴν,
Καὶ ποθοῦσιν ἀπελθοῦσαν·
Καὶ ἐν τῷ αἰῶνι στεφανηφοροῦσα πομπεύει,
Τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασα.

3. Πολύγονον δὲ ἀσεβῶν πλῆθος οὐ χρησιμεύσει,
Καὶ ἐκ νόθων μοχευμάτων ἃ δώσει ῥίζαν εἰς βάθος,
Οὐδὲ ἀσφαλῆ βάσιν ἑδράσει·

4. Κἂν γὰρ ἐν κλάδοις πρὸς καιρὸν ἀναθάλῃ,
Ἐπισφαλῶς βεβηκότα ὑπὸ ἀνέμου σαλευθήσεται,
Καὶ ὑπὸ βίας ἀνέμων ἐκριζωθήσεται·

5. Περικλασθήσονται κλῶνες ἀτελέσταλοι,
Καὶ ὁ καρπὸς αὐτῶν ἄχρηστος, ἄωρος εἰς βρῶσιν
Καὶ εἰς ἀθὲν ἐπιτήδειος.

6. Ἐκ γὰρ ἀνόμων ὕπνων τέκνα γεννώμενα
Μάρτυρές εἰσιν πονηρίας κατὰ γονέων ἐν ἐξετασμῷ αὐτῶν·

7. Δίκαιος δὲ ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται.

8. Γῆρας γὰρ τίμιον ἃ τὸ πολυχρόνιον, Οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται·

9. Πολιαὶ δέ ἐσι φρόνησις ἀνθρώποις, Καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος.

10. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, Καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη·

11. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, Ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ.

12. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, Καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον.

13. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς·

14. Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, Διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας.
Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, Μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτο·

15. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς ὁσίοις αὐτοῦ, Καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις αὐτοῦ· ἐκλεκτοῖς

16. Κατακρινεῖ δὲ δίκαιος καμὼν τοὺς ζῶντας ἀσεβεῖς, θανὼν

Καὶ

v. 18. Ἐάν τε γὰρ) γὰρ abeſt. CAP. IV. v. 2. τιμῶσιν) τιμοῦνται. [v. 5. ἀτελέσταλοι) ἀτέλεστοι. v. 10. Θεῷ) τῷ Θεῷ. v. 15. ὁσίοις) ἐκλεκτοῖς. ibid. ſtich. 2. ἐκλεκτοῖς) ὁσίοις. v. 16. θανὼν) καμὼν.

νεότητος Καὶ νεότης τελεθεῖσα ταχέως πολυετὲς γῆρας ἀδίκου.

17. Ὄψονται γὰρ τελευτὴν σοφῦ,
Καὶ ὃ νοήσουσι τί ἐβεβουλεύσατο περὶ αὐτοῦ,
Καὶ εἰς τί ἠσφαλίσατο αὐτὸν ὁ Κύριος·

18. Ὄψονται καὶ ἐξουθενήσουσιν αὐτὸν,
Αὐτὸς δὲ ὁ Κύριος ἐκγελάσεται.

19. Καὶ ἔσονται μετὰ τοῦτο εἰς πτῶμα ἄτιμον,
Καὶ εἰς ὕβριν ἐν νεκροῖς αἰῶνος·
Ὅτι ῥήξει αὐτοὺς ἀφώνους πρηνεῖς,
καὶ σαλεύσει αὐτοὺς ἐκ θεμελίων,
Καὶ ἕως ἐχάτων χερσωθήσονται·
Καὶ ἔσονται ἐν ὀδύνῃ,
Καὶ ἡ μνήμη αὐτῶν ἀπολεῖται·

20. Ἐλεύσονται ἐν συλλογισμῷ ἁμαρτημάτων αὐτῶν δειλοὶ,
Καὶ ἐλέγξει αὐτοὺς ἐξεναντίας τὰ ἀνομήματα αὐτῶν.

ΚΕΦ. Ε'. V.

ΤΟτε στήσεται ἐν παῤῥησίᾳ πολλῇ ὁ δίκαιος
Κατὰ πρόσωπον τῶν θλιψάντων αὐτὸν,
Καὶ τῶν ἀθετούντων τοὺς πόνους αὐτοῦ.

2. Ἰδόντες δὲ ταραχθήσονται φόβῳ δεινῷ,
Καὶ ἐκστήσονται ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας αὐτοῦ.

3. Καὶ ἐροῦσιν ἐν ἑαυτοῖς μετανοοῦντες, καὶ διὰ στενοχωρίαν πνεύματος στενάζοντες (καὶ ἐροῦσιν)·

στενάζονται

Οὗτος ἦν ὃν ἔσχομέν ποτε εἰς γέλωτα
Καὶ εἰς παραβολὴν ὀνειδισμοῦ· 4. οἱ ἄφρονες
Τὸν βίον αὐτοῦ ἐλογισάμεθα μανίαν,
Καὶ τὴν τελευτὴν αὐτοῦ ἄτιμον·

5. Πῶς κατελογίσθη ἐν υἱοῖς Θεοῦ,
Καὶ ἐν ἁγίοις ὁ κλῆρος αὐτοῦ ἐστιν;

6. Ἄρα ἐπλανήθημεν ἀπὸ ὁδοῦ ἀληθείας,
Καὶ τὸ τῆς δικαιοσύνης φῶς ἐκ ἔλαμψεν (ἐν) ἡμῖν,
Καὶ ὁ ἥλιος ἐκ ἀνέτειλεν ἡμῖν.

7. Ἀνομίας ἐνεπλήσθημεν τρίβοις καὶ ἀπωλείας,
Καὶ ὡδεύσαμεν ἐρήμους ὁδοὺς,
Τὴν δὲ ὁδὸν Κυρίου ἐκ ἔγνωμεν.

8. Τί ὠφέλησεν ἡμᾶς ἡ ὑπερηφανία;
Ἢ τί πλοῦτος μετὰ ἀλαζονείας συμβέβληται ἡμῖν;

9. Παρῆλθεν ἐκεῖνα πάντα ὡς σκιὰ,
Καὶ ὡς ἀγγελία παρατρέχουσα·

10. Καὶ ὡς ναῦς διερχομένη κυμαινόμενον ὕδωρ,
Ἧς διαβάσης οὐκ ἔστιν ἴχνος εὑρεῖν,
Οὐδὲ ἀτραπὸν τρόπεως αὐτῆς ἐν κύμασιν·

11. Ἢ ὡς ὀρνέου διαπτάντος ἀέρος
Οὐ γνωσθὲν εὑρίσκεται τεκμήριον πορείας,
Πληγῇ δὲ ταρσῶν μαστιζόμενον πνεῦμα κοῦφον
Καὶ σχιζόμενον βίᾳ ῥοίζου,
Κινουμένων πτερύγων διωδεύθη,
Καὶ μετὰ τοῦτο οὐχ εὑρέθη σημεῖον ἐπιβάσεως ἐν αὐτῷ·

12. Ἢ

v. 16. ſtich. 2. νεότητος) νεότης. **v.** 19. ſtich. 2. αἰῶνος) δι' αἰῶνος. ibid. ſtich. 4. ἐχάτων) ἐχάτου. CAP. V. v. 3. Καὶ ἐροῦσιν ἐν ἑαυτοῖς) ἐροῦσιν ἑαυτοῖς. ibid. στενάζονται) στενάζοντες. ibid. (καὶ ἐροῦσιν) deeſt. **v.** 6. ſtich. 2. (ἐν) abeſt. **v.** 7. ſtich. 2. ὡδεύσαμεν) διωδεύσαμεν. **v.** 8. ſtich. 2. Ἢ τί) καὶ τί. **v.** 10. ſtich. 3. τρόπεως) τρόπιος. **v.** 11. διαπτάντος) διπτάντος.

12. Ἢ ὡς βέλος βληθέντος ἐπὶ σκοπὸν,
Τμηθεὶς ὁ ἀὴρ εὐθέως εἰς ἑαυτὸν
ἀνελύθη,
Ὡς ἀγνοῆσαι τὴν ὁδὸν αὐτοῦ·
13. Οὕτως καὶ ἡμεῖς γεννηθέντες ἐξελείπομεν,
Καὶ ἀρετῆς μὲν σημεῖον οὐδὲν ἔχομεν
δεῖξαι,
14. Ἐν δὲ τῇ κακίᾳ ἡμῶν κατεδαπανήθημεν.
15. Ὅτι ἐλπὶς ἀσεβοῦς ὡς φερόμενος
χνοῦς ὑπὸ ἀνέμου,
Καὶ ὡς πάχνη ὑπὸ λαίλαπος διωχθεῖσα λεπτὴ,
Καὶ ὡς καπνὸς ὑπὸ ἀνέμου διεχύθη,
Καὶ ὡς μνεία καταλύτου μονοημέρου
παρώδευσε.
16. Δίκαιοι δὲ εἰς τὸν αἰῶνα ζῶσι,
Καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν,
Καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ·
17. Διὰ τοῦτο λήψονται τὸ βασίλειον
τῆς εὐπρεπείας,
Καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς
Κυρίου·
Ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς,
Καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν.
18. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ,
Καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν·
19. Ἐνδύσεται θώρακα δικαιοσύνην,
Καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον·
20. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα,
21. Ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν.
Συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας·
22. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν,
Καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἀλοῦνται·
23. Καὶ ἐκ πετροβόλου θυμοῦ πληρεῖς ῥιφήσονται χάλαζαι·
Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης,
Ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· συνκλύσουσιν
24. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως,
Καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς·
Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία,
Καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυνατῶν.

ΚΕΦ. ς'. VI.

Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε,
Μάθετε δικασταὶ περάτων γῆς·
2. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους
Καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν.
3. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν,
Καὶ ἡ δυναστεία παρὰ ὑψίστου,
4. Ὃς ἐξετάσει ὑμῶν τὰ ἔργα, καὶ τὰς βουλὰς διερευνήσει·
5. Ὅτι ὑπηρέται ὄντες τῆς αὐτοῦ βασιλείας, οὐκ ἐκρίνατε ὀρθῶς,
Οὐδὲ ἐφυλάξατε νόμον,
Οὐδὲ κατὰ τὴν βουλὴν τοῦ Θεοῦ ἐπορεύθητε.
6. Φρι-

v. 15. χνοῦς) χοῦς. v. 21. stich. 2. συνεκπολεμήσει) addit δὲ. v. 23. stich. 3. συνκλύσουσιν) συγκλύσουσιν. CAP. VI. v. 3. παρὰ Κυρίου) παρὰ τοῦ κυρίου.

6. Φρικτῶς καὶ ταχέως ἐπισήσεται ὑμῖν·
ὅτι κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσι γίνεται.
7. Ὁ γὰρ ἐλάχιστος συγγνωστός ἐστιν ἐλέῳ·
Δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται.
8. Οὐ γὰρ ὑποστελεῖται πρόσωπον ὁ πάντων δεσπότης,
Οὐδὲ ἐντραπήσεται μέγεθος·
Ὅτι μικρὸν καὶ μέγαν αὐτὸς ἐποίησεν,
Ὁμοίως τε προνοεῖ περὶ πάντων·
9. Τοῖς δὲ κραταιοῖς ἰσχυρὰ ἐφίσταται ἔρευνα.
10. Πρὸς ὑμᾶς οὖν ὦ τύραννοι οἱ λόγοι μου,
Ἵνα μάθητε σοφίαν καὶ μὴ παραπέσητε.
11. Οἱ γὰρ φυλάξαντες ὁσίως τὰ ὅσια,
ὁσιωθήσονται·
Καὶ οἱ διδαχθέντες αὐτὰ, εὑρήσουσιν ἀπολογίαν.
12. Ἐπιθυμήσατε οὖν τῶν λόγων μου·
Ποθήσατε, καὶ παιδευθήσεσθε.
13. Λαμπρὰ καὶ ἀμάραντός ἐστιν ἡ σοφία,
Καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτὴν,
Καὶ εὑρίσκεται ὑπὸ τῶν ζητούντων αὐτήν·
14. Φθάνει τοὺς ἐπιθυμοῦντας προγνωσθῆναι.
15. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει·
Πάρεδρον γὰρ εὑρήσει τῶν πυλῶν αὐτοῦ.
16. Τὸ γὰρ ἐνθυμηθῆναι περὶ αὐτῆς, φρονήσεως τελειότης,
Καὶ ὁ ἀγρυπνήσας δι' αὐτὴν ταχέως ἀμέριμνος ἔσται·
17. Ὅτι τοὺς ἀξίους αὐτῆς αὕτη περιέρχεται ζητοῦσα,
Καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς,
Καὶ ἐν πάσῃ ἐπινοίᾳ ἀπαντᾷ αὐτοῖς.
18. Ἀρχὴ γὰρ αὐτῆς ἡ ἀληθεστάτη παιδείας ἐπιθυμία,
19. Φροντὶς δὲ παιδείας ἀγάπη,
Ἀγάπη δὲ τήρησις νόμων αὐτῆς,
Προσοχὴ δὲ νόμων βεβαίωσις ἀφθαρσίας,
20. Ἀφθαρσία δὲ ἐγγὺς εἶναι ποιεῖ θεοῦ·
21. Ἐπιθυμία ἄρα σοφίας ἀνάγει ἐπὶ βασιλείαν.
22. Εἰ οὖν ἥδεσθε ἐπὶ θρόνοις καὶ σκήπτροις τύραννοι λαῶν,
23. Τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε.
24. Τί δέ ἐστι σοφία καὶ πῶς ἐγένετο, ἀπαγγελῶ,
Καὶ ἐκ ἀποκρύψω ὑμῖν μυστήρια,
Ἀλλὰ ἀπ' ἀρχῆς γενέσεως ἐξιχνιάσω,
Καὶ θήσω εἰς τὸ ἐμφανὲς τὴν γνῶσιν αὐτῆς,
Καὶ ὐ μὴ παροδεύσω τὴν ἀλήθειαν·
25. Οὔτε μὴν φθόνῳ τηκόμενος συνοδεύσω,
Ὅτι ἔτος ὐ κοινωνεῖ σοφίᾳ.
26. Πλῆθος δὲ σοφῶν σωτηρία κόσμου,
Καὶ βασιλεὺς φρόνιμος εὐσταθεία δήμου·
27. Ὥστε παιδεύεσθε τοῖς ῥήμασί μου,
καὶ ὠφεληθήσεσθε.

V. 7. ἐλέῳ) ἐλέει. V. 15. πρὸς αὐτὴν) ἐπ' αὐτὴν. κοινωνεῖ) κοινωνήσει.
V. 7. stich. 3. ἀπαντᾷ) ὑπαντᾷ. V 25. stich. 2.

ΚΕΦ. Ζ'. VII.

Εἰμὶ μὲν κἀγὼ θνητὸς ἄνθρωπος, ἴσος ἅπασιν,
Καὶ γηγενοῦς ἀπόγονος πρωτοπλάστου·
Καὶ ἐν κοιλίᾳ μητρὸς ἐγλύφην σαρξ,
2. Δεκαμηνιαίῳ χρόνῳ παγεὶς ἐν αἵματι,
Ἐκ σπέρματος ἀνδρὸς καὶ ἡδονῆς ὕπνῳ συνελθούσης·
3. Καὶ ἐγὼ δὲ γενόμενος ἕσπασα τὸν κοινὸν ἀέρα,
Καὶ ἐπὶ τὴν ὁμοιοπαθῆ κατέπεσον γῆν, πρώτην φωνὴν τὴν ὁμοίαν πᾶσιν ἦκα κλαίων·
ἴσα
ἀνεσράφην 4. Ἐν σπαργάνοις ἀνετράφην καὶ φροντίσιν·
5. Οὐδεὶς γὰρ βασιλέων ἑτέραν ἔσχεν γενέσεως ἀρχήν,
6. Μία δὲ πάντων εἴσοδος εἰς τὸν βίον, ἔξοδός τε ἴση.
7. Διὰ τοῦτο ἠυξάμην, καὶ φρόνησις ἐδόθη μοι·
Ἐπεκαλεσάμην, καὶ ἦλθέ μοι πνεῦμα σοφίας.
8. Προέκρινα αὐτὴν σκήπτρων καὶ θρόνων, καὶ πλοῦτον ἐδὲν ἡγησάμην ἐν συγκρίσει αὐτῆς·
αὐτὴν 9. Οὐδὲ ὁμοίωσα αὐτῇ λίθον ἀτίμητον,
Ὅτι ὁ πᾶς χρυσὸς ἐν ὄψει αὐτῆς ψάμμος ὀλίγη,
Καὶ ὡς πηλὸς λογισθήσεται ἄργυρος ἐναντίον αὐτῆς·
10. Ὑπὲρ ὑγίειαν καὶ εὐμορφίαν ἠγάπησα αὐτὴν,
Καὶ προειλάμην αὐτὴν ἀντὶ φωτὸς ἔχειν,
Ὅτι ἀκοίμητον τὸ ἐκ ταύτης φέγγος.
11. Ἦλθε δέ μοι τὰ ἀγαθὰ ὁμοῦ πάντα μετ' αὐτῆς,
Καὶ ἀναρίθμητος πλοῦτος ἐν χερσὶν αὐτῆς·
12. Ἠυφράνθην δὲ ἐπὶ πᾶσιν, ὅτι αὐτῶν ἡγεῖται σοφία·
Ἠγνόουν δὲ αὐτὴν γενέτιν εἶναι τέτων.
13. Ἀδόλως τε ἔμαθον, ἀφθόνως τε μεταδίδωμι,
Τὸν πλοῦτον αὐτῆς οὐκ ἀποκρύπτομαι·
14. Ἀνεκλιπὴς γὰρ θησαυρός ἐσιν ἀνθρώποις,
Ὃν οἱ κλησάμενοι πρὸς Θεὸν ἐσείλαντο φιλίαν,
Διὰ τὰς ἐκ παιδείας δωρεὰς συσαθέντες.
15. Ἐμοὶ δὲ δῴη ὁ Θεὸς εἰπεῖν κατὰ γνώμην,
Καὶ ἐνθυμηθῆναι ἀξίως τῶν λεγομένων·
Ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐσι,
Καὶ τῶν σοφῶν διορθωτής.
16. Ἐν γὰρ χειρὶ αὐτοῦ καὶ ἡμεῖς καὶ οἱ λόγοι ἡμῶν,
Πᾶσά τε φρόνησις καὶ ἐργατειῶν ἐπιςήμη.
17. Αὐτὸς γάρ μοι ἔδωκε τῶν ὄντων γνῶσιν ἀψευδῆ,
Εἰδέναι σύσασιν κόσμου καὶ ἐνέργειαν στοιχείων,

18. Ἀρ-

CAP. VII. v. 4. ἀνεσράφην καὶ φρ.) ἀνετράφην καὶ ἐν φροντίσιν. v. 5. βασιλέων) βασιλευς. v. 9. ὁμοίωσα αὐτὴν) ὁμοίωσα αὐτῇ. v. 10. ſtich. 2. προειλάμην) προειλόμην. v. 12. Ἠυφράνθην δὲ ἐπὶ πᾶσιν) εὐφράνθην δὲ ἐπὶ πάντων. v. 14. ſtich. 2. κλησάμενοι) χρησάμενοι. v. 15. ſtich. 2. λεγομένων) δεδομένων.

18. Ἀρχὴν καὶ τέλος καὶ μεσότητα χρόνων,
Τροπῶν ἀλλαγὰς καὶ μεταβολὰς καιρῶν,
19. Ἐνιαυτῶν κύκλους, καὶ ἀστέρων θέσεις,
20. Φύσεις ζώων καὶ θυμὸς θηρίων,
Πνευμάτων βίας, καὶ διαλογισμὸς ἀνθρώπων,
Διαφορὰς φυτῶν καὶ δυνάμεις ῥιζῶν.
ἐμφανῆ 21. Ὅσατε ἔστι κρυπτὰ καὶ ἀφανῆ ἔγνων·
Ἡ γὰρ πάντων τεχνίτις ἐδίδαξέ με σοφία.
22. Ἔστι γὰρ αὐτὴ πνεῦμα νοερὸν, ἅγιον,
Μονογενὲς, πολυμερὲς, λεπτὸν,
Εὐκίνητον, τρανὸν, ἀμόλυντον,
Σαφὲς, ἀπήμαντον, φιλάγαθον, ὀξὺ,
Ἀκώλυτον, εὐεργετικὸν, 23. φιλάνθρωπον,
Βέβαιον, ἀσφαλὲς, ἀμέριμνον, παντοδύναμον, παντεπίσκοπον,
Καὶ διὰ πάντων χωροῦν πνευμάτων
Νοερῶν, καθαρῶν, λεπτοτάτων.
24. Πάσης γὰρ κινήσεως κινητικώτερον σοφία·
Διήκει δὲ καὶ χωρεῖ διὰ πάντων διὰ τὴν καθαρότητα.
25. Ἀτμὶς γάρ ἐστι τῆς τοῦ Θεοῦ δυνάμεως,
Καὶ ἀπόῤῥοια τῆς τοῦ παντοκράτορος δόξης εἰλικρινής·
εἰλικρινείας Διὰ τοῦτο οὐδὲν μεμιαμμένον εἰς αὐτὴν παρεμπίπτει.
26. Ἀπαύγασμα γάρ ἐστι φωτὸς ἀϊδίου,
Καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ Θεοῦ ἐνεργείας,
Καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ.
27. Μία δὲ οὖσα πάντα δύναται,
Καὶ μένουσα ἐν ἑαυτῇ πάντα καινίζει,
Καὶ κατὰ γενεὰς εἰς ψυχὰς ὁσίας μεταβαίνουσα,
Φίλους Θεοῦ καὶ προφήτας κατασκευάζει·
28. Οὐδένα γὰρ ὁ Θεὸς ἀγαπᾷ, εἰ μὴ ὃς ἐδέξατο τὸν σοφίᾳ συνοικοῦντα.
29. Ἔστι γὰρ αὕτη εὐπρεπεστέρα ἡλίου,
Καὶ ὑπὲρ πᾶσαν ἀστέρων θέσιν
Φωτὶ συγκρινομένη εὑρίσκεται προτέρα·
30. Τοῦτο μὲν γὰρ διαδέχεται νὺξ,
Σοφίαν δὲ οὐ κατισχύει κακία.

ΚΕΦ. Η'. VIII.

Διατείνει δὲ ἀπὸ πέρατος ἐπὶ πέρας εὐρώστως,
Καὶ διοικεῖται τὰ πάντα χρηστῶς.
2. Ταύτην ἐφίλησα καὶ ἐξεζήτησα ἐκ νεότητός μου,
Καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ,
Καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς.
3. Εὐγένειαν δοξάζει συμβίωσιν Θεοῦ ἔχουσα,
Καὶ ὁ πάντων δεσπότης ἠγάπησεν αὐτήν·

v. 19. Ἐνιαυτῶν) ἐνιαυτοῦ. v. 22. Ἔστι γὰρ αὐτὴ) ἔστι γὰρ ἐν αὐτῇ. v. 23. ſtich. 2. παντεπίσκοπον) πανεπίσκοπον. v. 25. ſtich. 2. εἰλικρινείας) εἰλικρινὴς. v. 27. ſtich. 2. ἐν ἑαυτῇ πάντα) ἐν αὐτῇ τὰ πάντα. v. 28. ἐδὲν γὰρ ὁ Θεὸς ἀγαπᾷ) οὐδὲν γὰρ ἀγαπᾷ ὁ Θεὸς. v. 29. ſtich. 2. ἀστέρων) ὕστερον. v. 30. ſtich. 2. in *Rom.* σοφίας δὲ οὐκ ἀντισχύει κακία. CAP. VIII. v. 1. ἐπὶ πέρας) εἰς πέρας. ibid. ſtich. 2. διοικεῖται) διοικεῖ.

4. Μύσις γάρ ἐσι τῆς τῦ Θεῦ ἐπισήμης,
αἱρετὶς Καὶ εὑρετὶς τῶν ἔργων αὐτῦ.
5. Εἰ δὲ πλῦτός ἐσιν ἐπιθυμητὸν κλῆμα ἐν βίῳ,
Τί σοφίας πλυσιώτερον τῆς τὰ πάντα ἐργαζομένης;
ἐργάζεται 6. Εἰ δὲ φρόνησις ἐράζεται,
Τίς αὐτῆς τῶν ὄντων μᾶλλόν ἐσι τεχνίτης;
7. Καὶ εἰ δικαιοσύνην ἀγαπᾷ τις,
Οἱ πόνοι ταύτης εἰσὶν ἀρεταί·
Σωφροσύνην γὰρ καὶ φρόνησιν ἐκδιδάσκει,
Δικαιοσύνην καὶ ἀνδρίαν,
Ὧν χρησιμώτερον ὐδέν ἐσιν ἐν βίῳ ἀνθρώποις.
πολύπειραν 8. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις,
Οἶδε τὰ ἀρχαῖα, καὶ τὰ μέλλοντα εἰκάζει·
Ἐπίσαται τροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων,
Σημεῖα καὶ τέρατα προγινώσκει
Καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων.
9. Ἔκρινα τοίνυν ἀγαγέσθαι ταύτην ἐμαυτῷ πρὸς συμβίωσιν,
Εἰδὼς ὅτι ἔσαι μοι σύμβελος ἀγαθῶν,
Καὶ παραίνεσις φροντίδων καὶ λύπης.
10. Ἕξω δι' αὐτὴν δόξαν ἐν ὄχλοις,
Καὶ τιμὴν παρὰ πρεσβυτέροις ὁ νέος·
11. Ὀξὺς εὑρεθήσομαι ἐν κρίσει,
Καὶ ἐν ὄψει δυναςῶν θαυμασθήσομαι·
12. Σιγῶντά με περιμενοῦσιν, καὶ φθεγγομένῳ προσέξουσι,
Καὶ λαλοῦντος ἐπιπλεῖον, χεῖρα ἐπιθήσουσιν ἐπὶ σόμα αὐτῶν.
13. Ἕξω δι' αὐτὴν ἀθανασίαν,
Καὶ μνήμην αἰώνιον τοῖς μετ' ἐμὲ ἀπολείψω.
14. Διοικήσω λαοὺς, καὶ ἔθνη ὑποταγήσεταί μοι·
15. Φοβηθήσονταί με ἀκούσαντες τύραννοι φρικτοί·
Ἐν πλήθει φανῶμαι ἀγαθὸς,
Καὶ ἐν πολέμῳ ἀνδρεῖος·
16. Εἰσελθὼν εἰς τὸν οἶκόν μου προσαναπαύσομαι αὐτῇ·
Οὐ γὰρ ἔχει πικρίαν ἡ συναναστροφὴ αὐτῆς,
Οὐδὲ ὀδύνην ἡ συμβίωσις αὐτῆς,
Ἀλλὰ εὐφροσύνην καὶ χαράν.
17. Ταῦτα λογισάμενος ἐν ἐμαυτῷ,
Καὶ φροντίσας ἐν καρδίᾳ μου,
Ὅτι ἀθανασία ἐσὶν ἐν συγγενείᾳ σοφίας, 18. καὶ ἐν φιλίᾳ αὐτῆς τέρψις ἀγαθὴ,
Καὶ ἐν πόνοις χειρῶν αὐτῆς πλοῦτος ἀνεκλιπὴς,
Καὶ ἐν συγγυμνασίᾳ ὁμιλίας αὐτῆς φρόνησις,
Καὶ εὐκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς,
Περιήειν ζητῶν ὅπως λάβω αὐτὴν εἰς ἐμαυτόν.
19. Παῖς δὲ ἤμην εὐφυὴς,
Ψυχῆς τε ἔλαχον ἀγαθῆς·
20. Μᾶλλον δὲ ἀγαθὸς ὢν, ἦλθον εἰς σῶμα ἀμίαντον.
21. Γνοὺς δὲ ὅτι ἐκ ἄλλως ἔσομαι ἐγκρατὴς, ἐὰν μὴ ὁ Θεὸς δῷ,
(Καὶ τοῦτο δ' ἦν φρονήσεως τὸ εἰδέναι τίνος ἡ χάρις,
Ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ,
Καὶ εἶπον ἐξ ὅλης τῆς καρδίας μου·

ΚΕΦ.

v. 8. πολύπειραν) πολυπειρίαν. ibid. ſtich. 2. εἰκάζει) εἰκάζειν. v. 9. ἀγαγέσθαι ταύτην) transpoſita. v. 17. ſtich. 3. ἀθανασία ἐσὶν) transpoſita. v. 21. ſtich. 2. τίνος χάρις) τίνος ἡ χάρις.

ΚΕΦ. Θ'. IX.

ΘΕὲ πατέρων καὶ κύριε τῦ ἐλέες σε,
Ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σε,
2. Καὶ τῇ σοφίᾳ σε κατασκευάσας ἄνθρωπον,
Ἵνα δεσπόζῃ τῶν ὑπὸ σῦ γενομένων κλισμάτων,
3. Καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ,
Καὶ ἐν εὐθύτητι ψυχῆς κρίσιν κρίνῃ·
4. Δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν,
Καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σε·
5. Ὅτι ἐγὼ δῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σε,
Ἄνθρωπος ἀσθενὴς καὶ ὀλιγοχρόνιος,
Καὶ ἐλάσσων ἐν συνέσει κρίσεως καὶ νόμων·
6. Κἂν γάρ τις ᾖ τέλειος ἐν υἱοῖς ἀνθρώπων,
Τῆς ἀπὸ σῦ σοφίας ἀπέσης, εἰς ἀθὲν λογισθήσεται.
7. Σύ με προείλω βασιλέα λαῦ σε,
Καὶ δικασὴν υἱῶν σε καὶ θυγατέρων σε·
8. Εἶπας οἰκοδομῆσαι ναὸν ἐν ὄρει ἁγίῳ σε,
καὶ ἐν πόλει κατασκηνώσεώς σε θυσιασήριον,
Μίμημα σκηνῆς ἁγίας ἣν προητοίμασας ἀπ' ἀρχῆς,
9. Καὶ μετὰ σῦ ἡ σοφία ἡ εἰδῦια τὰ ἔργα σε,
Καὶ παρῦσα ὅτε ἐποίεις τὸν κόσμον,
Καὶ ἐπισαμένη τί ἀρεσὸν ἐν ὀφθαλμοῖς σε,
Καὶ τί εὐθὲς ἐν ἐντολαῖς σε·
10. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίων οὐρανῶν,
Καὶ ἀπὸ θρόνε δόξης σε πέμψον αὐτὴν,
Ἵνα συμπαρῦσά μοι κοπιάσῃ,
Καὶ γνῶ τί εὐάρεστόν ἐστι παρὰ σοί.
11. Οἶδε γὰρ ἐκείνη πάντα καὶ συνιεῖ,
Καὶ ὁδηγήσει με ἐν ταῖς πράξεσί με σωφρόνως,
Καὶ φυλάξει με ἐν τῇ δόξῃ αὐτῆς·
12. Καὶ ἔσαι προσδεκτὰ τὰ ἔργα με,
Καὶ διακρινῶ τὸν λαόν σε δικαίως,
Καὶ ἔσομαι ἄξιος θρόνων πατρός με.
13. Τίς γὰρ ἄνθρωπος γνώσεται βελὴν Θεῦ;
Ἢ τίς ἐνθυμηθήσεται τί θέλει ὁ Κύριος;
14. Λογισμοὶ γὰρ θνητῶν δειλοὶ,
Καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι ἡμῶν·
15. Φθαρτὸν γὰρ σῶμα βαρύνει ψυχὴν,
Καὶ βρίθει τὸ γεῶδες σκῆνος νῦν πολυφροντίδα.
16. Καὶ μόγις εἰκάζομεν τὰ ἐπὶ γῆς,
Καὶ τὰ ἐν χερσὶν εὑρίσκομεν μετὰ πόνε·
Τὰ δὲ ἐν οὐρανοῖς τίς ἐξιχνίασε;
17. Βελὴν δέ σε τίς ἔγνω, εἰ μὴ σὺ ἔδωκας σοφίαν,
Καὶ ἔπεμψας τὸ ἅγιόν σε πνεῦμα ἀπὸ ὑψίσων;
18. Καὶ ἔτως διωρθώθησαν αἱ τρίβοι τῶν ἐπὶ γῆς,

CAP. IX. v. 2. κατασκευάσας) κατεσκεύασας. v. 6. stich. 2. ἐθὲν) ἐδὲν. v. 8 stich. 2. κατασκηνέσεως) κατασκηνώσεως. v. 16. μόγις) μόλις.

Καὶ τὰ ἀρεσά σε ἐδιδάχθησαν ἄνθρωποι,
19. Καὶ τῇ σοφίᾳ ἐσώθησαν.

ΚΕΦ. Ι'. Χ.

Αὕτη πρωλόπλασον πλάσμα κόσμου
Μόνον κλισθέντα διεφύλαξε,
Καὶ ἐξείλατο αὐτὸν ἐκ παραπτώματος ἰδίου·
2. Ἔδωκέ τε αὐτῷ ἰσχὺν κρατῆσαι πάντων.
3. Ἀποσὰς δὲ ἀπ' αὐτῆς ἄδικος ἐν ὀργῇ αὐτοῦ,
Ἀδελφοκτόνοις συναπώλετο θυμοῖς·
4. Δι' ὃν κατακλυζομένην γῆν πάλιν ἔσωσε σοφία,
Δι' εὐτελοῦς ξύλου τὸν δίκαιον κυβερνήσασα.
5. Αὕτη καὶ ἐν ὁμονοίᾳ πονηρίας ἐθνῶν συγχυθέντων,
Ἔγνω τὸν δίκαιον, καὶ ἐτήρησεν αὐτὸν ἄμεμπτον θεῷ,
Καὶ ἐπὶ τέκνου σπλάγχνοις ἰσχυρὸν ἐφύλαξεν.
6. Αὕτη δικαίων, ἐξαπολλυμένων ἀσεβῶν, ἐρρύσατο
Φυγόντα καταβάσιον πυρὸς Πενταπόλεως·
7. Ἧς ἔτι μαρτύριον τῆς πονηρίας
Καπνιζομένη καθέστηκε χέρσος,
Καὶ ἀτελέσιν ὥραις καρποφοροῦντα φυτὰ,
Καὶ ἀπιστούσης ψυχῆς μνημεῖον ἑστηκυῖα στήλη ἁλός.
8. Σοφίαν γὰρ παροδεύσαντες οὐ μόνον ἐβλάβησαν τοῦ μὴ γνῶναι τὰ καλὰ,
Ἀλλὰ καὶ τῆς ἑαυτῶν ἀφροσύνης ἀπέλιπον τῷ βίῳ μνημόσυνον,
Ἵνα ἐν οἷς ἐσφάλησαν, μηδὲ λαθεῖν δυνηθῶσι.
9. Σοφία δὲ τοὺς θεραπεύοντας αὐτὴν ἐκ πόνων ἐρρύσατο.
10. Αὕτη φυγάδα ὀργῆς ἀδελφοῦ δίκαιον
Ὡδήγησεν ἐν τρίβοις εὐθείαις,
Ἔδειξεν αὐτῷ βασιλείαν θεοῦ,
Καὶ ἔδωκεν αὐτῷ γνῶσιν ἁγίων·
Ἠπόρησεν αὐτὸν ἐν μόχθοις, εὐπόρησεν
Καὶ ἐπλήθυνεν τοὺς *πόνους αὐτοῦ·
11. Ἐν πλεονεξίᾳ κατισχυόντων αὐτὸν *κόπους παρέσῃ,
Καὶ ἐπλούτισεν αὐτόν·
12. Διεφύλαξεν αὐτὸν ἀπὸ ἐχθρῶν,
Καὶ ἀπὸ ἐνεδρευόντων ἠσφαλίσατο,
Καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτῷ,
Ἵνα γνῷ, ὅτι παντὸς δυνατωτέρα ἐστὶν ἡ εὐσέβεια.
13. Αὕτη πραθέντα δίκαιον οὐκ ἐγκατέλειπεν,
Ἀλλὰ ἐξ ἁμαρτίας ἐρρύσατο αὐτόν·
14. Συγκατέβη αὐτῷ εἰς λάκκον,
Καὶ ἐν δεσμοῖς οὐκ ἀφῆκεν αὐτὸν,
Ἕως ἤνεγκεν αὐτῷ σκῆπτρα βασιλείας
Καὶ ἐξουσίαν τυραννούντων αὐτοῦ·
Ψευδεῖς τε ἔδειξεν τοὺς μωμησαμένους αὐτὸν,
Καὶ ἔδωκεν αὐτῷ δόξαν αἰώνιον.
15. Αὕτη

CAP. X. v. 2. πάντων) ἁπάντων. v. 4. ἔσωσε) διέσωσε. v. 5. ſtich. 2. Ἔγνω τὸν) εὗρε τὸν. v. 6. ſtich. 2. καταβάσιον πυρὸς) transpoſita. v. 7. Ἧς ἔτι μαρτ.) οἷς ἐπὶ μαρτύριον. v. 9. θεραπεύοντας) θεραπεύσαντας. v. 10. ſtich. 6. κόπους) πόνους. v. 12. ſtich. 4. ἡ εὐσέβεια) absque articulo.

15. Αὕτη λαὸν ὅσιον καὶ σπέρμα ἄμεμπτον
Ἐρύσατο ἐξ ἔθνες θλιβόντων·
16. Εἰσῆλθεν εἰς ψυχὴν θεράποντος Κυρίε,
Καὶ ἀντέστη βασιλεῦσι φοβεροῖς ἐν τέρασι καὶ σημείοις.
μισθὸν ὁσίοις 17. Ἀπέδωκεν ὁσίοις μισθὸν κόπων αὐτῶν·
Ὡδήγησεν αὐτὲς ἐν ὁδῷ θαυμαστῇ,
Καὶ ἐγένετο αὐτοῖς εἰς σκέπην ἡμέρας,
Καὶ εἰς φλόγα ἄστρων τὴν νύκτα.
18. Διεβίβασεν αὐτὲς θάλασσαν ἐρυθρὰν,
Καὶ διήγαγεν αὐτὲς διὰ ὕδατος πολλῦ·
κατέκλυσαν 19. Τὲς δὲ ἐχθρὲς αὐτῶν κατέκλυσεν,
Καὶ ἐκ βάθες ἀβύσσου ἀνέβρασεν αὐτές.
20. Διὰ τῦτο δίκαιοι ἐσκύλευσαν ἀσεβεῖς,
Καὶ ὕμνησαν Κύριε τὸ ὄνομα τὸ ἅγιόν σε,
Τήν τε ὑπέρμαχόν σε χεῖρα ἤνεσαν ὁμοθυμαδόν·
21. Ὅτι ἡ σοφία ἤνοιξε στόμα κωφῶν,
Καὶ γλώσσας νηπίων ἔθηκεν τρανάς.

ΚΕΦ. ΙΑ'. XI.

αὐτῦ προφητῶν ἁγίων
Εὐώδωσε τὰ ἔργα αὐτῶν ἐν χειρὶ προφήτε ἁγίε·
2. Διώδευσαν ἔρημον ἀοίκητον,
Καὶ ἐν ἀβάτοις ἔπηξαν σκηνάς·
3. Ἀντέστησαν πολεμίοις, καὶ ἐχθρὲς ἠμύναντο.
4. Ἐδίψησαν καὶ ἐπεκαλέσαντό σε,
Καὶ ἐδόθη αὐτοῖς ἐκ πέτρας ἀκροτόμε ὕδωρ,
Καὶ ἴαμα δίψης ἐκ λίθε σκληρῦ.
5. Δι' ὧν γὰρ ἐκολάσθησαν οἱ ἐχθροὶ αὐτῶν,
6. Διὰ τέτων αὐτοὶ ἀπορεῦντες εὐεργετήθησαν.
7. Ἀντὶ μὲν πηγῆς ἀενάε ποταμῦ
Αἵματι λυθρώδει ταραχθέντος
8. Εἰς ἔλεγχον νηπιοκλόνε διαταγμάτος,
Ἔδωκας αὐτοῖς δαψιλὲς ὕδωρ ἀνελπίστως·
9. Δείξας διὰ τῦ τότε δίψες,
Πῶς τὲς ὑπεναντίες ἐκόλασας.
10. Ὅτε γὰρ ἐπειράσθησαν, καί περ ἐν ἐλέει παιδευόμενοι,
Ἔγνωσαν πῶς ἐν ὀργῇ κρινόμενοι ἀσεβεῖς ἐβασανίζοντο·
11. Τέτες μὲν γὰρ ὡς πατὴρ νεθετῶν ἐδοκίμασας·
Ἐκείνες δὲ ὡς ἀπότομος βασιλεὺς καταδικάζων ἐξήτασας.
12. Καὶ ἀπόντες δὲ καὶ παρόντες ὁμοίως ἐτρύχοντο·
13. Διπλῆ γὰρ αὐτὲς ἔλαβε λύπη,
Καὶ στεναγμὸς μνημῶν τῶν παρελθόντων.
14. Ὅτε γὰρ ἤκεσαν διὰ τῶν ἰδίων κολάσεων
Εὐεργετημένες αὐτὲς, ἠθοντο τῦ Κυρίε·
15. Ὃν γὰρ ἐν ἐκθέσει πάλαι ῥιφέντα ἀπεῖπον χλευάζοντες,
Ἐπὶ τέλει τῶν ἐκβάσεων ἐθαύμαζον,

Οὐχ

v. 17. μισθὸν ὁσίοις) transpositа. ibid. ſtich. 4. ἀστέρων) ἄστρων. v. 19. κατέκλυσαν) κατέκλυσε. CAP. XI. v. 1 ἔργα αὐτῦ) ἔργα αὐτῶν. ibid. προφήτων ἁγίων) προφήτε ἁγίου. v. 3. ἐχθρὲς ἠμύναντο) transpoſita. v. 7. ἀενάε) ἀεννάε. ibid. ſtich. 2. ταραχθέντος) ταραχθέντες. v. 13. ſtich. 2. παρελθόντων) παρελθουτῶν. v. 14. ſtich. 2. Εὐεργετημένες) εὐεργετημένες. v. 15. Ὃν γὰρ) τὸν γὰρ. ibid. ſtich. 2. ἐθαύμαζον) ἐθαύμασαν.

Οὐχ ὅμοια δικαίοις διψήσαντες.

16. Ἀντὶ δὲ λογισμῶν ἀσυνέτων ἀδικίας αὐτῶν,
Ἐν οἷς πλανηθέντες ἐθρήσκευον ἄλογα ἑρπετὰ καὶ κνώδαλα εὐτελῆ,
κλώδαλα
Ἐπαπέστειλας αὐτοῖς πλῆθος ἀλόγων ζώων εἰς ἐκδίκησιν·

17. Ἵνα γνῶσιν ὅτι δι' ὧν τις ἁμαρτάνει, διὰ τέτων κολάζεται.

18. Οὐ γὰρ ἠπόρει ἡ παντοδύναμός σε χεὶρ
Καὶ κλίσασα τὸν κόσμον ἐξ ἀμόρφε ὕλης,
Ἐπιπέμψαι αὐτοῖς ἢ πλῆθος ἄρκων, ἢ θρασεῖς λέοντας,
νεοκλίσε
19. Ἢ νεοκλίσες θυμῷ πλήρεις θῆρας ἀγνώστες,
Ἢτοι πυρπνόον φυσῶντας ἄθμα,
λιχμωμένες
Ἢ βρόμον λιχμωμένας καπνῷ,
Ἢ δεινὲς ἀπ' ὀμμάτων σπινθῆρας ἀστράπτοντας·

20. Ὧν οὐ μόνον ἡ βλάβη ἠδύνατο ἐκλεῖψαι αὐτοὺς,
Ἀλλὰ καὶ ἡ ὄψις ἐκφοβήσασα διολέσαι·

21. Καὶ χωρὶς δὲ τέτων, ἐν ἑνὶ πνεύματι πεσεῖν ἐδύναντο,
Ὑπὸ τῆς δίκης διωχθέντες,
Καὶ λικμηθέντες ὑπὸ πνεύματος δυνάμεώς σε·
Ἀλλὰ πάντα μέτρῳ καὶ ἀριθμῷ καὶ σταθμῷ διέταξας.

22. Τὸ γὰρ μεγάλως ἰσχύειν σοι πάρεστιν πάντοτε,
Καὶ κράτει βραχίονός σε τίς ἀντιστήσεται;

23. Ὅτι ὡς ῥοπὴ ἐκ πλαστίγγων ὅλος ὁ κόσμος ἐναντίον σε,
Καὶ ὡς ῥανὶς δρόσε ὀρθρινὴ κατελθοῦσα ἐπὶ γῆν.

24. Ἐλεεῖς δὲ πάντας ὅτι πάντα δύνασαι,
Καὶ παροράς ἁμαρτήματα ἀνθρώπων εἰς μετάνοιαν.

25. Ἀγαπᾷς γὰρ τὰ ὄντα πάντα, καὶ ἐδὲν βδελύσσῃ ὧν ἐποίησας· ἐδένα
Οὐδὲ γὰρ ἂν μισῶν τι κατεσκεύασας.

26. Πῶς δὲ διέμεινεν ἄν τι, εἰ μὴ σὺ ἠθέλησας; ἔμεινεν
Ἢ τὸ μὴ κληθὲν ὑπὸ σε διετηρήθη;

27. Φείδῃ δὲ πάντων, ὅτι σά ἐστι πάντα, δέσποτα φιλόψυχε.

ΚΕΦ. ΙΒ'. XII.

Τὸ γὰρ ἄφθαρτόν σε πνεῦμά ἐστιν ἐν πᾶσι·

2. Διὸ τὲς παραπίπτοντας κατ' ὀλίγον ἐλέγχεις,
Καὶ ἐν οἷς ἁμαρτάνεσιν, ὑπομιμνήσκων νεθετεῖς,
Ἵνα ἀπαλλαγέντες τῆς κακίας πιστεύσωσιν ἐπὶ σὲ Κύριε. πιστεύσωμεν

3. Καὶ γὰρ τὲς παλαιὲς οἰκήτορας τῆς ἁγίας σε γῆς
Μισήσας, 4. ἐπὶ τῷ ἔχθιστα πράσσειν ἔργα Φαρμακειῶν
Καὶ τελετὰς ἀνοσίες, 5. τέκνων τε Φονέας ἀνελεήμονας,

Καὶ

v. 16. stich. 2. κλώδαλα) κνώδαλα. v. 19. νεοκλίσου) νεοκλίσας. ibid. stich. 3. βρόμον λιχμωμένας) βρόμας λικμωμένας. v. 20. ἐκτρίψαι) συνεκτρίψαι. v. 22. σοι πάρεστιν) transposita. v. 25. ἐδένα) ἐδέν. v. 27. πάντα) deest. CAP. XII. v. 2. stich. 3. πιστεύσωμεν) πιστεύσωσιν.

Καὶ σπλαγχνοφάγων ἀνθρωπίνων
σαρκῶν θοῖναν καὶ αἵματος
Ἐκ μέσης μύσας διάσῃ,
6. Καὶ αὐθέντας γονεῖς ψυχῶν ἀβοη-
θήτων,
Ἐβλήθης ἀπολέσαι διὰ χειρῶν πα-
τέρων ἡμῶν·
7. Ἵνα ἀξίαν ἀποικίαν δέξηται Θεοῦ
παίδων
Ἡ παρὰ σοὶ πασῶν τιμιωτάτη γῆ.
8. Ἀλλὰ καὶ τούτων ὡς ἀνθρώπων
ἐφείσω,
Ἀπέστειλάς τε προδρόμους τῆς στρατο-
πέδης σου σφῆκας,
Ἵνα αὐτοὺς καταβραχὺ ἐξολεθρεύ-
σωσιν·
9. Οὐκ ἀδυνατῶν ἐν παρατάξει ἀσεβεῖς
Δικαίοις ὑποχειρίοις δοῦναι,
Ἢ θηρίοις δεινοῖς, ἢ λόγῳ ἀποτόμῳ
ὑφ' ἓν ἐκλείψαι·
10. Κρίνων δὲ καταβραχὺ, ἐδίδους τόπον
μετανοίας,
Οὐκ ἀγνοῶν, ὅτι πονηρὰ ἡ γένεσις
αὐτῶν,
Καὶ ἔμφυτος ἡ κακία αὐτῶν,
Καὶ ὅτι οὐ μὴ ἀλλαγῇ ὁ λογισμὸς αὐ-
τῶν εἰς τὸν αἰῶνα·
11. (Σπέρμα γὰρ ἦν κατηραμένον ἀπ'
ἀρχῆς·)
Οὐδὲ εὐλαβούμενος τινὰ, ἐφ' οἷς ἡ-
μάρτανον ἄδειαν ἐδίδους,
12. Τίς γὰρ ἐρεῖ· τί ἐποίησας;
Ἢ τίς ἀντιστήσεται τῷ κρίματί σου;
Τίς δὲ ἐγκαλέσει σοι κατὰ ἐθνῶν ἀ-
πολωλότων, ἃ σὺ ἐποίησας;
Ἢ τίς εἰς κατάστασίν σοι ἐλεύσεται
ἔκδικος κατὰ ἀδίκων ἀνθρώπων;
13. Οὔτε γὰρ Θεός ἐστι πλὴν σοῦ, ᾧ μέ-
λει περὶ πάντων,
Ἵνα δείξῃς ὅτι οὐκ ἀδίκως ἔκρινας·
14. Οὔτε βασιλεὺς ἢ τύραννος ἀντο-
φθαλμῆσαί δυνήσεταί σοι περὶ
ὧν ἀπώλεσας. ἐκόλα-
15. Δίκαιος δὲ ὢν, δικαίως τὰ πάντα σας
διέπεις,
Αὐτὸν τὸν μὴ ὀφείλοντα κολασθῆναι
καταδικάσαι
Ἀλλότριον ἡγούμενος τῆς σῆς δυνά-
μεως.
16. Ἡ γὰρ ἰσχύς σου δικαιοσύνης ἀρχὴ,
Καὶ τὸ πάντων σε δεσπόζειν, πάν-
των φείδεσθαί σε ποιεῖ·
17. Ἰσχὺν γὰρ ἐνδείκνυσαι ὁ ἀπιστούμενος ὅτι
ἐπὶ δυνάμεως τελειότητι,
Καὶ ἐν τοῖς ἐκ εἰδόσι σε τὸ θράσος
ἐξελέγχεις·
18. Σὺ δὲ δεσπόζων ἰσχύος ἐν ἐπιεικείᾳ
κρίνεις,
Καὶ μετὰ πολλῆς φειδοῦς διοικεῖς ἡμᾶς.
Πάρεστι γάρ σοι, ὅταν θέλῃς, τὸ δύ-
νασθαι·
19. Ἐδίδαξας δὲ σου τὸν λαὸν διὰ τῶν
τοιούτων ἔργων,
Ὅτι δεῖ τὸν δίκαιον εἶναι φιλάνθρω-
πον,
Καὶ εὐέλπιδας ἐποίησας τοὺς υἱούς σου,
Ὅτι διδοῖς ἐπὶ ἁμαρτήμασι μετάνοιαν.
20. Εἰ γὰρ ἐχθροὺς παίδων σου καὶ ὀφει-
λομένους θανάτῳ

v. 5. ſtich. 3. μύσας διάσῃ) μυσαθείας σου. v. 14. ἐκόλασας) ἀπώλεσας. v. 16. ſtich. 2. φείδεσθαί σε) σε abeſt. v. 17. ὅτι ἀπιστούμενος) ὅτι deeſt. ibid. ſtich. 2. ἐν τοῖς ἐκ εἰδόσι) ἐν τοῖς εἰδόσι. v. 19. ſtich. 4. διδοῖς) διδοὺς.

Μετὰ τοσαύτης ἐτιμωρήσω προσοχῆς,
Δὲς χρόνον καὶ τόπον δι' ὧν ἀπαλλαγῶσι τῆς κακίας,

21. Μετὰ πόσης ἀκριβείας ἔκρινας τὲς υἱές σε,
Ὧν τοῖς πατράσιν ὅρκες καὶ συνθήκας ἔδωκας ἀγαθῶν ὑποχέσεων;

22. Ἡμᾶς οὖν παιδεύων, τὲς ἐχθρὲς ἡμῶν ἐν μυριότητι μαστιγοῖς,
Ἵνα σε τὴν ἀγαθότητα μεριμνῶμεν κρίνοντες,
Κρινόμενοι δὲ προσδοκῶμεν ἔλεος.

23. Ὅθεν καὶ τὲς ἐν ἀφροσύνῃ ζωῆς βιώσαντας ἀδίκως,
Διὰ τῶν ἰδίων ἐβασάνισας βδελυγμάτων.

24. Καὶ γὰρ τῶν πλάνης ὁδῶν μακρότερον ἐπλανήθησαν,
Θεὲς ὑπολαμβάνοντες τὰ καὶ ἐν ζώοις τῶν ἐχθρῶν ἄτιμα,
Νηπίων δίκην ἀφρόνων ψευθέντες.

25. Διὰ τῦτο ὡς παισὶν ἀλογίστοις τὴν κρίσιν εἰς ἐμπαιγμὸν ἔπεμψας·

26. Οἱ δὲ παιγνίοις ἐπιτιμήσεως μὴ νεθετηθέντες,
Ἀξίαν Θεῦ κρίσιν πειράσεσιν.

27. Ἐφ' οἷς γὰρ αὐτοὶ πάσχοντες ἠγανάκλουν,
Ἐπὶ τέτοις ἐς ἐδόκουν θεὲς, ἐν αὐτοῖς κολαζόμενοι,
Ἰδέντες ὃν πάλαι ἠρνοῦντο εἰδέναι,
Θεὸν ἐπέγνωσαν ἀληθῆ·
Διὸ καὶ τὸ τέρμα τῆς καταδίκης ἐπ' αὐτὲς ἐπῆλθεν.

ΚΕΦ. ΙΓ'. XIII.

Ματαιοι μὲν γὰρ πάντες ἄνθρωποι φύσει, οἷς παρῆν Θεῦ ἀγνωσία,
Καὶ ἐκ τῶν ὁρωμένων ἀγαθῶν ἐκ ἴσχυσαν εἰδέναι τὸν ὄντα,
Οὔτε τοῖς ἔργοις προσέχοντες ἐπέγνωσαν τὸν τεχνίτην·

2. Ἀλλ' ἢ πῦρ, ἢ πνεῦμα, ἢ ταχινὸν ἀέρα,
Ἢ κύκλον ἄστρων, ἢ βίαιον ὕδωρ,
Ἢ φωστῆρας οὐρανῦ, πρυτάνεις κόσμε θεὲς ἐνόμισαν·

3. Ὧν εἰ μὲν τῇ καλλονῇ τερπόμενοι, ταῦτα θεὲς ὑπελάμβανον,
Γνώτωσαν πόσῳ τέτων ὁ δεσπότης ἐστὶ βελτίων·
Ὁ γὰρ τῦ κάλλες γενεσιάρχης ἔκτισεν αὐτά.

4. Εἰ δὲ δύναμιν καὶ ἐνέργειαν ἐκπλαγέντες,
Νοησάτωσαν ἀπ' αὐτῶν πόσῳ ὁ κατασκευάσας αὐτὰ δυνατώτερός ἐστιν·

5. Ἐκ γὰρ μεγέθες καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιάρχης αὐτῶν θεωρεῖται.

6. Ἀλλ' ὅμως ἐπὶ τέτοις μέμψις ἔστιν ἔτι ὀλίγη,
Καὶ γὰρ αὐτοὶ τάχα πλανῶνται
Θεὸν ζητοῦντες καὶ θέλοντες εὑρεῖν·

7. Ἐν

v. 20. ſtich. 2. ἐτιμωρήσω) ἐτιμώρησας. ibid. προσοχῆς) addit καὶ δεήσεως. ibid. ſtich. 3. χρόνον) χρόνες. v. 23. ἀδίκως) ἀδίκους. CAP. XIII. v. 1. ſtich. 3. προσέχοντες) προσχόντες. v. 3. ταῦτα θεὲς) θεὲς. v. 6. ἔτι τέτοις μέμψις ἔστιν) ἐπὶ τέτοις ἔστι μέμψις.

7. Ἐν γὰρ τοῖς ἔργοις αὐτῦ ἀναστρεφόμενοι διερευνῶσιν,
Καὶ πείθονται τῇ ὄψει, ὅτι καλὰ τὰ βλεπόμενα.

8. (Πάλιν δὲ ἐδὲ αὐτοὶ συγγνωστοί·

9. Εἰ γὰρ τοσῦτον ἴσχυσαν εἰδέναι, ἵνα δύνωνται στοχάσασθαι τὸν αἰῶνα,
Τὸν τύτων δεσπότην πῶς τάχιον ἐχ εὗρον;)

10. Ταλαίπωροι δὲ καὶ ἐν νεκροῖς αἱ ἐλπίδες αὐτῶν,
Οἵ τινες ἐκάλεσαν θεὸς ἔργα χειρῶν ἀνθρώπων,
Χρυσὸν καὶ ἄργυρον τέχνης ἐμμελέτημα,
Καὶ ἀπεικάσματα ζώων,
Ἢ λίθον ἄχρηστον χειρὸς ἔργον ἀρχαίας.

11. Εἰ δὲ καί τις ὑλοτόμος τέκτων εὐκίνητον φυτὸν ἐκπρίσας,
Περιέξυσεν εὐμαθῶς πάντα τὸν φλοιὸν αὐτῦ;
Καὶ τεχνησάμενος εὐπρεπῶς
Κατεσκεύασεν χρήσιμον σκεῦος εἰς ὑπηρεσίαν ζωῆς,

12. Τὰ δὲ ὑπολείμματα τῆς ἐργασίας
Εἰς ἑτοιμασίαν τροφῆς ἀναλώσας ἐνεπλήσθη·

ὑπηρεσίαν

13. Τὸ δὲ ἐξ αὐτῶν ἀπόβλημα εἰς ἐδὲν εὔχρηστον,
Ξύλον σκολιὸν καὶ ὄζοις συμπεφυκὸς,
λαβὼν ἔγλυψεν ἐν ἐπιμελείᾳ ἐργασίας αὐτῦ,
Καὶ ἐμπειρίᾳ συνέσεως ἐτύπωσεν αὐτὸ, ἀνέσεως
Ἀπείκασέ τε αὐτὸ εἰκόνι ἀνθρώπε,

14. Ἢ ζώῳ τινὶ εὐτελεῖ ὡμοίωσεν αὐτὸ,
Καταχρίσας μίλτῳ καὶ φύκει ἐρυθηνὸς ἐρυθηνὸς
Καὶ πᾶσαν κηλίδα τὴν ἐν αὐτῷ καταχρίσας,

15. Καὶ ποιήσας αὐτῷ αὐτῦ ἄξιον οἴκημα,
Ἐν τοίχῳ ἔθηκεν αὐτὸ, ἀσφαλισάμενος σιδήρῳ·

16. Ἵνα μὲν ἓν μὴ καταπέσῃ προενόησεν αὐτῦ,
Εἰδὼς ὅτι ἀδυνατεῖ ἑαυτῷ βοηθῆσαι·
(Καὶ γάρ ἐστιν εἰκὼν καὶ χρείαν ἔχει βοηθείας·)

17. Περὶ δὲ κλημάτων καὶ γάμων αὐτῦ καὶ τέκνων προσευχόμενος,
Οὐκ αἰσχύνεται τῷ ἀψύχῳ προσλαλῶν·
Καὶ περὶ μὲν ὑγιείας τὸ ἀθενὲς ἐπικαλεῖται,

18. Περὶ δὲ ζωῆς τὸ νεκρὸν ἀξιοῖ,
Περὶ δὲ ἐπικερείας τὸ ἀπειρότατον ἱκετεύει,
Περὶ δὲ ὁδοιπορίας τὸ μηδὲ βάσει χρῆσθαι δυνάμενον,

19. Περὶ δὲ πορισμῦ καὶ ἐργασίας καὶ χειρῶν ἐπιτυχίας
Τὸ ἀδρανέστατον ταῖς χερσὶν εὐδρά̈νειαν αἰτεῖται.

V. 8. δὲ οὐδὲ) δὲ οὐ δ'. V. 12. ὑπολείμματα) ἀποβλήματα. ibid. ſtich. 2. ὑπηρεσίαν) ἑτοιμασίαν. V. 13. ἐδὲν) ἀθὲν. ibid. ſtich. 2. ἐπιμελείᾳ ἐργασίας) ἐν ἐπιμελείᾳ ἀργίας. ibid. ſtich. 3. ἀνέσεως) συνέσεως. ibid. ſtich. 4. Ἀπείκασέ τε) ἀπείκασε. V. 14. ſtich. 2. ἐρυθηνὸς) ἐρυθήνας. V. 18. τὸ νεκρὸν) τὸν νεκρὸν. ibid. ſtich. 2. τὸ ἀπειρότατον) τὸν ἀπειρότατον.

ΚΕΦ. ΙΔ'. XIV.

Πλοῦν τις πάλιν ϛελλόμενος, καὶ ἄγρια μέλλων διοδεύειν κύματα,
Τῆ φέροντος αὐτὸν ξύλε σαθρότερον ξύλον ἐπιβοᾶται.

2. Ἐκεῖνο μὲν γὰρ ὄρεξις πορισμῶν ἐπενόησε,
Τεχνῖτις δὲ σοφία κατεσκεύασεν·

3. Ἡ δὲ σὴ πάτερ διακυβερνᾶ πρόνοια·
Ὅτι ἔδωκας καὶ ἐν θαλάσσῃ ὁδὸν,
Καὶ ἐν κύμασι τρίβον ἀσφαλῆ·

4. Δεικνὺς ὅτι δύνασαι ἐκ πάντων σώζειν,
Ἵνα καὶ ἄν ἄνευ τέχνης τις ἐπιβῇ.

5. Θέλεις δὲ μὴ ἀργὰ εἶναι τὰ τῆς σοφίας σε ἔργα·
Διὰ τῆτο καὶ ἐλαχίϛῳ ξύλῳ πιϛεύσιν ἄνθρωποι ψυχὰς,
Καὶ διελθόντες κλύδωνα χειρὶᾳ διεσώθησαν.

6. Καὶ ἀρχῆς γὰρ ἀπολλυμένων ὑπερηφάνων γιγάντων,
Ἡ ἐλπὶς τῆ κόσμε ἐπὶ χειρίας καταφυγῆσα,
Ἀπέλιπεν αἰῶνι σπέρμα γενέσεως,
τῇ σῇ κυβερνηθεῖσα χειρί.

7. Εὐλόγηται γὰρ ξύλον δι' ὃ γίνεται δικαιοσύνη·

8. Τὸ χειροποίητον δὲ ἐπικατάρατον αὐτό, καὶ ὁ ποιήσας αὐτό·
Ὅτι ὁ μὲν εἰργάζετο, τὸ δὲ φθαρτὸν ὢν Θεὸς ὠνομάθη.

9. Ἐν ἴσῳ γὰρ μισητὰ Θεῷ καὶ ὁ ἀσεβῶν καὶ ἡ ἀσέβεια αὐτῆ·

10. Καὶ γὰρ τὸ πραχθὲν σὺν τῷ δράσαντι κολασθήσεται.

11. Διὰ τῆτο καὶ ἐν εἰδώλοις ἐθνῶν ἐπισκοπὴ ἔσαι,
Ὅτι ἐν κτίσματι Θεῆ εἰς βδέλυγμα ἐγενήθησαν,
Καὶ εἰς σκάνδαλα ψυχαῖς ἀνθρώπων,
Καὶ εἰς παγίδα ποσὶν ἀφρόνων.

12. Ἀρχὴ γὰρ πορνείας ἐπίνοια εἰδώλων·
Εὕρεσις δὲ αὐτῶν φθορὰ ζωῆς.

13. Οὔτε γὰρ ἦν ἀπ' ἀρχῆς, ἔτε εἰς τὸν αἰῶνα ἔσαι·

14. Κενοδοξίᾳ γὰρ ἀνθρώπων (θάνατος) εἰσῆλθεν εἰς τὸν κόσμον,
Καὶ διὰ τῆτο σύντομον αὐτῶν τὸ τέλος ἐπενοήθη.

15. Ἀώρῳ γὰρ πένθει τυχόμενος πατὴρ, τῆ ταχέως ἀφαιρεθέντος τέκνε εἰκόνα ποιήσας,
Τὸν τότε νεκρὸν ἄνθρωπον, νῦν ὡς ποτὲ Θεὸν ἐτίμησε,
Καὶ παρέδωκε τοῖς ὑποχειρίοις μυϛήρια καὶ τελετάς.

16. Εἶτ' ἐν χρόνῳ κρατυνθὲν τὸ ἀσεβὲς ἔθος ὡς νόμος ἐφυλάχθη,
Καὶ τυράννων ἐπιλαγαῖς ἐθρησκεύετο τὰ γλυπτά·

17. Οὓς ἐν ὄψει μὴ δυνάμενοι τιμᾶν ἄνθρωποι διὰ τὸ μακρὰν οἰκεῖν,
Τὴν πόρρωθεν ὄψιν ἀναλυπωσάμενοι,
Ἐμφανῆ εἰκόνα τῆ τιμωμένε βασιλέως ἐποίησαν,

Ἵνα

CAP. XIV. v. 1. ſtich. 2. ξύλου) πλοίε. v. 2. ſtich. 2. τεχνῖτις) τεχνίτης. v. 4. ἐκ πάντων) ἐκ παντὸς. ibid. ſtich. 2. Ἵνα καὶ ἄνευ) ἵνα κἂν ἄνευ. v. 14. (θάνατος) abeſt. ibid. εἰς τὸν κόσμον) absque articulo. ibid. ſtich. 2. τὸ τέλος) τέλος. v. 15. ſtich. 2. ποτὲ) τότε. v. 16. Εἶτ' ἐν) εἶτα ἐν.

Ἵνα τὸν ἀπόντα ὡς παρόντα κολακεύσωσι διὰ σπουδῆς.

18. Εἰς ἐπίτασιν δὲ θρησκείας καὶ τὸς ἀγνοοῦντας
Ἡ τῆ τεχνίτε προετρέψατο Φιλοτιμία.
19. Ὁ μὲν γὰρ τάχα κρατοῦντι βελόμενος ἀρέσαι,
Ἐξεβιάσατο τῇ τέχνῃ τὴν ὁμοιότητα ἐπὶ τὸ κάλλιον·
εὐχαρὲς 20. Τὸ δὲ πλῆθος ἐφελκόμενον διὰ τὸ εὔχαρι τῆς ἐργασίας,
Τὸν πρὸ ὀλίγε τιμηθέντα ἄνθρωπον, νῦν σέβασμα ἐλογίσαντο.
21. Καὶ τῆτο ἐγένετο τῷ βίῳ εἰς ἔνεδρον,
Ὅτι ἢ συμφορᾷ ἢ τυραννίδι δεδευσαντες ἄνθρωποι,
Τὸ ἀκοινώνητον ὄνομα λίθοις καὶ ξύλοις περιέθεσαν.

22. Εἶτ' ἐκ ἤρκεσεν αὐτοῖς τὸ πλανᾶθαι περὶ τὴν τῆ Θεῆ γνῶσιν,
Ἀλλὰ καὶ ἐν μεγάλῳ ζῶντες ἀγνοίας πολέμῳ,
Τὰ τοσαῦτα κακὰ εἰρήνην προσαγορεύσιν.
23. Ἢ γὰρ τεκνοφόνες τελετὰς, ἢ κρύφια μυσήρια,
Ἢ ἐμμανεῖς ἐξάλλων θεσμῶν νόμες ἄγοντες,
24. Οὔτε βίες, ἔτε γάμες καθαρὲς ἔτι φυλάσσεσιν·
Ἕτερος δ' ἕτερον ἢ λοχῶν ἀναιρεῖ, ἢ νοθεύων ὀδυνᾷ.

25. Πάντα δ' ἐπιμὶξ ἔχει, αἷμα καὶ φόνος, κλοπὴ καὶ δόλος,
Φθορὰ, ἀπιστία, ταραχος, ἐπιορκία, θόρυβος ἀγαθῶν, 26. χάριτος ἀμνησία,
Ψυχῶν μιασμὸς, γενέσεως ἐναλλαγὴ,
Γάμων ἀταξία, μοιχεία καὶ ἀσέλγεια.
27. Ἡ γὰρ τῶν ἀνωνύμων εἰδώλων θρησκεία
Παντὸς ἀρχὴ κακῆ καὶ αἰτία καὶ πέρας ἐσίν·
28. Ἢ γὰρ εὐφραινόμενοι μεμήνασιν,
Ἢ προφητεύσιν ψευδῆ,
Ἢ ζῶσιν ἀδίκως, ἢ ἐπιορκᾶσι ταχέως. ἐφιορκῶσιν
29. Ἀψύχοις γὰρ πεποιθότες εἰδώλοις,
Κακῶς ὀμόσαντες, ἀδικηθῆναι ὐ προσδέχονται.

30. Ἀμφότερα δὲ αὐτὲς μετελεύσεσθαι τὰ ἄδικα· δίκαια
Ὅτι κακῶς ἐφρόνησαν περὶ Θεῆ προσέχοντες εἰδώλοις,
Καὶ ἀδίκως ὤμοσαν ἐν δόλῳ, καταφρονήσαντες ὁσιότητος.
31. Οὐ γὰρ ἡ τῶν ὀμνυμένων δύναμις, ἀλλ' ἡ τῶν ἁμαρτανόντων δίκη
Ἐπεξέρχεται ἀεὶ τὴν τῶν ἀδίκων παράβασιν.

V. 17. ſtich. 4. κολακεύσωσι διὰ σπουδῆς) καλακεύσωσιν διὰ τῆς σπουδῆς. V. 19. κρατοῦντι) τῷ κρατοῦντι. V. 20. εὐχαρὲς) εὔχαρι. V. 22. ἤρκεσεν αὐτοῖς τὸ) ἤρκεσε τὸ. ibid. ſtich. 2. ἐν μεγάλῳ) ἐν abeſt. V. 25. Πάντα) πάντας. ibid. ſtich. 2. ταραχος) ταραχὴ. V. 26. ἀμνησία) ἀμνησία. V. 28. ſtich. 3. ἐφιορκῶσι) ἐπιορκῶσι. V. 30. ſtich. 2. προσέχοντες) προσχόντες. V. 31. ὀμνυμένων) ὀμνυομένων.

ΚΕΦ. ΙΕ'. XV.

Συ δὲ ὁ Θεὸς ἡμῶν χρηστὸς καὶ ἀληθὴς,
Μακρόθυμος καὶ ἐν ἐλέει διοικῶν τὰ πάντα.
2. Καὶ γὰρ ἐὰν ἁμάρτωμεν, σοί ἐσμεν, εἰδότες σε τὸ κράτος·
Οὐχ ἁμαρτησόμεθα δὲ, εἰδότες ὅτι σοὶ λελογίσμεθα.
3. Τὸ γὰρ ἐπίστασθαί σε ὁλόκληρος δικαιοσύνη,
Καὶ εἰδέναι σε τὸ κράτος ῥίζα ἀθανασίας.
4. Οὔτε γὰρ ἐπλάνησεν ἡμᾶς ἀνθρώπων κακότεχνος ἐπίνοια,
Οὐδὲ σκιαγράφων πόνος ἄκαρπος,
Εἶδος σπιλώδες χρώμασι διηλλαγμένοις·
ἄφρεσιν ἄγνεν 5. Ὧν ὄψις ἄφρονι εἰς ὄρεξιν ἔρχεται,
Ποθεῖ τε νεκρᾶς εἰκόνος εἶδος ἄπνευ.
6. Κακῶν ἐρασταὶ ἄξιοί τε τοιούτων ἐλπίδων,
Καὶ οἱ δρῶντες, καὶ οἱ ποθοῦντες, καὶ οἱ σεβόμενοι.
7. Καὶ γὰρ κεραμεὺς ἁπαλὴν γῆν θλίβων ἐπίμοχθον,
Πλάσσει πρὸς ὑπηρεσίαν ἡμῶν ἓν ἕκαστον·
Ἀλλ' ἐκ τῆ αὐτῆ πηλῆ ἀνεπλάσατο
Τά τε τῶν καθαρῶν ἔργων δοῦλα σκεύη,
Τά τε ἐναντία πάντα ὁμοίως·
Τέτων δὲ ἑκατέρε τίς ἑκάστε ἐστὶν ἡ χρῆσις,
Κριτὴς ὁ πηλουργός·
8. Καὶ κακόμοχθος Θεὸν μάταιον πλάσσει ἐκ τῆ αὐτῆ πηλῆ,
Ὃς πρὸ μικρῆ ἐκ γῆς γεννηθεὶς,
Μετ' ὀλίγον πορεύεται ἐξ ἧς ἐλήφθη,
Τὸ τῆς ψυχῆς ἀπαιτηθεὶς χρέος.
9. Ἀλλ' ἔστιν αὐτῷ φρονὶς ἐχ ὅτι μέλλει κάμνειν,
Οὐδ' ὅτι βραχυτελῆ βίον ἔχει·
Ἀλλ' ἀντερίζεται μὲν χρυσουργοῖς καὶ ἀντερείδεται
ἀργυροχόοις,
Χαλκοπλάσας τε μιμεῖται,
Καὶ δόξαν ἡγεῖται ὅτι κίβδηλα πλάσσει.
10. Σποδὸς ἡ καρδία αὐτῆ,
Καὶ γῆς εὐτελεστέρα ἡ ἐλπὶς αὐτῆ,
Πηλῆ τε ἀτιμότερος ὁ βίος αὐτῆ.
11. Ὅτι ἠγνόησε τὸν ποιήσαντα αὐτὸν,
Καὶ τὸν ἐμπνεύσαντα αὐτῷ ψυχὴν ἐνεργῆσαν,
Καὶ ἐμφυσήσαντα πνεῦμα ζωτικόν.
12. Ἀλλὰ ἐλογίσαντο παίγνιον εἶναι τὴν ζωὴν ἡμῶν,
Καὶ τὸν βίον πανηγυρισμὸν ἐπικερδῆ·
Δεῖν γάρ φασιν ὅθεν δὴ καὶ ἐκ κακῆ πορίζειν.
13. Οὗτος γὰρ παρὰ πάντας οἶδεν ὅτι ἁμαρτάνει,
Ὕλης γεώδες εὐθρυπτα σκεύη καὶ γλυπτὰ δημιουργῶν. εὐθρυπτα

14. Πάν-

CAP. XV. v. 1. ſtich. 2. καὶ ἐλέει) καὶ ἐν ἐλέει. v. 3. ſtich. 2. σε τὸ κράτος) transpoſita. v. 5. ὄρεξιν) ὄνειδος. ibid. ſtich. 2. ἄγνεν) ἄπνεν. v. 7. ſtich. 2. ἡμῶν ἓν) ἓν abeſt. ibid. ſtich. 5. πάντα ὁμοίως) πάνθ' ὁμοίως. v. 8. πλάσσει ἐκ τῆ αὐτῆ) transpoſita. v. 11. ποιήσαντα) πλάσαντα. v. 12. Ἀλλὰ ἐλ.) ἀλλ' ἔλογ. ibid. ſtich. 3. φασὶν) φησὶν. ibid. δὴ καὶ ἐκ) δὴ κἀν ἐκ. v. 13. ſtich. 2. εὔθρυπτα) εὔθρυπτα.

14. Πάντων δὲ ἀφρονέστατοι καὶ τάλανες ὑπὲρ ψυχὰς νηπίων,
Οἱ ἐχθροὶ τῦ λαῦ σε καταδυναστεύσαντες αὐτόν·

15. Ὅτι πάντα τὰ εἴδωλα τῶν ἐθνῶν ἐλογίσαντο θεὸς,
Οἷς ἔτε ὀμμάτων χρῆσις εἰς ὅρασιν,
Οὔτε ῥῖνες εἰς συνολκὴν ἀέρος,
Οὔτε ὦτα ἀκέειν,
Οὔτε δάκτυλοι χειρῶν εἰς ψηλάφησιν,
Καὶ οἱ πόδες αὐτῶν ἀργοὶ πρὸς ἐπίβασιν.

16. Ἄνθρωπος γὰρ ἐποίησεν αὐτὰς,
Καὶ τὸ πνεῦμα δεδανεισμένος ἔπλασεν αὐτάς·
Οὐδεὶς γὰρ ἀνθρώπων ὅμοιον ἰσχύει πλάσαι Θεόν·

17. Θνητὸς δὲ ὢν νεκρὸν ἐργάζεται χερσὶν ἀνόμοις·
Κρείσσων γὰρ ἐστὶ τῶν σεβασμάτων αὐτῦ. σεβημάτων
Ὢν αὐτὸς μὲν ἔζησεν, ἐκεῖνα δὲ ἀδέποτε.

18. Καὶ τὰ ζῶα δὲ τὰ ἔχθιστα σέβονται· Ἀγοίας
Ἕνια γὰρ συγκρινόμενα τῶν ἄλλων ἐστὶ χείρονα,

19. Οὐδ' ὅσον ἐπιποθῆσαι ὡς ἐν ζώων ὄψει καλὰ τυγχάνει,
Ἐκπέφευγε δὲ καὶ τὸν τῦ Θεῦ ἔπαινον καὶ τὴν εὐλογίαν αὐτῦ.

ΚΕΦ. Ις'. XVI.

Διὰ τῦτο δι' ὁμοίων ἐκολάθησαν ἀξίως,
Καὶ διὰ πλήθες κνωδάλων ἐβασανίθησαν.

2. Ἀνθ' ἧς κολάσεως εὐεργετήσας τὸν λαόν σε
(Οἷς) εἰς ἐπιθυμίαν ὀρέξεως ξένην γεῦσιν,
Τροφὴν ἡτοίμασας ὀρτυγομήτραν·

3. Ἵνα ἐκεῖνοι μὲν ἐπιθυμοῦντες τροφὴν,
Διὰ τὴν εἰδέχθειαν τῶν ἐπαπεσταλμένων δειχθεῖσαν
Καὶ τὴν ἀναγκαίαν ὄρεξιν ἀποστρέφωνται,
Οὗτοι δὲ ἐπ' ὀλίγον ἐνδεεῖς γενόμενοι,
Καὶ ξένης μετάσχωσι γεύσεως.

4. Ἔδει γὰρ ἐκείνοις μὲν ἀπαραίτητον ἔνδειαν ἐπελθεῖν τυραννῦσι,
Τέτοις δὲ μόνον δειχθῆναι πῶς οἱ ἐχθροὶ αὐτῶν ἐβασανίζοντο.

5. Καὶ γὰρ ὅτε αὐτοῖς δεινὸς ἐπῆλθε θηρίων θυμὸς,
Δήγμασί τε σκολιῶν διεφθείροντο ὄφεων,
Οὐ μέχρι τέλες ἔμεινεν ἡ ὀργή σε·

6. Εἰς νεθεσίαν δὲ πρὸς ὀλίγον ἐταράχθησαν,
Σύμβολον ἔχοντες σωτηρίας, εἰς ἀνάμνησιν ἐντολῆς * νόμε σε. Σύμβολον * νόμον

7. Ὁ γὰρ ἐπιστραφεὶς ὐ διὰ τὸ θεωρέμενον ἐσώζετο,

Ἀλλὰ

V. 14. ſtich. 1. in *Rom.* πάντες δ' ἀφρονέστατοι καὶ τάλανες ὑπὲρ ψυχὴν νηπίου. v. 15. Ὅτι πάντα τὰ εἰδ.) ὅτι καὶ πάντα εἰδ. v. 16. ſtich. 3. γὰρ ἀνθρώπων ὅμοιον ἰσχύει) γὰρ αὐτῷ ὅμοιον ἄνθρωπος ἰσχύει. v. 17. ſtich. 2. Κρείσσων) κρείττων. ibid. σεβημάτων) σεβασματων. CAP. XVI. v. 2. ſtich. 2. (Οἷς) abeſt. v. 3. ſtich. 3. δειχθεῖσαν) εἰδέχθειαν. ibid. ſtich. 4. Οὗτοι) αὐτοὶ. v. 6. ſtich. 2. νόμον σε) νόμε σε.

Ἀλλὰ διὰ σὲ τὸν πάντων σωτῆρα.

8. Καὶ ἐν τέτῳ δὲ ἔπεισας τὲς ἐχθρὲς ἡμῶν,
Ὅτι σὺ εἶ ὁ ῥυόμενος ἐκ παντὸς κακῦ·

9. Οὓς μὲν γὰρ ἀκρίδων καὶ μυιῶν ἀπέκλεισε δήγμαλα,
Καὶ ἐχ εὑρέθη ἴαμα τῇ ψυχῇ αὐτῶν,
Ὅτι ἄξιοι ἦσαν ὑπὸ τοιέτων κολαθῆναι.

10. Τὲς δὲ υἱές σε ἐδὲ ἰοβόλων δρακόντων ἐνίκησαν ὀδόντες·
Τὸ ἔλεος γάρ σε ἀντιπαρῆλθε, καὶ ἰάσατο αὐτές.

11. Εἰς γὰρ ὑπόμνησιν τῶν λογίων σε ἐνεκεντρίζοντο,
ἐνκεντρίζοντο Καὶ ὀξέως διεσώζοντο,
Ἵνα μὴ εἰς βαθεῖαν ἐμπεσόντες λήθην, ἀπερίσπαστοι γένωνται τῆς σῆς εὐεργεσίας.

12. Καὶ γὰρ ἔτε βοτάνη ἔτε μάλαγμα ἐθεράπευσεν αὐτὲς,
πάντας Ἀλλὰ ὁ σὸς Κύριε λόγος ὁ πάντα ἰώμενος.

13. Σὺ γὰρ ζωῆς καὶ θανάτε ἐξεσίαν ἔχεις,
Καὶ κατάγεις εἰς πύλας ᾅδε, καὶ ἀνάγεις.

14. Ἄνθρωπος δὲ ἀποκλέννει μὲν τῇ κακίᾳ αὐτῦ·
Ἐξελθὸν δὲ πνεῦμα ἐκ ἀναστρέφει, ἐδὲ ἀναλύει ψυχὴν παραληφθεῖσαν.

15. Τὴν δὲ σὴν χεῖρα φυγεῖν ἀδύνατόν ἐστι·

16. Ἀρνέμενοι γάρ σε εἰδέναι ἀσεβεῖς,
Ἐν ἰσχύι βραχίονός σε ἐμαστιγώθησαν,
Ξένοις ὑετοῖς καὶ χαλάζαις καὶ ὄμβροις
Διωκόμενοι ἀπαραιτήτοις,
Καὶ πυρὶ καταναλισκόμενοι.

17. Τὸ γὰρ παραδοξότατον, ἐν τῷ πάντα σβεννῦντι ὕδατι
Πλεῖον ἐνήργει τὸ πῦρ·
(Ὑπέρμαχος γὰρ ὁ κόσμος ἐστὶ δικαίων· δικαίοις
18. Ποτὲ μὲν γὰρ ἡμερῦτο φλὸξ,
Ἵνα μὴ καταφλέξῃ τὰ ἐπ' ἀσεβεῖς ἀπεταλμένα ζῶα,
Ἀλλὰ αὐτοὶ βλέποντες ἴδωσιν, ὅτι Θεῦ κρίσει ἐλαύνονται· ἐλαύνωνται
19. Ποτὲ δὲ καὶ μεταξὺ ὕδατος ὑπὲρ τὴν πυρὸς δύναμιν φλέγει,
Ἵνα ἀδίκε γῆς γεννήματα καταφθείρῃ.

20. Ἀνθ' ὧν ἀγγέλων τροφὴν ἐψώμισας τὸν λαόν σε,
Καὶ ἕτοιμον ἄρτον ἀπ' ἀρανῦ παρέσχες αὐτοῖς ἀκοπιάτως,
Πᾶσαν ἡδονὴν ἔχοντα καὶ πρὸς πᾶσαν ἰσχύοντα ἁρμόνιον γεῦσιν.

21. Ἡ μὲν γὰρ ἀπόσασίς σε τὴν σὴν πρὸς ὑπόστασις τέκνα ἐνεφάνιζε γλυκύτητα·
Τῇ δὲ τῦ προσφερομένε ἐπιθυμίᾳ ὑπηρετῶν,
Πρὸς ὅ τις ἐβέλετο μετεκιρνᾶτο.

22. Χιὼν

V. 11. ἐνκεντρίζοντο) ἐνεκεντρίζοντο. **V. 12.** stich. 2. πάντας) πάντα. **V. 16.** stich. 2. ἰσχύι) ἰσχύει. **V. 17.** stich. 3. δικαίοις) δικαίων. **V. 18.** stich. 3. Ἀλλὰ αὐτοὶ) ἀλλ' αὐτοὶ. ibid. ἐλαύνωνται) ἔλαυνονται. **V. 19.** stich. 2. καταφθείρῃ) διαφθείρῃ. **V. 20.** stich. 2. in *Rom.* καὶ ἕτοιμον ἄρτον αὐτοῖς ἀπ' ἀρανῦ ἔπεμψας ἀκοπιάτως. **V. 21.** τὴν σὴν πρὸς τέκνα ἐνεφάνιζε γλυκ.) τὴν σὴν γλυκύτητα πρὸς τέκνα ἐνεφάνισε.

22. Χιὼν δὲ καὶ κρύσαλλος ὑπέμενε πῦρ
καὶ ἐκ ἐτήκετο·
Ἵνα γνῶσιν, ὅτι τὰς τῶν ἐχθρῶν καρ-
πὰς κατέφθειρε πῦρ φλεγόμενον
ἐν τῇ χαλάζῃ,
Καὶ ἐν τοῖς ὑετοῖς διαῤῥάπλον·
23. Τᾶτο δὲ πάλιν, ἵνα τραφῶσι δίκαιοι,
Καὶ τῆς ἰδίας ἐπιλέλησαι δυνάμεως.
24. Ἡ γὰρ κλῖσις σοι τῷ ποιήσαντί ὑπ-
ηρετᾶσα,
Ἐπιτείνεται εἰς κόλασιν κατὰ τῶν
ἀδίκων,
Καὶ ἀνίεται εἰς εὐεργεσίαν ὑπὲρ τῶν
ἐπί σοι πεποιθότων.
25. Διὰ τᾶτο καὶ τότε εἰς πάντα με-
ταλλευομένη
Τῇ παντοτρόφῳ σε δωρεᾷ ὑπηρετεῖ,
Πρὸς τὴν τῶν δεομένων θέλησιν·
26. Ἵνα μάθωσιν οἱ υἱοί σε, ὃς ἠγάπη-
σας Κύριε,
ἀνθρώ- Ὅτι ἐχ αἱ γενέσεις τῶν καρπῶν τρέ-
πων φουσιν ἄνθρωπον,
Ἀλλὰ τὸ ῥῆμά σε τὰς σοι πιστεύον-
τας διαληρεῖ.
27. Τὸ γὰρ ὑπὸ πρὸς μὴ φθειρόμενον
Ἁπλῶς ὑπὸ βραχείας ἀκλῖνος ἡλίε
θερμαινόμενον ἐτήκετο·
28. Ὅπως γνωστὸν ᾖ, ὅτι δεῖ φθάνειν τὸν
ἥλιον ἐπ' εὐχαριστίαν σε,
Καὶ πρὸς ἀνατολὴν φωτὸς ἐντυγχά-
νειν σοι.
29. Ἀχαρίστε γὰρ ἐλπὶς ὡς χειμερινὴ
πάχνη τακήσεται,
Καὶ ῥυήσεται ὡς ὕδωρ ἄχρηστον.

ΚΕΦ. ΙΖ'. XVII.

ΜΕγάλαι γάρ σε αἱ κρίσεις καὶ
δυσδιήγητοι·
Διὰ τᾶτο ἀπαίδευτοι ψυχαὶ
ἐπλανήθησαν.
2. Ὑπειληφότες γὰρ καλαδυναστεύειν ἔθ-
νος ἅγιον ἄνομοι,
Δέσμιοι σκότες καὶ μακρᾶς πεδῆται
νυκλὸς,
Κατακλειθέντες ὀρόφοις, φυγάδες
τῆς αἰωνίε προνοίας ἔκειντο.
3. Λανθάνειν γὰρ νομίζοντες ἐπὶ κρυ-
φαίοις ἁμαρτήμασιν
Ἀφεγγεῖ λήθης παρακαλύμματι,
Ἐσκοτίθησαν θαμβέμενοι δεινῶς,
Καὶ ἐνδάλμασιν ἐκλαραζόμενοι·
4. Οὐδὲ γὰρ ὁ κατέχων αὐτὰς μυχὸς μῦθος
ἀφόβες διεφύλατλεν,
Ἦχοι δὲ καταράσσοντες αὐτὰς πε-
ριεκόμπουν,
Καὶ φάσματα ἀμειδήτοις κατηφῆ
προσώποις ἐνεφανίζετο.
5. Καὶ πυρὸς μὲν ἀδεμία βία κατίσχυε
φωτίζειν,
Οὔτε ἄστρων ἔκλαμπροι φλόγες καλ-
αυγάζειν ὑπέμενον
Τὴν συγνὴν ἐκείνην νύκλα.
6. Διεφαίνετο δ' αὐτοῖς μόνον
Αὐτομάτη πυρὰ φόβε πλήρης·
Ἐκδειματέμενοί τε τῆς μὴ θεωρεμέ-
νης ἐκείνης ὄψεως,
Ἡγοῦντο χείρω τὰ βλεπόμενα.

v. 22. ὑπέμενε) ὑπέμεινε. ibid. stich. 2. ἐθνῶν) ἐχθρῶν. v. 23. Τᾶτο δὲ πάλιν, ἵνα) τᾶτο πάλιν δ' ἵνα. ibid. stich. 2. ἐπιλέλησαι) ἐπιλελῆσθαι. v. 24. stich. 3. ἐπί σοι) εἰς σὲ. v. 26. stich. 2. ἀνθρώπων) καρπῶν. v. 29. χειμερινὴ) χειμέριος. CAP. XVII. v. 3. stich. 3. Ἐσκοτίθησαν) ἐσκορπίθησαν. v. 4. μῦθος ἀφόβως διεφύλατλεν) μύχος ἀφόβως διεφύλασσεν. v. 6. stich. 3. Ἐκδειμ. τε τῆς θεωρ.) ἐκδειματέμενοι δὲ τῆς μὴ θεωρεμένης.

7. Μαγικῆς δὲ ἐμπαίγματα κατέκειντο τέχνης,
Καὶ τῆς ἐπὶ φρονήσει ἀλαζονείας ἔλεγχος ἐφύβριστος·
8. Οἱ γὰρ ὑπισχνέμενοι δείματα καὶ ταραχὰς ἀπελαύνειν ψυχῆς νοσέσης,
Οὗτοι καταγέλαστον εὐλάβειαν ἐνόσουν.
9. Καὶ γὰρ εἰ μηδὲν αὐτὲς ταραχῶδες ἐφόβει,
Κνωδάλων παρόδοις καὶ ἑρπετῶν συριγμοῖς ἐκπεφοβημένοι, ἐκπεφοβημένοι
Διώλλυντο ἔντρομοι,
Καὶ τὸν μηδαμόθεν φευκτὸν ἀέρα προσιδεῖν ἀρνέμενοι.
10. Δεινὸν γὰρ ἰδίῳ πονηρίᾳ μάρτυρι καταδικαζομένη, ἰδίως
Ἀεὶ δὲ προείληφε τὰ χαλεπὰ συνεχομένη τῇ συνειδήσει. προσείληφεν
11. Οὐδὲν γάρ ἐστι φόβος, εἰ μὴ προδοσία τῶν ἀπὸ λογισμῶ βοηθημάτων·
12. Ἔνδοθεν δὲ ἔσα ἤτλων ἡ προσδοκία τὴν ἄγνοιαν
Πλείονα λογίζεται τῇ ἀγχινοίᾳ τῆς παρεχέσης τὴν βάσανον αἰτίας.
13. Οἱ δὲ τὴν ἀδύνατον ὄντως νύκτα, ἀδυνάτε
Καὶ ἐξ ἀδύτε ᾅδε μυχῶν ἐπελθέσαν,
Τὸν αὐτὸν ὕπνον κοιμώμενοι, 14. τὰ μὲν τέρασιν ἠλαύνοντο φαντασμάτων,
Τὰ δὲ τῆς ψυχῆς παρελύοντο προδοσίᾳ·
Αἰφνίδιος γὰρ αὐτοῖς καὶ ἀπροσδόκητος φόβος ἐπῆλθεν.
15. Εἴθ' ἕτως, ὃς δήποτ' ἦν ἦν ἐκεῖ καταπίπλων,
Ἐφρυρεῖτο εἰς τὴν ἀσίδηρον εἱρκτὴν κατακλειθείς·
16. Εἴ τε γὰρ γεωργὸς ἦν τις ἢ ποιμήν,
Ἢ τῶν καθ' ἐρημίαν ἐργάτης μόχθων,
Προληφθεὶς τὴν δυσάλυκτον ἔμενεν ἀνάγκην·
17. Μιᾷ γὰρ ἀλύσει σκότος πάντες ἐδέθησαν.
Εἴ τε πνεῦμα συρίζον,
Ἢ περὶ ἀμφιλαφεῖς κλάδες
(Ἢ) ὀρνέων ἦχος εὐμελής,
Ἢ ῥυθμὸς ὕδατος πορευομένε βίᾳ,
Ἢ κλύπος ἀπηνὴς καταριπλομένων πετρῶν,
18. Ἢ σκιρτώντων ζώων δρόμος ἀθεώρητος,
Ἢ ὠρυομένων ἀπηνεστάτων θηρίων φωνὴ, ἀπηνέ-
Ἢ ἀνταναπλωμένη ἐκ κοιλότητος σατος
ὀρέων ἠχώ,
Παρέλυεν αὐτὲς ἐκφοβοῦντα.
19. Ὅλος γὰρ ὁ κόσμος λαμπρῷ καὶ λελάμπετο φωτὶ,
Καὶ ἀνεμποδίστοις συνείχετο ἔργοις·
20. Μόνοις δὲ ἐκείνοις ἐπετέτατο βαρεῖα ἐπέτατο
νὺξ,
Εἰκὼν τῦ μέλλοντος αὐτὲς διαδέχεσθαι σκότες·
Ἑαυτοῖς δὲ ἦσαν βαρύτεροι σκότες.

ΚΕΦ. ΙΗ'. XVIII.

Τοῖς δὲ ὁσίοις σε μέγιστον ἦν φῶς· Ὧν φωνὴν μὲν ἀκέοντες, μορφὴν δὲ ἐχ ὁρῶντες,

Ὅτι

v. 7. κατέκειντο) κατέκειτε. v. 9. ſtich. 2. ἐκπεφοβημένοι) ἐκσεσοβημένοι. v. 10. μάρτυρι) μαρτυρεῖ. v. 11. Οὐδὲν) ἔδεν. v. 17. ſtich. 4. (Ἢ) deeſt. v. 18. ſtich. 2. ἀπηνέστατος) ἀπηνεσάτων. ibid. ſtich. 3. κοιλότητος) κοιλοτάτων. ibid. ſtich. 4. Παρέλυεν) παρέλυσεν. v. 20. ἐπέτατο) ἐπεπέτατο.

Ὅτι μὲν ἃ κἀκεῖνοι ἐπεπόνθεισαν,
ἐμακάριζον,
2. Ὅτι δὲ ἃ βλάπλεσι προηδικημένοι,
ἠυχαρίσεν,
Καὶ τῆ διενεχθῆναι χάριν ἐδέοντο.
3. Ἀνθ' ὧν πυριφλεγῆ σύλον, ὁδηγὸν μὲν
ἀγνώσε ὁδοιπορίας,
ξενητίας Ἥλιον δὲ ἀβλαβῆ φιλοτίμε ξενιτείας
παρέχες.
ἐκείνε 4. Ἄξιοι μὲν γὰρ ἐκεῖνοι σερηθῆναι φω-
τὸς, καὶ φυλακισθῆναι ἐν σκότει,
Οἱ κατακλείσας φυλάξαντες τὰς
υἱάς σε,
Δι' ὧν ἤμελλε τὸ ἄφθαρλον νόμε φῶς
τῷ αἰῶνι δίδοθαι·
5. Βελευσαμένες δ' αὐτὲς τὰ τῶν ὁσίων
ἀποκλεῖναι νήπια,
Καὶ ἑνὸς ἐκτεθέντος τέκνε καὶ σω-
θέντος,
τὸν Εἰς ἔλεγχον τὸ αὐτῶν ἀφείλε πλῆ-
θος τέκνων,
Καὶ ἐμεθυμαδὸν ἀπώλεσας ἐν ὕδατι
σφοδρῷ.
6. Ἐκείνη ἡ νὺξ προεγνώσθη πατράσιν
ἡμῶν,
Ἵνα ἀσφαλῶς εἰδότες οἷς ἐπίσευσαν
ὅρκοις, ἐπευθυμήσωσι,
7. Προσδεχθῆ δὲ ὑπὸ λαῦ σε,
Σωτηρία μὲν δικαίων, ἐχθρῶν δὲ ἀπ-
ώλεια·
Ὡς προσκα- 8. Ὧ γὰρ ἐτιμωρήσω τὲς ὑπεναντίες,
λεσάμε- Τέτῳ ἡμᾶς παρακαλεσάμενος ἐδόξασας.
νος

9. Κρυφῆ γὰρ ἐθυσίαζον ὅσιοι παῖδες ἀ-
γαθῶν,
Καὶ τὸν τῆς θειότητος νόμον ἐν ὁμο-
νοίᾳ διέθεντο,
Τῶν αὐτῶν ὁμοίως καὶ ἀγαθῶν καὶ
κινδύνων μεταλήψεθαι τὲς ἁγίες,
Πατέρων ἤδη προαναμέλποντες αἴνες.
10. Ἀντήχει δὲ ἀσύμφωνος ἐχθρῶν βοή,
Καὶ οἰκτρὰ διεφέρετο Φωνὴ θρηνεμένων διεφένετο
παίδων.
11. Ὁμοίᾳ δὲ δίκῃ δεῖλος ἅμα δεσπότῃ
κολαθεὶς,
Καὶ δημότης βασιλεῖ τὰ αὐτὰ πά-
χων·
12. Ὁμοθυμαδὸν δὲ πάντες ἐν ἑνὶ ὀνόμα-
τι θανάτε
Νεκρὲς εἶχον ἀναριθμήτες·
Οὐδὲ γὰρ πρὸς τὸ θάψαι οἱ ζῶντες
ἦσαν ἱκανοὶ,
Ἐπεὶ πρὸς μίαν ῥοπὴν ἡ ἐντιμοτέρα
γένεσις αὐτῶν διέφθαρτο.
13. Πάντα γὰρ ἀπισοῦντες διὰ τὰς
Φαρμακίας,
Ἐπὶ τῷ τῶν πρωτοτόκων ὀλέθρῳ ὡ-
μολόγησαν Θεῦ υἱὸν λαὸν εἶναι.
14. Ἡσύχε γὰρ σιγῆς περιεχέσης τὰ
πάντα,
Καὶ νυκτὸς ἐν ἰδίῳ τάχει μεσαζέσης,
15. Ὁ παντοδύναμός σε λόγος ἀπ' ἐ-
ρανῶν ἐκ θρόνων βασιλείων
Ἀπότομος πολεμιςὴς εἰς μέσον τῆς
ὀλεθρίας ἥλατο γῆς·

CAP. XVIII. v. 1. stich. 3. Ὅτι μὲν ἃ) ὅτι μὲν οὖν. v. 2. ηὐχαρίσεν) εὐχαρισοῦσιν. v. 3. stich. 2. ξενητίας) ξενιτείας. v. 4. ἐκείνου) ἐκεῖνοι. ibid. σκότει) ἐν σκότει. v. 5. stich. 3. τὸν αὐτῶν ἀφείλου) τὸ αὐτῶν ἀφείλω. v. 7. προσδεχθῆ) προσεδέχθη. v. 8. Ὡς γὰρ) ᾧ γὰρ. v. 9. ἐθυσίαζον) addit ὅσιοι. ibid. stich. 4. προαναμέλποντες) προαναμελπόντων. v. 10. δὲ ἀσύμφωνος) δ' ἀσύμφωνος. ibid. stich. 2. διεφένετο forte pro διεφαίνετο, φωνὴ θρ.) διεφέρετο θρηνεμένων. v. 12. stich. 4. διέφθαρτο) διεφθάρη.

ὑποταγὴν 16. Ξίφος ὀξὺ τὴν ἀνυπόκριτον ἐπιταγήν σε φέρων,
Καὶ σὰς ἐπλήρωσε τὰ πάντα θανάτε·
Καὶ ἐρανὲ μὲν ἥπλετο,
Βεβήκει δὲ ἐπὶ γῆς.

17. Τότε παραχρῆμα φαντασίαι μὲν ὀνείρων δεινῶν ἐξετάραξαν αὐτὲς,
Φόβοι δὲ ἐπέσησαν ἀδόκητοι·

18. Καὶ ἄλλος ἀλλαχῆ ῥιφθεὶς ἠμίθνητος,
ἔθνησκον Δι' ἣν ἔθνησκεν αἰτίαν * ἐνεφάνιζεν·

*ἐνεφάνιζον 19. Οἱ γὰρ ὄνειροι θορυβήσαντες αὐτὲς,
τῦτο προσεμήνυσαν,
Ἵνα μὴ ἀγνοῦντες δι' ὃ κακῶς πάσχσιν, ἀπόλωνται.

20. Ἥψατο δὲ καὶ δικαίων πεῖρα θανάτε,
Καὶ θραῦσις ἐν ἐρήμῳ ἐγένετο πλήθες·
Ἀλλ' ὀκ ἐπὶ πολὺ ἔμεινεν ἡ ὀργή.

21. Σπεύσας γὰρ ἀνὴρ ἄμεμπτος προεμάχησε,
Τὸ τῆς ἰδίας λειτργίας ὅπλον, προσευχὴν καὶ θυμιάματος ἐξιλασμὸν κομίσας·
Ἀντέση τῷ θυμῷ, καὶ πέρας ἐπέθηκε τῇ συμφορᾷ,
Δεικνὺς ὅτι σός ἐσι θεράπων.

22. Ἐνίκησε δὲ τὸν ὄχλον ὀκ ἰσχύϊ τῦ σώματος, ὀχ ὅπλων ἐνεργείᾳ,
Ἀλλὰ λόγῳ τὸν κολάζοντα ὑπέταξεν,
Ὅρκες πατέρων καὶ διαθήκας ὑπομνήσας.

23. Σωρηδὸν γὰρ ἤδη πεπλωκότων ἐπαλλήλων νεκρῶν,
Μεταξὺ σὰς ἀνέκοψε τὴν ὀργὴν, καὶ διέχισε τὴν πρὸς τὲς ζῶντας ὁδόν.

24. Ἐπὶ γὰρ ποδήρες ἐνδύματος ἦν ὅλος ὁ κόσμος,
Καὶ πατέρων δόξαι ἐπὶ τεσσάρσιν λίθε γλυφῆς, λίθων
Καὶ μεγαλωσύνη σε ἐπὶ διαδήματος κεφαλῆς αὐτῦ·

25. Τέτοις εἶχεν ὁ ὀλεθρεύων, ταῦτα δὲ ἐφοβήθη·
Ἦν γὰρ μόνη ἡ πεῖρα τῆς ὀργῆς ἱκανή.

ΚΕΦ. Ιθ'. XIX.

Τοῖς δὲ ἀσεβέσι μέχρι τέλες ἀνελεήμων θυμὸς ἐπέση·
Προῄδει γὰρ αὐτῶν καὶ τὰ μέλλοντα.

2. Ὅτι αὐτοὶ ἐπιτρέψαντες τῦ ἀπεῖναι,
Καὶ μετὰ σπεδῆς προπέμψαντες αὐτὲς,
Διώξσι μεταμεληθέντες·

3. Ἔτι γὰρ ἐν χερσὶν ἔχοντες τὰ πένθη,
Καὶ προσοδυρόμενοι τάφοις νεκρῶν,
Ἕτερον ἐπεσπάσαντο λογισμὸν ἀνοίας,
Καὶ ὃς ἱκετεύοντες ἐξέβαλον, τότες ὡς φυγάδας ἐδίωκον.

4. Εἵλκε γὰρ αὐτὲς ἡ ἀξία ἐπὶ τῦτο τὸ πέρας ἀνάγκη,
Καὶ τῶν συμβεβηκότων ἀμνησίαν ἐνέβαλεν,

Ἵνα

v. 16. ὑποταγὴν) ἐπιταγὴν. ibid. ſtich. 4. δὲ ἐπὶ) δ' ἐπὶ. v. 17. δεινῶν) δεινῶς. v. 18. ῥιφθεῖς) ῥιφθεὶς. ibid. ſtich. 2. ἔθνησκον) ἔθνησκεν. ibid. ἐνεφάνιζον) ἐνεφάνιζεν. v. 19. προσεμήνυσαν) προεμήνυσαν. v. 24. ſtich. 2. λίθων) λίθε. v. 25. ἐφοβήθη) ἐφοβήθησαν. CAP. XIX. v. 2 ἐπιτρέψαντες) ἐπισρέψαντες.

Ἵνα τὴν λείψεσιν ταῖς βασάνοις προσαναπληρώσωσι κόλασιν·

5. Καὶ ὁ μὲν λαὸς σε παράδοξον ὁδοιπορίαν περάσῃ,
Ἐκεῖνοι δὲ ξένον εὕρωσι θάνατον.

6. Ὅλη γὰρ ἡ κλίσις ἐν ἰδίῳ γένει πάλιν ἄνωθεν διετυπώτο,
Ὑπηρετοῦσα ταῖς σαῖς ἐπιταγαῖς,
Ἵνα οἱ σοὶ παῖδες φυλαχθῶσιν ἀβλαβεῖς

7. Τῇ τὴν παρεμβολὴν σκιαζούσῃ νεφέλῃ·
Ἐκ δὲ προϋφεστῶτος ὕδατος ξηρᾶς ἀνάδυσις γῆς ἐθεωρεῖτο,
Ἐξ ἐρυθρᾶς θαλάσσης ὁδὸς ἀνεμπόδιστος,
Καὶ χλοηφόρον πεδίον ἐκ κλύδωνος βιαίου·

8. Δι' ἧς πᾶν ἔθνος διῆλθον οἱ τῇ σῇ σκεπαζόμενοι χειρὶ,
Θεωρήσαντες θαυμασταὶ τέρατα.

9. Ὡς γὰρ ἵπποι ἐνεμήθησαν, καὶ ὡς ἀμνοὶ διεσκίρτησαν,
Αἰνοῦντές σε Κύριε τὸν ῥυσάμενον αὐτούς·

10. Ἐμέμνητο γὰρ ἔτι τῶν ἐν τῇ παροικίᾳ αὐτῶν,
Πῶς ἀντὶ μὲν γενέσεως ζώων ἐξήγαγεν ἡ γῆ σκνῖφας
ἀνύδρων Ἀντὶ δὲ ἐνύδρων ἐξηρεύξατο ὁ ποταμὸς πλῆθος βατράχων.

11. Ἐφ' ὑστέρῳ δὲ εἶδον καὶ γένεσιν νέαν ὀρνέων,
Ὅτε ἐπιθυμίᾳ προαχθέντες ἠτήσαντο ἐδέσματα τρυφῆς·

12. Εἰς γὰρ παραμυθίαν ἀνέβη αὐτοῖς ἀπὸ θαλάσσης ὀρτυγομήτρα.
Καὶ αἱ τιμωρίαι τοῖς ἁμαρτωλοῖς ἐπῆλθον,
Οὐκ ἄνευ τῶν προγεγονότων τεκμηρίων τῇ βίᾳ τῶν κεραυνῶν·
Δικαίως γὰρ ἔπασχον ταῖς ἰδίαις αὐτῶν πονηρίαις.

13. Καὶ γὰρ χαλεπωτέραν μισοξενίαν ἐπετήδευσαν·
Οἱ μὲν γὰρ τὸς ἀγνῶτας ἐκ ἐδέχοντο ἀγνοοῦντας παρόντας,
Οὗτοι δὲ εὐεργέτας ξένους ἐδουλοῦντο.

14. Καὶ ἐ μόνον, ἀλλ' ἄλλη τις ἐπισκοπὴ ἔσαι αὐτῶν·
Ἐπεὶ ἀπεχθῶς προσεδέχοντο τὸς ἀλλοτρίους,

15. Οἱ δὲ μετὰ ἑορτασμάτων εἰσδεξάμενοι, τὸς ἤδη τῶν αὐτῶν μετεχνικότας δικαίων
Δεινοῖς ἐκάκωσαν πόνοις.

16. Ἐπλήγησαν δὲ καὶ ἀορασίᾳ, ὥσπερ ἐκεῖνοι ἐπὶ ταῖς τῶ δικαίω θύραις,
Ὅτε ἀχανεῖ περιβληθέντες σκότει, ἕκαστος τῶν ἑαυτῶ θυρῶν τὴν διοδον ἐζήτει.

V. 4. stich. 3. προσαναπληρώσωσι) προαναπληρώσωσι. V. 6. stich. 2. ταῖς σαῖς) ταῖς ἰδίαις. V. 7. τῇ τὴν π. σκιαζούσῃ) ἡ τὴν παρ. σκιάζουσα. ibid. stich. 2. ἐθεωρεῖτο) ἐθεωρήθη. V. 8. πᾶν ἔθνος) πανεθνεί. V. 9. stich. 2. ῥυσάμενον) ῥυόμενον. V. 10. stich. 2. σκνῖφας) σκνῖπα. ibid. stich. 3. ἀνύδρων) ἐνύδρων. V. 11. γένεσιν νέαν) transposita. ibid. stich. 2. Ὅτε) ὅτι. V. 12. stich. 3. προγεγονότων) γεγονότων. V. 14. ἄλλη τις) ἀλλ' ἤτις. V. 16. stich. 2. ἑαυτοῦ θυρῶν) αὐτοῦ θυρῶν.

17. Δι' ἑαυτῶν γὰρ τὰ στοιχεῖα μεθαρμοζόμενα, ὥσπερ ἐν ψαλτηρίῳ φθόγγοι τῷ ῥυθμῷ τὸ ὄνομα διαλλάσσουσι, πάντοτε μένοντα ἐν ἤχῳ·
Ὅπερ ἐξὶν εἰκάσαι ἐκ τῆς τῶν γεγονότων ὄψεως ἀκριβῶς.

18. Χερσαῖα γὰρ εἰς ἔνυδρα μετεβάλλετο, Καὶ νηκτὰ μετέβαινεν ἐπὶ γῆς·

19. Πῦρ ἴσχυεν ἐν ὕδατι τῆς ἰδίας δυνάμεως ἐπιλελησμένον, Καὶ ὕδωρ τῆς σβεστικῆς φύσεως ἐπελανθάνετο·

20. Φλόγες ἀνάπαλιν εὐφθάρτων ζώων ἐκ ἐμάραναν σάρκας ἐμπεριπατέντων,
Οὐδ' ἔτηκον κρυσταλλοειδὲς εὔτηκτον γένος ἀμβροσίας τροφῆς. ἐδὲ τηκτὸν

21. Κατὰ πάντα γὰρ Κύριε ἐμεγάλυνας τὸν λαόν σε καὶ ἐδόξασας, Καὶ ἐχ ὑπερεῖδες, ἐν παντὶ καιρῷ καὶ τόπῳ παρισάμενος.

ΣΟΦΙΑ ΣΟΛΟΜΩΝΟΣ.

v. 19. ἴσχυεν) ἴσχυσεν. ibid. ἐπιλελησμένον) non habet. ibid. stich. 2. φύσεως) δυνάμεως. v. 20. stich. 2. κρυσταλλοειδὲς εὔτηκτον) transposita. Subscriptio non habetur in *Edit. Rom.*

ΣΟΦΙΑ

Hæc inscriptio in MS. *Alex.* sequitur Prologum

ΣΟΦΙΑ ΙΗΣΟΥ ΥΙΟΥ ΣΙΡΑΧ.

ΠΡΟΛΟΓΟΣ



Πολλῶν καὶ μεγάλων ἡμῖν διὰ τὸν νόμον καὶ τῶν προφητῶν καὶ τῶν ἄλλων τῶν κατ' αὐτοὺς ἠκολουθηκότων δεδομένων, ὑπὲρ ὧν δέον ἐστὶν ἐπαινεῖν τὸν Ἰσραὴλ παιδείας καὶ σοφίας, καὶ ὡς ἐ μόνον αὐτοὺς τοὺς ἀναγινώσκοντας δέον ἐστὶν ἐπιστήμονας γίνεσθαι, ἀλλὰ καὶ τοῖς ἐκτὸς δύνασθαι τοὺς φιλομαθοῦντας χρησίμους εἶναι καὶ λέγοντας καὶ γράφοντας·

Ὁ πάππος μου Ἰησοῦς ἐπὶ πλεῖον ἑαυτὸν δοὺς εἴς τε τὴν νόμον καὶ τῶν προφητῶν καὶ τῶν ἄλλων πατρίων βιβλίων ἀνάγνωσιν, καὶ ἐν τούτοις ἱκανὴν ἕξιν περιποιησάμενος, προήχθη καὶ αὐτὸς συγγράψαι τι τῶν εἰς παιδείαν καὶ σοφίαν ἀνηκόντων,

Ὅπως οἱ φιλομαθεῖς καὶ τούτων ἔνηχοι γενόμενοι, πολλῷ μᾶλλον ἐπιπροθῶσι διὰ τῆς ἐννόμου βιώσεως.

Παρακέκληθε οὖν μεθ' εὐνοίας καὶ προσοχῆς τὴν ἀνάγνωσιν ποιεῖσθαι, καὶ συγγνώμην ἔχειν ἐφ' οἷς ἂν δοκῶμεν τῶν κατὰ τὴν ἑρμηνείαν πεφιλοπονημένων τισὶ τῶν λέξεων ἀδυναμεῖν·

Οὐ γὰρ ἰσοδυναμεῖ αὐτὰ ἐν ἑαυτοῖς Ἑβραίοις λεγόμενα, καὶ ὅταν μεταχθῇ εἰς ἑτέραν γλῶσσαν·

Οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ αὐτὸς ὁ νόμος, καὶ αἱ προφητεῖαι, καὶ τὰ λοιπὰ τῶν βιβλίων ἐ μικρὰν ἔχει τὴν διαφορὰν ἐν ἑαυτοῖς λεγόμενα.

Ἐν γὰρ τῷ ὀγδόῳ καὶ τριακοστῷ ἔτει ἐπὶ τοῦ Εὐεργέτου βασιλέως παραγενηθεὶς εἰς Αἴγυπτον, καὶ συγχρονίσας, εὑρὼν ἐ μικρᾶς παιδείας ἐφόδιον, εὗρον ἀφόμοιον

Ἀναγκαιότατον ἐθέμην καὶ αὐτός τινα προσενέγκασθαι σπουδὴν καὶ φιλοπονίαν τοῦ μεθερμηνεῦσαι τὴν δὲ τὴν βίβλον, πολλὴν ἀγρυπνίαν καὶ ἐπιστήμην προσενεγκάμενος ἐν τῷ διαστήματι τοῦ χρόνου, πρὸς τὸ ἐπὶ πέρας ἀγαγόντα τὸ βιβλίον ἐκδόσθαι καὶ τοῖς ἐν τῇ παροικίᾳ βουλομένοις φιλομαθεῖν, προκατασκευαζομένους τὰ ἤθη ἐννόμως βιοτεύειν.

ΚΕΦΑ-

ΣΟΦΙΑ ΙΗΣΟΥ ΥΙΟΥ ΣΙΡΑΧ. in *Edit. Rom.* ΣΟΦΙΑ ΣΕΙΡΑΧ, sequitur Prologum ut in MS. *Alexandr.* Prolog. stich. 2. l. 2. τὴν νόμα) τὴν τοῦ νομου. ibid. stich. 3. l. 1. ἔνηχοι) ἔνοχοι. ibid. stich. ult. l. 1. ἐθέμην καὶ αὐτός τινα προσενέγκασθαι σπουδὴν) ἐθέμην αὐτὸς προσενέγκασθαι τινὰ σπουδήν. ibid. l. 3. τὴν βίβλον πολλὴν) τὴν δὲ τὴν βίβλον, πολλὴν γὰρ. ibid. l. 6. ἀγαγόντα) ἄγοντα. ibid. l. penult. προκαλασκευαζομένους τὰ ἤθη ἐννόμως) προκαλασκευαζομένοις τὰ ἤθη ἐν νόμῳ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΠΑΣΑ σοφία παρὰ Κυρίε, καὶ μετ' αὐτῦ ἔσιν εἰς τὸν αἰῶνα.
2. Ἄμμον θαλασσῶν καὶ σαγόνας ὑετῦ καὶ ἡμέρας αἰῶνος τίς ἐξαριθμήσει;
3. Ὕψος ὐρανῦ καὶ πλάτος γῆς καὶ ἄβυσσον καὶ σοφίαν τίς ἐξιχνιάσει;
4. Προτέρα πάντων ἔκλισαι σοφία,
Καὶ σύνεσις φρονήσεως ἐξ αἰῶνος.
5. Πηγὴ σοφίας λόγος Θεῦ ἐν ὑψίσοις,
Καὶ αἱ πορεῖαι αὐτῆς ἐντολαὶ αἰώνιοι.
6. Ῥίζα σοφίας τίνι ἀπεκαλύφθη;
Καὶ τὰ πανεργήματα αὐτῆς τίς ἔγνω;
7. Ἐπισήμη σοφίας τίνι ἐφανερώθη;
Καὶ τὴν πολυπειρίαν αὐτῆς τίς συνῆκε;
8. Εἷς ἐσι σοφὸς φοβερὸς σφόδρα,
Καθήμενος ἐπὶ τῦ θρόνε αὐτῦ,
Κύριος. 9. Αὐτὸς ἔκλισιν αὐτὴν,
Καὶ ἶδε καὶ ἐξηρίθμησεν αὐτὴν,
Καὶ ἐξέχεεν αὐτὴν ἐπὶ πάντα τὰ ἔργα αὐτῦ·
10. Μετὰ πάσης σαρκὸς κατὰ τὴν δόσιν αὐτῦ,
Καὶ ἐχορήγησεν αὐτὴν τοῖς ἀγαπῶσιν αὐτόν.
11. Φόβος Κυρίε δόξα καὶ καύχημα,
Καὶ εὐφροσύνη καὶ σέφανος ἀγαλλιάματος·
12. Φόβος Κυρίε τέρψει καρδίαν,
Καὶ δώσει εὐφροσύνην καὶ χαρὰν καὶ μακροημέρευσιν.
13. Τῷ φοβεμένῳ τὸν Κύριον εὖ ἔσαι ἐπ' ἐσχάτων,
Καὶ ἐν ἡμέρᾳ τελευτῆς αὐτῦ εὐλογηθήσεται.
Φόβος Κυρίε δόσις παρὰ Κυρίε,
Καὶ ἐπ' ἀγαπήσεως τρίβες καθίσησι.
14. Ἀγάπησις Κυρίε ἔνδοξος σοφία·
Οἷς δ' ὀπλάνηται, μερίζει αὐτὴν εἰς ὅρασιν αὐτῦ.
15. Ἀρχὴ σοφίας φοβεῖσθαι τὸν Κύριον,
Καὶ μετὰ πισῶν ἐν μήτρᾳ συνεκλίθη αὐτοῖς·
Μετὰ ἀνθρώπων θεμέλιον αἰῶνος ἐνόσευσε,
Καὶ μετὰ τῦ σπέρματος αὐτῶν ἐμπισευθήσεται.
16. Πλησμονὴ σοφίας φοβεῖσθαι τὸν Κύριον,
Καὶ μεθύσκει αὐτὲς ἀπὸ τῶν καρπῶν αὐτῆς·
17. Πάντα τὸν οἶκον αὐτῶν ἐμπλήσει ἐπιθυμημάτων, αὐτῆς
Καὶ τὰ ἀποδοχεῖα αὐτῶν γενημάτων ἀπὸ τῶν αὐτῆς.
18. Στέφανος σοφίας φόβος Κυρίε,
Ἀναθάλλων εἰρήνην καὶ ὑγίειαν ἰάσεως·
Ἀμφότερα δὲ ἔσιν δῶρα Θεῦ,
Πλατύνει δὲ καύχησιν τοῖς ἀγαπῶσιν αὐτόν.
19. Καὶ ἶδε καὶ ἐξηρίθμησεν αὐτὴν,
Ἐπισήμην καὶ γνῶσιν συνέσεως ἐξώμβρησε,
Καὶ δόξαν κρατούντων αὐτῆς ἀνύψωσε.
20. Ῥίζα σοφίας φοβεῖσθαι τὸν Κύριον,
Καὶ οἱ κλάδοι αὐτῆς μακροημέρευσις.
21. Φόβος

CAP. I. v. 6. stich. 2. πανεργήματα) πανεργεύματα. v. 13. stich. 2. εὐλογηθήσεται) εὑρήσει χάριν. v. 15. τὸν Κύριον) τὸν Θεὸν. ibid. stich. 3. Μετὰ ἀνθρ.) καὶ μετὰ ἀνθρώπων.

21. Φόβος Κυρίε ἀπωθεῖται ἁμαρτήματα: Ἄφοβος δὲ ἐ δυνήσεται δικαιωθῆναι.

22. Οὐ δυνήσεται θυμὸς ἄδικος δικαιωθῆναι· Ἡ γὰρ ῥοπὴ τῆ θυμῆ αὐτῆ πλῶσις αὐτῷ.

23. Ἕως καιρῆ ἀνθέξεται μακρόθυμος, Καὶ ὕστερον αὐτῷ ἀναδώσει εὐφροσύνην·

24. Ἕως καιρῆ κρύψει τὰς λόγες αὐτῆ, Καὶ χείλη πολλῶν ἐκδιηγήσεται σύνεσιν αὐτῆ.

παραβολὴ ἁμαρτωλῆ

25. Ἐν θησαυροῖς σοφίας παραβολαὶ ἐπιστήμης· Βδέλυγμα δὲ ἁμαρτωλῷ θεοσέβεια.

26. Ἐπιθυμήσας σοφίαν, διατήρησον ἐντολάς, Καὶ Κύριος χορηγήσει σοι αὐτήν.

27. Σοφία γὰρ καὶ παιδεία φόβος Κυρίε, Καὶ ἡ εὐδοκία αὐτῆ πίστις καὶ πραΰτης.

28. Μὴ ἀπειθήσης φόβῳ Κυρίε ἐνδεὴς ὤν· Καὶ μὴ προσέλθης αὐτῷ ἐν καρδίᾳ δισῇ.

29. Μὴ ὑποκριθῆς ἐν τόμασιν ἀνθρώπων, Καὶ ἐν τοῖς χείλεσί σε πρόσεχε.

30. Μὴ ἐξύψε σεαυτὸν, ἵνα μὴ πέσης, Καὶ ἐπαγάγῃς τῇ ψυχῇ σε ἀτιμίαν, Καὶ ἀποκαλύψει Κύριος τὰ κρυπτά σε, Καὶ ἐν μέσῳ συναγωγῆς καταβαλεῖ σε· ὅτι ἐ προσῆλθες ἐν ἀληθείᾳ φόβῳ Κυρίε, Καὶ ἡ καρδία σε πλήρης δόλε.

ΚΕΦ. Β'. II.

1. Τέκνον, εἰ προσέρχῃ δελεύειν Κυρίῳ, Ἑτοίμασον τὴν ψυχήν σε εἰς πειρασμόν·

2. Εὔθυνον τὴν καρδίαν σε καὶ καρτέρησον, Καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς·

3. Κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῆς, ἵνα αὐξηθῆς ἐπ' ἐσχάτων σε.

4. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι ἀσμένως, Καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σε μακροθύμησον·

5. Ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς, Καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως.

6. Πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σε, Καὶ εὔθυνον τὰς ὁδές σε, καὶ ἔλπισον ἐπ' αὐτόν.

7. Οἱ φοβέμενοι τὸν Κύριον, ἀναμείνατε τὸ ἔλεος αὐτῆ, Καὶ μὴ ἐκκλίνητε ἵνα μὴ πέσητε·

8. Οἱ φοβέμενοι Κύριον πιστεύσατε αὐτῷ, Καὶ ἐ μὴ πλαίσῃ ὁ μισθὸς ὑμῶν·

9. Οἱ φοβέμενοι Κύριον ἐλπίσατε εἰς ἀγαθὰ, Καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέες.

10. Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς, καὶ ἴδετε· Τίς ἐνεπίστευσε Κυρίῳ, καὶ κατηισχύνθη; ἢ τίς ἐνέμεινεν τῷ φόβῳ αὐτῆ, καὶ ἐγκατελείφθη;

v. 23. ſtich. 2. εὐφροσύνην) εὐφροσύνη. v. 24. ſtich. 2. πολλῶν) πιστῶν. v. 25. ſtich. 2. ἁμαρτωλῆ) ἁμαρτωλῷ. v. 27. ſtich. 2. πραΰτης) πραότης. ſtich. 2. Καὶ εὔθυνον) καὶ deeſt.

CAP. II. v. 1. Κυρίῳ) addit Θεῷ. v. 6.

Ἢ τίς ἐπεκαλέσατο αὐτὸν, καὶ ὑπερεῖδεν αὐτόν;

11. Διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος,
μακρόθυμος καὶ πολυέλεος,
Καὶ ἀφίησιν ἁμαρτίας, καὶ σώζει ἐν καιρῷ θλίψεως.

12. Οὐαὶ καρδίαις δειλαῖς καὶ χερσὶν παρειμέναις,
Καὶ ἁμαρτωλῷ ἐπιβαίνοντι ἐπὶ δύο τρίβους.

13. Οὐαὶ καρδίᾳ παρειμένῃ, ὅτι οὐ πιστεύει·
Διὰ τοῦτο οὐ σκεπασθήσεται.

14. Οὐαὶ ὑμῖν τοῖς ἀπολωλεκόσι τὴν ὑπομονήν·
Καὶ τί ποιήσετε ὅταν ἐπισκέπτηται ὁ Κύριος;

ζητήσουσιν εὐδοκίαν αὐτοῦ

15. Οἱ Φοβούμενοι Κύριον ἐκ ἀπειθήσουσι ῥημάτων αὐτοῦ,
Καὶ οἱ ἀγαπῶντες αὐτὸν συντηρήσουσι τὰς ὁδοὺς αὐτοῦ·

16. Οἱ Φοβούμενοι Κύριον ζητήσουσιν εὐδοκίαν αὐτοῦ,
Καὶ οἱ ἀγαπῶντες αὐτὸν ἐμπλησθήσονται τοῦ νόμου.

17. Οἱ Φοβούμενοι Κύριον ἑτοιμάσουσι καρδίας αὐτῶν,
Καὶ ἐνώπιον αὐτοῦ ταπεινώσουσι τὰς ψυχὰς αὐτῶν, 18. λέγοντες·
Ἐμπεσούμεθα εἰς χεῖρας Κυρίου, καὶ οὐκ εἰς χεῖρας ἀνθρώπων·
Ὡς γὰρ ἡ μεγαλωσύνη αὐτοῦ, οὕτως καὶ τὸ ἔλεος αὐτοῦ.

ΚΕΦ. Γ'. III.

ΕΜοῦ τοῦ πατρὸς ἀκούσατε τέκνα, καὶ οὕτως ποιήσατε, ἵνα σωθῆτε·
2. Ὁ γὰρ Κύριος ἐδόξασε πατέρα ἐπὶ τέκνοις,
Καὶ κρίσιν μητρὸς ἐξερέωσεν ἐφ' υἱοῖς.
3. Ὁ τιμῶν πατέρα, ἐξιλάσκεται ἁμαρτίας·
4. Καὶ ὡς ἀποθησαυρίζων, ὁ δοξάζων μητέρα αὐτοῦ.
5. Ὁ τιμῶν πατέρα εὐφρανθήσεται ὑπὸ τέκνων,
Καὶ ἐν ἡμέρᾳ προσευχῆς αὐτοῦ εἰσακουσθήσεται.
6. Ὁ δοξάζων πατέρα μακροημερεύσει,
Καὶ ὁ εἰσακούων Κυρίῳ ἀναπαύσει μητέρα αὐτοῦ.
7. Ὁ Φοβούμενος τὸν Κύριον τιμήσει πατέρα,
Καὶ ὡς δεσπόταις δουλεύσει (ἐν) τοῖς γεννήσασιν αὐτόν.
8. Ἐν ἔργῳ καὶ λόγῳ τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα,
Ἵνα ἐπέλθῃ σοι εὐλογία παρ' αὐτῶν. αὐτοῦ
9. Εὐλογία γὰρ πατρὸς ἐρίζει οἴκους τέκνων,
Κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια.
10. Μὴ δοξάζου ἐν ἀτιμίᾳ πατρός σου,
Οὐ γὰρ ἔστί σοι δόξα παλαιὸς ἀτιμία·
11. Ἡ γὰρ δόξα ἀνθρώπου ἐκ τιμῆς πατρὸς αὐτοῦ,
Καὶ ὄνειδος τέκνοις μήτηρ ἐν ἀδοξίᾳ.
12. Τέκνον, ἀντιλαβοῦ ἐν γήρᾳ πατρός σου,
Καὶ μὴ λυπήσῃς αὐτὸν ἐν τῇ ζωῇ αὐτοῦ·

13. Καὶ

v. 15. ζητήσουσιν εὐδοκίαν αὐτοῦ) ἐκ ἀπειθήσουσι ῥημάτων αὐτοῦ. CAP. III. v. 3. ἐξιλάσκεται) ἐξιλάσεται. v. 4. ἀποθησαυρίζων) præfigit articulum ὁ.

13. Καὶ ἐὰν ἀπολείπῃ σύνεσιν, συγγνώμην ἔχε,
Καὶ μὴ ἀτιμάσῃς αὐτὸν ἐν πάσῃ ἰσχύϊ σε.
14. Ἐλεημοσύνη γὰρ πατρὸς οὐκ ἐπιλησθήσεται,
Καὶ ἀντὶ ἁμαρτιῶν προσανοικοδομηθήσεταί σοι·
15. Ἐν ἡμέρᾳ θλίψεώς σε ἀναμνησθήσεταί σε·
Ὡς εὐδία ἐπὶ παγετῷ ἔτως ἀναλυθήσονταί σε αἱ ἁμαρτίαι.
16. Ὡς βλάσφημος ὁ ἐγκαταλιπὼν πατέρα,
Καὶ κεκατηραμένος παρὰ Κυρίε ὁ παροργίζων μητέρα αὐτῦ.
17. Τέκνον, τὰ ἔργα σε ἐν πραΰτητι διέξαγε, καὶ ὑπὸ ἀνθρώπε δεκτῦ ἀγαπηθήσῃ.
18. Ὅσῳ μέγας εἶ, τοσέτῳ ταπεινῦ σεαυτὸν,
Καὶ ἔναντι Κυρίε εὑρήσεις χάριν.
19. Πολλοί εἰσιν ὑψηλοὶ καὶ ἐπίδοξοι·
Ἀλλὰ πρᾴοσιν ἀποκαλύπτεται μυστήρια.
20. Ὅτι μεγάλη ἡ δυναστεία Κυρίε,
Καὶ ὑπὸ τῶν ταπεινῶν δοξάζεται.
21. Χαλεπώτερά σε μὴ ζήτει,
Καὶ ἰσχυρότερά σε μὴ ἐξέταζε·
22. Ἃ προσετάγη σοι, ταῦτα διανοῦ ὁσίως·
Οὐ γάρ ἐστί σοι χρεία τῶν κρυπτῶν βλέπειν ὀφθαλμοῖς,
23. Ἐν τοῖς περισσοῖς τῶν ἔργων σε μὴ περιεργάζε·
Πλείονα γὰρ συνέσεως ἀνθρώπων ὑπεδείχθη σοι·
24. Πολλὰς γὰρ ἐπλάνησεν ἡ ὑπόληψις αὐτῶν,
Καὶ ὑπόνοια πονηρὰ ὠλίσθησε διάνοιαν αὐτῶν.
25. Κόρας μὴ ἔχων ἀπορήσεις φωτός·
Γνώσεως δὲ ἄμοιρος ὢν, μὴ ἐπαγγέλλε.
26. Καὶ ὁ ἀγαπῶν κίνδυνον, ἐν αὐτῷ ἀπολεῖται·
Καρδία σκληρὰ κακωθήσεται ἐπ' ἐσχάτων·
27. Καρδία σκληρὰ βαρυνθήσεται πόνοις,
Καὶ ὁ ἁμαρτωλὸς προσθήσει ἁμαρτίαν ἐφ' ἁμαρτίαις.
28. Ἐπαγωγῇ ὑπερηφάνε οὐκ ἔστιν ἴασις·
Φυτὸν γὰρ πονηρίας ἐρρίζωκεν ἐν αὐτῷ.
29. Καρδία συνετῦ διανοηθήσεται παραβολὴν,
Καὶ ἓς ἀκροατῦ ἐπιθυμία σοφῦ.
30. Πῦρ φλογιζόμενον ἀποσβέσει ὕδωρ,
Καὶ ἐλεημοσύνη ἐξιλάσεται ἁμαρτίας.
31. Ὁ ἀνταποδιδὺς χάριτας μέμνηται εἰς τὰ μετὰ ταῦτα,
Καὶ ἐν καιρῷ πλώσεως αὐτῦ εὑρήσει στήριγμα.

ΚΕΦ. Δ'. IV.

1. Τέκνον, τὴν ζωὴν τῦ πλωχῦ μὴ ἀποξερήσῃς,
Καὶ μὴ παρελκύσῃς ὀφθαλμὺς ἐπιδεεῖς·
2. Ψυχὴν πεινῶσαν μὴ λυπήσῃς,
Καὶ μὴ παροργίσῃς ἄνδρα ἐν ἀπορίᾳ αὐτῦ·

v. 13. Καὶ ἐὰν) κἂν. v. 16. stich. 2. παρὰ Κυρίε) ὑπὸ κυρίε. v. 17. τὰ ἔργα σε ἐν πραΰτητι) transpositа. v. 20. Κυρίε) τῦ κυρίε. v. 24. stich. 2. διάνοιαν) διανοίας. v. 26. ἀπολεῖται) ἐμπεσεῖται. v. 31. stich. 2. πλώσεως αὐτῦ) πλώσεως.

3. Καρδίαν παρωργισμένην μὴ προσταράξῃς, καὶ μὴ παρελκύσῃς δόσιν προσδεομένῳ·
4. Ἱκέτην θλιβόμενον μὴ ἀπαναίνῃ, καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σε ἀπὸ πλωχοῦ·
5. Ἀπὸ δεομένου μὴ ἀποστρέψῃς ὀφθαλμὸν,
Καὶ μὴ δῷς τόπον ἀνθρώπῳ καλαράσασθαί σε·
6. Καταρωμένου γάρ σε ἐν πικρίᾳ ψυχῆς αὐτοῦ·
Τῆς δεήσεως αὐτοῦ ἐπακόσεται ὁ ποιήσας αὐτόν.
7. Προσφιλῆ συναγωγῇ σεαυτὸν ποίει, καὶ μεγισάνι ταπείνου τὴν κεφαλήν σου.
8. Κλῖνον πλωχῷ ἀλύπως τὸ οὖς σου,
Καὶ ἀποκρίθητι αὐτῷ εἰρηνικὰ ἐν πραΰτητι.
9. Ἐξελοῦ ἀδικούμενον ἐκ χειρὸς ἀδικοῦντος,
Καὶ μὴ ὀλιγοψυχήσῃς ἐν τῷ κρίνειν σε·
10. Γίνου ὀρφανοῖς ὡς πατὴρ,
Καὶ ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν·
Καὶ ἔσῃ ὡς υἱὸς ὑψίστου,
Καὶ ἀγαπήσει σε μᾶλλον ἢ μήτηρ σου.
11. Ἡ σοφία υἱὸς αὐτῆς ἀνύψωσε,
Καὶ ἐπιλαμβάνεται τῶν ζητούντων αὐτήν.
12. Ὁ ἀγαπῶν αὐτὴν ἀγαπᾷ ζωήν,
Καὶ οἱ ὀρθρίζοντες πρὸς αὐτὴν ἐμπλησθήσονται εὐφροσύνης·
13. Ὁ κρατῶν αὐτῆς κληρονομήσει δόξαν,
Καὶ οὗ εἰσπορεύεται, εὐλογήσει Κύριος· εὐλογεῖ
14. Οἱ λατρεύοντες αὐτῇ λειτουργήσουσιν ἁγίῳ,
Καὶ τοὺς ἀγαπῶντας αὐτὴν ἀγαπᾷ ὁ Κύριος·
15. Ὁ ὑπακούων αὐτῆς κρινεῖ ἔθνη,
Καὶ ὁ προσέχων αὐτῇ, κατασκηνώσει πεποιθώς.
16. Ἐὰν ἐμπιστεύσῃ, κατακληρονομήσει αὐτὴν, ἐμπιστεύσει
Καὶ ἐν καταχέσει ἔσονται αἱ γενεαὶ αὐτοῦ.
17. Ὅτι διεγραμμένως πορεύσεται μετ' αὐτοῦ ἐν πρώτοις,
Φόβον καὶ δειλίαν ἐπάξει ἐπ' αὐτὸν,
Καὶ βασανίσει αὐτὸν ἐν παιδείᾳ αὐτῆς· παιδιᾷ
Ἕως οὗ ἐμπιστεύσῃ τῇ ψυχῇ αὐτοῦ,
Καὶ πειράσῃ αὐτὸν ἐν τοῖς δικαιώμασιν αὐτῆς·
18. Καὶ πάλιν ἐπανήξει κατ' εὐθεῖαν πρὸς αὐτὸν, καὶ εὐφρανεῖ αὐτὸν,
Καὶ ἀποκαλύψει αὐτῷ τὰ κρυπτὰ αὐτῆς.
19. Ἐὰν ἀποπλανηθῇ, ἐγκαταλείψει αὐτὸν,
Καὶ παραδώσει αὐτὸν εἰς χεῖρας πλώσεως αὐτοῦ.
20. Συντήρησον καιρὸν καὶ φύλαξαι ἀπὸ πονηροῦ,
Καὶ περὶ τῆς ψυχῆς σου μὴ αἰσχυνθῇς·
21. Ἔστι γὰρ αἰσχύνη ἐπάγουσα ἁμαρτίαν,
Καὶ

CAP. IV. v. 3. παρωργισμένην) παροργισμένην. v. 11. υἱὸς αὐτῆς) υἱὸς ἑαυτῇ. v. 13. stich. 2. εὐλογεῖ) εὐλογήσει. v. 15. stich. 2. προσέχων) προσελθών. v. 16. ἐμπιστεύσει, κατακληρονομήσει) ἐμπιστεύσῃς κατακληρονομήσεις. v. 17. πορεύσεται) πορεύεται. ibid. stich. 2. Φόβον καὶ) Φύβον δὲ καὶ.

Καὶ ἔστιν αἰσχύνη δόξα καὶ χάρις.

22. Μὴ λάβῃς πρόσωπον κατὰ τῆς ψυχῆς σε,
Καὶ μὴ ἐντραπῇς εἰς πλῶσίν σε.

23. Μὴ κωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας,
Καὶ μὴ κρύψῃς τὴν σοφίαν σε εἰς κακλονήν.

24. Ἐν γὰρ λόγῳ γνωσθήσεται σοφία,
Καὶ παιδεία ἐν ῥήματι γλώσσης.

25. Μὴ ἀντίλεγε τῇ ἀληθείᾳ κατὰ μηδὲ ἕν,
Καὶ περὶ ψεύσματος τῆς ἀπαιδευσίας σε ἐντράπηθι.

26. Μὴ αἰσχυνθῇς ὁμολογῆσαι ἐφ' ἁμαρτίαις σε,
Καὶ μὴ βιάζε ῥοῦν ποταμῦ.

27. Καὶ μὴ ὑποκρώσῃς ἀνθρώπῳ μωρῷ σεαυτὸν,
Καὶ μὴ λάβῃς πρόσωπον δυνάστε.

28. Ἕως θανάτε ἀγώνισαι περὶ τῆς ἀληθείας,
Καὶ Κύριος ὁ Θεὸς πολεμήσει ὑπὲρ σοῦ.

29. Μὴ γίνε ταχὺς ἐν γλώσσῃ σε,
Καὶ νωθρὸς καὶ παρειμένος ἐν τοῖς ἔργοις σε.

30. Μὴ ἴδι ὡς λέων ἐν τῷ οἴκῳ σε,
Καὶ φαντασιοκοπῶν ἐν τοῖς οἰκέταις σε.

31. Μὴ ἔξω ἡ χείρ σε ἐκλεταμένη εἰς τὸ λαβεῖν,
Καὶ ἐν τῷ ἀποδιδόναι συνεσταλμένη.

ΚΕΦ. Ε'. V.

ΜΗ ἔπεχε ἐπὶ τοῖς χρήμασί σε,
Καὶ μὴ εἴπῃς· αὐτάρκη μοι ἐστὶ εἰς ζωήν.

2. Μὴ ἐξακολούθει τῇ ψυχῇ σε καὶ τῇ ἰσχύϊ σε,
Τὰ πορεύεσθαι ἐν ὁδοῖς καρδίας σε.

3. Καὶ μὴ εἴπῃς· τίς με δυναστεύσει διὰ τὰ ἔργα με;
Ὁ γὰρ Κύριος ἐκδικῶν ἐκδικήσει σε τὴν ὕβριν.

4. Μὴ εἴπῃς· ἥμαρτον, καὶ τί μοι ἐγένετο λυπηρόν;
Ὁ γὰρ Κύριός ἐστι μακρόθυμος, ἀ μή σε ἀνῇ.

5. Περὶ ἐξιλασμῷ μὴ ἄφοβος γίνε,
Προσθεῖναι ἁμαρτίαν ἐφ' ἁμαρτίαις·

6. Καὶ μὴ εἴπῃς· ὁ οἰκτιρμὸς αὐτῦ πολὺς,
Τὸ πλῆθος τῶν ἁμαρτιῶν με ἐξιλάσεται·
Ἔλεος γὰρ καὶ ὀργὴ παρ' αὐτῷ,
Καὶ ἐπὶ ἁμαρτωλὸς καταπαύσει ὁ θυμὸς αὐτῦ.

7. Μὴ ἀνάμενε ἐπιστρέψαι πρὸς Κύριον,
Καὶ μὴ ὑπερβάλλε ἡμέραν ἐξ ἡμέρας·
Ἐξάπινα γὰρ ἐξελεύσεται ὀργὴ Κυρίε,
Καὶ ὡς ἀμελήσεις, ἐκριθήσῃ,
Καὶ ἐν καιρῷ ἐκδικήσεως ἐξολῇ.

8. Μὴ ἔπεχε ἐπὶ χρήμασιν ἀδίκοις·
Οὐδὲν γὰρ ὀφελήσει σε ἐν ἡμέρᾳ ἐπαγωγῆς.

9. Μὴ λίκμα ἐν παντὶ ἀνέμῳ,

V. 27. ἀνθρώπῳ μωρῷ σεαυτὸν) σεαυτὸν ἀνθρ. μωρῷ.] V. 28. Ἕως θανάτου) ἕως τῦ θανάτου. V. 29. ταχὺς) τραχὺς. CAP. V. v. 2. addit *Edit. Rom.* ſtich. 2. his verbis: τὰ πορεύεσθαι ἐν ἐπιθυμίαις καρδίας σου. v. 3. ſtich. 2. ἐκδικήσει) addit σε. v. 6. ſtich. 3. παρ' αὐτῷ) πας' αὐτοῦ. v. 8. ſtich. 2. ὀφελήσει σε) ὠφελήσεις.

Καὶ μὴ πορεύϑ ἐν πάσῃ ἀτραπῷ·
Οὕτως ὁ ἁμαρτωλὸς ὁ δίγλωσσος.
10. Ἴϑι ἐσηριγμένος ἐν συνέσει σϑ,
Καὶ εἷς ἔσω σϑ ὁ λόγος.
11. Γίνϑ ταχὺς ἐν ἀκροάσει σϑ,
Καὶ ἔσω ἐν ἀληϑείᾳ ἡ ζωή σϑ,
Καὶ ἐν μακροθυμίᾳ φϑέγγϑ ἀπόκρισιν.
12. Εἰ ἔσι σοι σύνεσις, ἀποκρίϑητι τῷ πλησίον·
Εἰ δὲ μὴ, ἡ χείρ σϑ ἔσω ἐπὶ στόματί σϑ.
13. Δόξα καὶ ἀτιμία ἐν λαλιᾷ,
Καὶ γλῶσσα ἀνθρώπϑ πῶσις αὐτῷ.
14. Μὴ κληθῇς ψίθυρος,
Καὶ τῇ γλώσσῃ σϑ μὴ ἐνέδρευε·
Ἐπὶ γὰρ τῷ κλέπλῃ ἐσὶν αἰσχύνη μοχθηρὰ,
Καὶ κατάγνωσις πονηρὰ ἐπὶ διγλώσσϑ.
15. Ἐν μεγάλῳ καὶ ἐν μικρῷ μὴ ἀγνόει μηδέν.

ΚΕΦ. ς'. VI.

ΚΑΙ ἀντὶ φίλϑ μὴ γίνϑ ἐχθρός·
Ὄνομα γὰρ πονηρὸν αἰσχύνην καὶ ὄνειδος κληρονομήσεις·
κληρονομήσει
Οὕτως ὁ ἁμαρτωλὸς ὁ δίγλωσσος.
2. Μὴ ἐπάρῃς σεαυτὸν ἐν βελῇ ψυχῆς σϑ,
Ἵνα μὴ διαρπαγῇ ὡς ταῦρος ἡ ψυχή σϑ·
3. Τὰ φύλλα σϑ καταφάγεσαι, καὶ τὸς καρπός σϑ ἀπολέσεις,
φύλλον
Καὶ ἀφήσεις σεαυτὸν ὡς ξύλον ξηρόν.
4. Ψυχὴ πονηρὰ ἀπολεῖ τὸν κλησάμενον αὐτὴν,
Καὶ ἐπίχαρμα ἐχθρῶν ποιήσει αὐτόν.
5. Λάρυγξ γλυκὺς πληθυνεῖ φίλϑς αὐτῷ,
Καὶ γλῶσσα εὔλαλος πληθυνεῖ εὐπροσήγορα.
6. Οἱ εἰρηνεύοντές σοι ἔσωσαν πολλοί·
Οἱ δὲ σύμβολοί σϑ εἷς ἀπὸ χιλίων.
7. Εἰ κλᾶσαι φίλον, ἐν πειρασμῷ κλῆσαι αὐτὸν,
Καὶ μὴ ταχὺ ἐμπισεύσης αὐτῷ.
8. Ἔσι γὰρ φίλος ἐν καιρῷ αὐτῷ,
Καὶ ὐ μὴ παραμείνῃ ἐν ἡμέρᾳ θλίψεώς σϑ·
9. Καὶ ἔσι φίλος μετατιθέμενος εἰς ἔχθραν, ἐχθρὸν
Καὶ μάχην ὀνειδισμῷ σϑ ἀποκαλύψει·
10. Καὶ ἔσι φίλος κοινωνὸς τραπεζῶν,
Καὶ ὐ μὴ παραμείνῃ ἐν ἡμέρᾳ θλίψεώς σϑ·
11. Καὶ ἐν τοῖς ἀγαθοῖς σϑ ἔσαι ὡς σὺ,
Καὶ ἐπὶ τὲς οἰκέτας σϑ παῤῥησιάσεται·
12. Ἐὰν ταπεινωθῇς, ἔσαι κατὰ σϑ,
Καὶ ἀπὸ τῦ προσώπϑ σϑ κρυβήσεται.
13. Ἀπὸ τῶν ἐχθρῶν σϑ διαχωρίϑητι,
Καὶ ἀπὸ τῶν φίλων σϑ πρόσεχε.
14. Φίλος πισὸς σκέπη κραιαιά·
Ὁ δὲ εὑρὼν αὐτὸν, εὗρε θησαυρόν.
15. Φίλϑ πισῦ ὐκ ἔσιν ἀντάλλαγμα,
Καὶ ὐκ ἔσι σαθμὸς τῆς καλλονῆς αὐτῦ.
16. Φίλος πισὸς φάρμακον ζωῆς,
Καὶ οἱ φοβέμενοι Κύριον εὑρήσϑσιν αὐτόν.
17. Ὁ φο-

CAP. VI. v. 3. stich. 2. ὡς φύλλον) ὡς ξύλον. v. 9. εἰς ἐχθρὸν) εἰς ἐχθράν.

17. Ὁ φοβούμενος Κύριον εὐθύνει φιλίαν αὐτοῦ,
Ὅτι καθ' αὐτὸν ἔτως καὶ ὁ πλησίον αὐτοῦ.
18. Τέκνον ἐκ νεότητός σε ἐπίλεξαι παιδείαν,
Καὶ ἕως πολιῶν εὑρήσεις σοφίαν.
19. Ὡς ὁ ἀροτριῶν καὶ ὡς ὁ σπείρων πρόσελθε αὐτῇ,
Καὶ ἀνάμενε τὰς ἀγαθὰς καρπὰς αὐτῆς·
Ἐν γὰρ τῇ ἐργασίᾳ αὐτῆς ὀλίγον κοπιάσεις,
Καὶ ταχὺ φάγεσαι τῶν γενημάτων αὐτῆς.
20. Ὡς τραχεῖά ἐστι σφόδρα τοῖς ἀπαιδεύτοις,
Καὶ ἐκ ἐμμενεῖ ἐν αὐτῇ ἀκάρδιος·
21. Ὡς λίθος δοκιμασίας ἰσχυρὸς ἔσαι ἐπ' αὐτῷ,
Καὶ ὲ χρονιεῖ ἀποῤῥίψαι αὐτήν.
22. Σοφία γὰρ κατὰ τὸ ὄνομα αὐτῆς ἐστί,
Καὶ ὲ πολλοῖς ἐστι φανερά.
23. Ἄκουσον τέκνον καὶ ἔκδεξαι τὴν γνώμην μου,
Καὶ μὴ ἀπαναίνου τὴν συμβουλίαν μου·
24. Καὶ εἰσένεγκαι τοὺς πόδας σου εἰς τὰς πέδας αὐτῆς,
Καὶ εἰς τὸν κλοιὸν αὐτῆς τὸν τράχηλόν σου·
25. Ὑπόθες τὸν ὦμόν σου, καὶ βάσαξον αὐτήν,
Καὶ μὴ προσοχθίσῃς τοῖς δεσμοῖς αὐτῆς·
26. Ἐν πάσῃ ψυχῇ σου πρόσελθε αὐτῇ,
Καὶ ἐν ὅλῃ δυνάμει σου τήρησον τὰς ὁδοὺς αὐτῆς.
27. Ἐξίχνευσον καὶ ζήτησον, καὶ γνωσθήσεταί σοι,
Καὶ ἐγκρατὴς γενόμενος μὴ ἀφῇς αὐτήν·
28. Ἐπ' ἐσχάτων γὰρ εὑρήσεις τὴν ἀνάπαυσιν αὐτῆς,
Καὶ στραφήσεταί σοι εἰς εὐφροσύνην·
29. Καὶ ἔσονταί σοι αἱ πέδαι εἰς σκέπην ἰσχύος,
Καὶ οἱ κλοιοὶ αὐτῆς εἰς στολὴν δόξης.
30. Κόσμος γὰρ χρύσεός ἐστιν ἐπ' αὐτῆς,
Καὶ οἱ δεσμοὶ αὐτῆς κλῶσμα ὑακίνθινον·
31. Στολὴν δόξης ἐνδύσῃ αὐτὴν, καὶ στέφανον ἀγαλλιάματος περιθήσεις σεαυτῷ.
32. Ἐὰν θέλῃς τέκνον, παιδευθήσῃ,
Καὶ ἐὰν ἐπιδῷς τὴν ψυχήν σου, πανοῦργος ἔσῃ·
33. Καὶ ἐὰν ἀγαπήσῃς ἀκούειν, ἐκδέξῃ σύνεσιν,
Καὶ ἐὰν κλίνῃς τὸ οὖς σου, σοφὸς ἔσῃ.
34. Ἐν πλήθει πρεσβυτέρων στῆθι,
Καὶ τίς σοφὸς αὐτῷ προσκολλήθητι·
35. Πᾶσαν διήγησιν θείαν θέλε ἀκροᾶσθαι,
Καὶ παροιμίαι συνέσεως μὴ ἐκφυγέτωσάν σε·
36. Ἐὰν ἴδῃς συνετὸν, ὄρθριζε πρὸς αὐτὸν,
Καὶ βαθμὸς θυρῶν αὐτοῦ ἐκτριβέτω ὁ πούς σου.

37. Δια-

v. 19. καὶ ὡς ὁ σπείρων) ὡς deeſt. ibid. ſtich. 4. τῶν γενημάτων) γεννημάτων. v. 23. καὶ ἔκδεξαι τὴν γν.) καὶ δέξαι γνώμην. v. 24. εἰσένεγκαι) εἰσένεγκον. v. 26. ſtich. 2. τήρησον) συντήρησον. v. 32. ſtich. 2. ἐπιδῷς) δῷς. v. 33. Καὶ ἐὰν) Καὶ abeſt. v. 35. ἀκροᾶσθαι) ἀκούειν. ibid. ſtich. 2. ἐκφυγέτωσαν) ἐκφευγέτωσαν.

37. Διανοε ἐν τοῖς προσάγμασι Κυρίε,
Καὶ ἐν ταῖς ἐντολαῖς αὐτῦ μελέτα διαπαντός·
Αὐτὸς στηριεῖ τὴν καρδίαν σε,
Καὶ ἡ ἐπιθυμία τῆς σοφίας δοθήσεταί σοι.

ΚΕΦ. Ζ'. VII.

ΜΗ ποιει κακὰ, καὶ ὲ μή σε καταλάβῃ κακόν·
2. Ἀπόστηθι ἀπὸ ἀδίκε, καὶ ἐκκλινεῖ ἀπὸ σῦ ἀδικία·
3. Υἱὲ μὴ σπεῖρε ἐπ' αὔλακας ἀδικίας,
Καὶ ὲ μὴ θερίσης αὐτὰ ἑπταπλάσια.
4. Μὴ ζήτει παρὰ Κυρίε ἡγεμονίαν,
Μηδὲ παρὰ βασιλέως καθέδραν δόξης.
5. Μὴ δικαιῦ ἔναντι Κυρίε,
Καὶ παρὰ βασιλεῖ μὴ σοφίζε.
6. Μὴ ζήτει γενέσθαι κριτὴς,
ἰσχύσεις Μὴ ὲκ ἰσχύος ἐξάραι ἀδικίας·
Μήποτε εὐλαβηθῇς ἀπὸ προσώπε δυνάστε,
Καὶ θήσεις σκάνδαλον ἐν εὐθύτητί σε.
7. Μὴ ἁμάρταν εἰς πλῆθος πόλεως,
Καὶ μὴ καταβάλῃς σεαυτὸν ἐν ὄχλῳ.
8. Μὴ καταδεσμεύσῃς δὶς ἁμαρτίαν·
Ἐν γὰρ μιᾷ ὲκ ἀθῷος ἔσῃ.
9. Μὴ εἴπῃς· τῷ πλήθει τῶν δώρων με ἐπόψεται,
ἐπόψομαι Καὶ ἐν τῷ προσενέγκαι με Θεῷ ὑψίστῳ, προσδέξεται.
10. Μὴ ὀλιγοψυχήσῃς ἐν τῇ προσευχῇ σε, καὶ ἐλεημοσύνην ποιῆσαι μὴ παρίδῃς.
11. Μὴ καταγέλα ἄνθρωπον ὄντα ἐν πικρίᾳ ψυχῆς αὐτῦ·
Ἔστι γὰρ ὁ ταπεινῶν καὶ ὑψῶν.
12. Μὴ ἀροτρία ψεῦδος ἐπ' ἀδελφῷ σε,
Μηδὲ φίλῳ τὸ ὅμοιον ποιεῖ.
13. Μὴ θέλε ψεύδεσθαι πᾶν ψεῦδος·
Ὁ γὰρ ἐνδελεχισμὸς αὐτῦ ὲκ εἰς ἀγαθόν.
14. Μὴ ἀδολέχει ἐν πλήθει πρεσβυτέρων,
Καὶ μὴ δευτερώσῃς λόγον ἐν προσευχῇ σε.
15. Μὴ μισήσῃς ἐπίπονον ἐργασίαν
Καὶ γεωργίαν ὑπὸ ὑψίστε ἐκλισμένην.
16. Μὴ προσλογίζε σεαυτὸν ἐν πλήθει ἁμαρτωλῶν·
Μνήσθητι ὅτι ὀργὴ ὲ χρονιεῖ.
17. Ταπείνωσον σφόδρα τὴν ψυχήν σε,
ὅτι ἐκδίκησις ἀσεβῦς πῦρ καὶ σκώληξ.
18. Μὴ ἀλλάξῃς φίλον διαφόρε κατὰ μηδὲν, ἀδιαφόρε
Μηδὲ ἀδελφὸν γνήσιον ἐν χρυσίῳ Ὠφείρ.
19. Μὴ ἀσχόχει γυναικὸς σοφῆς καὶ ἀγαθῆς·
Ἡ γὰρ χάρις αὐτῆς ὑπὲρ τὸ χρυσίον.
20. Μὴ κακώσῃς οἰκέτην ἐργαζόμενον ἐν ἀληθείᾳ,
Μηδὲ μίσθιον διδόντα τὴν ψυχὴν αὐτῦ·
21. Οἰκέ-

v. 37. ſtich. 4. τῆς σοφίας) addit σε. CAP. VII. v. 3. ſtich. 2. αὐτὰ ἑπταπλάσια) αὐτὰς ἑπταπλασίως. v. 6 ſtich. 2. ἰσχύσεις) ἐξισχύσεις. v. 8. ſtich. 2. Ἐν γὰρ μιᾷ) ἐν γὰρ τῇ μιᾷ. v. 9. ἐπόψομαι) ἐπόψεται. v. 16. ſtich. 2. & v. 17. in *Rom.* inverſo ordine leguntur : ταπείνωσον σφόδρα τὴν ψυχήν σε, μνήσθητι ὅτι ὀργὴ οὐ χρονιεῖ. v. 18. ἀδιαφόρε) ἕνεκεν ἀδιαφόρε. ibid. ſtich. 2. Μηδὲ ἀδ.) μηδ' ἀδ. v. 19. ſtich. 2. Ἡ γὰρ) καὶ γὰρ. v. 20. ſtich. 2. τὴν ψυχὴν) abſque articulo.

21. Οἰκέτην συνετὸν ἀγαπάτω σε ἡ ψυχή·
Μὴ στερήσῃς αὐτὸν ἐλευθερίας.
22. Κτήνη σοί ἐσιν, ἐπισκέπ͂ου αὐτά,
Καὶ εἰ ἔσι σοι χρήσιμα, ἐμμενέτω σοι.
23. Τέκνα σοί ἐσι, παίδευσον αὐτά,
Καὶ κάμψον ἐκ νεότητος τὸν τράχηλον αὐτῶν·
24. Θυγατέρες σοί εἰσι, πρόσεχε τῷ σώματι αὐτῶν,
αὐτὰ Καὶ μὴ ἱλαρώσῃς πρὸς αὐτὰς τὸ πρόσωπόν σε.
25. Ἐκδὸς θυγατέρα, καὶ ἔσῃ τετελεκὼς ἔργον μέγα·
Καὶ ἀνδρὶ συνετῷ δώρησαι αὐτήν.
26. Γυνή σοι ἐσὶ κατὰ ψυχὴν, μὴ ἐκβάλῃς αὐτήν·
Μισκμένη δὲ μὴ ἐκδῶς σεαυτόν.
δυνάμει 27. Ἐν ὅλῃ καρδίᾳ σε δόξασον τὸν πατέρα σε,
Καὶ μητρὸς ὠδῖνας μὴ ἐπιλάθῃ·
28. Μνήθητι ὅτι δι' αὐτῶν ἐγεννήθης,
Καὶ τί ἀνταποδώσεις αὐτοῖς καθὼς αὐτοὶ σοί;
29. Ἐν ὅλῃ ψυχῇ σε εὐλαβ͂ου τὸν Κύριον,
Καὶ τὰς ἱερεῖς αὐτ͂ου θαύμαζε·
30. Ἐν ὅλῃ δυνάμει ἀγάπησον τὸν ποιήσαντά σε,
Καὶ τὰς λειτουργὰς αὐτ͂ου μὴ ἐγκαταλίπῃς.
31. Φοβ͂ου τὸν Κύριον, καὶ δόξασον ἱερέα,
Καὶ δὸς τὴν μερίδα αὐτῷ, καθὼς ἐντέταλταί σοι,
Ἀπαρχὴν καὶ περὶ πλημμελείας, καὶ δόσιν βραχιόνων,
Καὶ θυσίαν ἁγιασμ͂ου καὶ ἀπαρχὴν ἁγίων.
32. Καὶ πλωχῷ ἔκλεινον τὴν χεῖρά σε,
Ἵνα τελειωθῇ ἡ εὐλογία σε.
33. Χάρις δόματος ἔναντι παντὸς ζῶντος,
Καὶ ἐπὶ νεκρῷ μὴ ἀποκωλύσῃς χάριν.
34. Μὴ ὑστέρει ἀπὸ κλαιόντων,
Καὶ μετὰ πενθούντων πένθησον.
35. Μὴ ὄκνει ἐπισκέπ͂εσθαι ἀῤῥώσον·
Ἐκ γὰρ τῶν τοιούτων ἀγαπηθήσῃ.
36. Ἐν πᾶσι τοῖς λόγοις σε μιμνήσκε τὰ ἔσχατά σε,
Καὶ εἰς τὸν αἰῶνα οὐ μὴ ἁμαρτήσεις.

ΚΕΦ. Η'. VIII.

ΜΗ διαμάχε μετὰ ἀνθρώπε δυνάσε,
Μήποτε ἐμπέσῃς εἰς τὰς χεῖρας αὐτ͂ου.
2. Μὴ ἔριζε μετὰ ἀνθρώπε πλουσίε,
Μήποτε ἀντισῇ σε τὴν ὁλκήν·
Πολλὰς γὰρ ἀπώλεσεν τὸ χρυσίον,
Καὶ καρδίας βασιλέων ἐξέκλινεν.
3. Μὴ διαμάχου μετὰ ἀνθρώπε γλωσσώδες,
Καὶ μὴ ἐπισοιβάσῃς ἐπὶ τὸ πῦρ αὐτ͂ου ξύλα.
4. Μὴ πρόσπαιζε ἀπαιδεύτῳ, ἵνα μὴ ἀτιμάζωνται οἱ πρόγονοί σε.
5. Μὴ ὀνείδιζε ἀνθρωπον ἀποστρέφοντα ἀπὸ ἁμαρτίας·
Μνήθητι ὅτι πάντες ἐσμὲν ἐν ἐπιτιμίοις.
6. Μὴ ἀτιμάσῃς ἄνδρα ἐν γήρᾳ αὐτ͂ου· ἐπιλίμοις
Καὶ γὰρ ἐξ ἡμῶν γηράσκουσιν.
7. Μὴ

v. 24. stich. 2. πρὸς αὐτὰ) πρὸς αὐτὰς. v. 27. δυνάμει σε) καρδίᾳ. v. 28. ἐγεννήθης) ἐγενήθης. CAP. VIII. v. 2. stich. 2. ἀντισῇ) ἀντισήσῃ. v. 5. stich. 2. ἐπιτίμοις) ἐπιτιμίοις. v. 6. ἄνδρα ἐν γήρᾳ) ἄνθρωπον ἐν γήρει.

7. Μὴ ἐπίχαιρε ἐπὶ νεκρῷ τῷ ἐχθροτάτῳ σε·
Μνήσθητι ὅτι πάντες τελευτῶμεν.
8. Μὴ παρίδῃς διήγημα σοφῶν,
Καὶ ἐν ταῖς παροιμίαις αὐτῶν ἀναστρέφε·
Ὅτι παρ' αὐτῶν μαθήσῃ παιδείαν,
Καὶ λειτουργῆσαι μεγίσταισιν εὐμαρῶς.
9. Μὴ ἀσχόλει διηγήματος γερόντων·
Καὶ γὰρ αὐτοὶ ἔμαθον παρὰ τῶν πατέρων αὐτῶν·
Ὅτι παρ' αὐτῶν μαθήσῃ σύνεσιν,
Καὶ ἐν καιρῷ χρείας δοῦναι ἀπόκρισιν.
10. Μὴ ἔκκαιε ἀνθρακας ἁμαρτωλοῦ,
Μὴ ἐμπυρισθῇς ἐν πυρὶ φλογὸς αὐτοῦ.
11. Μὴ ἐξαναστῇς ἀπὸ προσώπου ὑβριστοῦ,
ἵνα μὴ ἐγκαθίσῃ ὡς ἔνεδρον τῷ σώματί σου.
12. Μὴ δανείσῃς ἀνθρώπῳ ἰσχυροτέρῳ σου,
Καὶ ἐὰν δανείσῃς, ὡς ἀπολωλεκὼς γίνου.
13. Μὴ ἐγγυήσῃ ὑπὲρ δύναμίν σου·
Καὶ ἐὰν ἐγγυήσῃ, ὡς ἀποτίσων φρόντιζε.
14. Μὴ δικάζου μετὰ κριτοῦ·
Κατὰ γὰρ τὴν δόξαν αὐτοῦ κρινοῦσιν αὐτῷ.
15. Μετὰ τολμηροῦ μὴ πορεύου ἐν ὁδῷ,
Ἵνα μὴ βαρύνηται κατὰ σοῦ·
Αὐτὸς γὰρ κατὰ τὸ θέλημα αὐτοῦ ποιήσει,
Καὶ τῇ ἀφροσύνῃ αὐτοῦ συναπολῇ.
16. Μετὰ θυμώδους μὴ ποιήσῃς μάχην,
Καὶ μὴ διαπορεύου μετ' αὐτοῦ τὴν ἔρημον·
Ὅτι ὡς ἐδὲν ἐν ὀφθαλμοῖς αὐτοῦ αἷμα,
Καὶ ὅπου οὐκ ἔστιν βοήθεια, καταβαλεῖ σε.
17. Μετὰ μωροῦ μὴ συμβουλεύου·
Οὐ γὰρ δυνήσεται λόγον στέξαι.
18. Ἐνώπιον ἀλλοτρίου μὴ ποιήσῃς κρυπτόν·
Οὐ γὰρ γινώσκεις τί τέξεται.
19. Παντὶ ἀνθρώπῳ μὴ ἔκφαινε καρδίαν σου,
Καὶ μὴ ἀναφερέτω σοι χάριν ψευδῆ.

ΚΕΦ. Θ'. IX.

ΜΗ ζήλου γυναῖκα τοῦ κόλπου σου,
Μηδὲ διδάξῃς ἐπὶ σεαυτὸν παιδείαν πονηράν·
2. Μὴ δῷς γυναικὶ τὴν ψυχήν σου,
Ἐπιβῆναι αὐτὴν ἐπὶ τὴν ἰσχύν σου.
3. Μὴ ὑπάντα γυναικὶ ἑταιριζομένῃ,
Μήποτε ἐμπέσῃς εἰς τὰς παγίδας αὐτῆς.
4. Μετὰ ψαλτρίσης μὴ ἐνδελέχιζε,
Μήποτε ἁλῷς ἐν τοῖς ἐπιχειρήμασιν αὐτῆς.
5. Παρθένου μὴ καταμάνθανε,
Μήποτε σκανδαλισθῇς ἐν τοῖς ἐπιτιμίοις αὐτῆς.
6. Μὴ δῷς πόρναις τὴν ψυχήν σου,
Ἵνα μὴ ἀπολέσῃς τὴν κληρονομίαν σου.
7. Μὴ περιβλέπου ἐν ῥύμαις πόλεως,
Καὶ ἐν ταῖς ἐρημίαις αὐτῆς μὴ πλανῶ. ἐρήμοις
8. Ἀπόστρεψον ὀφθαλμὸν ἀπὸ γυναικὸς κεχαριτωμένης, εὐμόρφου
Καὶ μὴ καταμάνθανε κάλλος ἀλλότριον·
Ἐν κάλλει γυναικὸς πολλοὶ ἐπλανήθησαν·

Καὶ

v. 19. καρδίαν σε) σὴν καρδίαν.

Καὶ ἐκ τέτε φιλία ὡς πῦρ ἀναικαίεται.

9. Μετὰ ὑπάνδρε γυναικὸς μὴ κάθε τὸ σύνολον,
Καὶ μὴ συμμετακλιθῇς ἐπ' ἀγκῶνα μετ' αὐτῆς,
Καὶ μὴ συμβολοκοπήσῃς μετ' αὐτῆς ἐν οἴνῳ·
Μήποτε ἐκκλίνῃ ἡ ψυχή σε ἐπ' αὐτὴν,
Καὶ τῷ πνεύματί σε ὀλισθήσῃ εἰς ἀπώλειαν.

10. Μὴ ἐγκαταλίπῃς φίλον ἀρχαῖον·
Ὁ γὰρ πρόσφατος ἐκ ἔστιν ἔπισος αὐτῷ·
Οἶνος νέος, φίλος νέος·
Ἐὰν παλαιωθῇ, μετ' εὐφροσύνη πίεσαι αὐτόν.

11. Μὴ ζηλώσῃς δόξαν ἁμαρτωλῦ·
Οὐ γὰρ οἶδας τίς ἔσαι ἡ καταστροφὴ αὐτῦ.

12. Μὴ εὐδοκήσῃς ἐν εὐδοκίᾳ ἀσεβῶν·
Μνήσθητι ὅτι ἕως ᾅδε ἀ μὴ δικαιωθῶσιν.

13. Μακρὰν ἄπεχε ἀπὸ ἀνθρώπε ὃς ἔχει ἐξεσίαν τῦ φονεύειν,
Καὶ ἀ μὴ ὑποπλεύσῃς φόβον θανάτε·
Κἂν προσέλθῃς, μὴ πλημμελήσῃς,
Ἵνα μὴ ἀφελῇ τὴν ζωήν σε παραχρῆμα·
παγίδος Ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις,
Καὶ ἐπὶ ἐπάλξεων πόλεων περιπατεῖς.
τῷ 14. Κατὰ τὴν ἰσχύν σε σόχασαι τῦ πλησίον,
Καὶ μετὰ σοφῶν βελεύε·

15. Μετὰ συνετῶν ἔστω ὁ διαλογισμός σε,
Καὶ πᾶσα ἡ διήγησίς σε ἐν νόμῳ ὑψίσε.

16. Ἄνδρες δίκαιοι ἔστωσαν σύνδειπνοί σε,
Καὶ ἐν φόβῳ Κυρίε ἔστω τὸ καύχημά σε.

17. Ἐν χειρὶ τεχνιτῶν ἔργον ἐπαινεθήσεται, ἐπαινε-
Καὶ ὁ ἡγέμενος λαῦ σοφὸς ἐν λόγῳ θήσεται
αὐτῦ.

18. Φοβερὸς ἐν πόλει αὐτῦ ἀνὴρ γλωσσώδης,
Καὶ ὁ προπετὴς ἐν λόγῳ αὐτῦ μισηθήσεται.

ΚΕΦ. Ι'. Χ.

ΚΡιτὴς σοφὸς παιδεύσει τὸν λαὸν αὐτῦ,
Καὶ ἡγεμονία συνετῦ τεταγμένη ἔσαι.

2. Κατὰ τὸν κριτὴν τῦ λαῦ αὐτῦ, ἕτως οἱ λειτεργοὶ αὐτῦ,
Καὶ κατὰ τὸν ἡγέμενον τῆς πόλεως πάντες οἱ κατοικοῦντες αὐτήν.

3. Βασιλεὺς ἀπαίδευλος ἀπολεῖ τὸν λαὸν αὐτῦ·
Καὶ πόλις οἰκισθήσεται ἐν συνέσει δυναςῶν.

4. Ἐν χειρὶ Κυρίε ἡ ἐξεσία τῆς γῆς,
Καὶ τὸν χρήσιμον ἐγερεῖ εἰς καιρὸν ἐπ' αὐτῆς.

5. Ἐν χειρὶ Κυρίε εὐοδία ἀνδρὸς,

CAP. IX. v. 9. ſtich. 5. ὀλισθήσῃ) ὀλισθήσῃς. v. 10. ſtich. 2. ἔπισος) ἔφισος. ibid. ſtich. 4. μετ' εὐφροσύνης) μετ' εὐφροσύνης. v. 12. εὐδοκίᾳ) ἐν εὐδοκίᾳ. v. 13. ſtich. 4. ἀφελῇ) ἀφέληται. ibid. ſtich. 5. παγίδος) παγίδων. v. 14. τῷ πλησίον) τὰς πλησίον. ibid. ſtich. 2. βελεύε) συμβελεύου. v. 15. Μετὰ) καὶ μετὰ. ibid. ſtich. 2. ἡ διήγησις) absque articulo. v. 17. ἐπαινεθήσεται) ἐπαινεθήσεται. CAP. X. v. 2. ἕτως οἱ) ἕτως καὶ οἱ. v. 4. ἡ ἐξεσία) absque articulo.

Καὶ προσώπῳ γραμματέως ἐπιθήσει δόξαν αὐτῷ.

6. Ἐπὶ παντὶ ἀδικήματι μὴ μνίσῃς τῷ πλησίον,
Καὶ μὴ πράσσε μηδὲν ἐν ἔργοις ὕβρεως.

7. Μισητὴ ἔναντι Κυρίῳ καὶ ἀνθρώπων ὑπερηφανία,
ἀδικία Καὶ ἐξ ἀμφοτέρων πλημμελήσει ἄδικα.

8. Βασιλεία ἀπὸ ἔθνους εἰς ἔθνος μετάγεται,
Διὰ ἀδικίας καὶ ὕβρεις καὶ χρήματα δόλια.

9. Φιλαργύρα μὲν γὰρ ἀδὲν ἀνομώτερον·
Οὗτος γὰρ καὶ τὴν ἑαυτῷ ψυχὴν ἐκπρακτὸν ποιεῖ.

10. Τί ὑπερηφανεύεται γῆ καὶ σποδός;
ἔρριψα Ὅτι ἐν ζωῇ ἔρριψαν τὰ ἐνδόθια αὐτῷ,
Μακρὸν ἀῤῥώστημα σκώπτει ἰατρός·
καὶ βασιλεὺς σήμερον, καὶ αὔριον τελευτήσει·

11. Ἐν γὰρ τῷ ἀποθανεῖν ἄνθρωπον,
κληρονομήσει ἑρπετὰ καὶ θηρία καὶ σκώληκας.

12. Ἀρχὴ ὑπερηφανίας ἀνθρώπῳ ἀφισαμένου ἀπὸ Κυρίῳ,
Καὶ ἀπὸ τῷ ποιήσαντος αὐτὸν ἀπέστη ἡ καρδία αὐτῷ·

13. Ὅτι ἀρχὴ ὑπερηφανίας ἁμαρτία,
Καὶ ὁ κρατῶν αὐτῆς ἐξομβρήσει βδέλυγμα.
Διὰ τοῦτο παρεδόξασε Κύριος τὰς ἐπαγωγὰς,
Καὶ κατέστρεψεν εἰς τέλος αὐτούς·

14. Θρόνους ἀρχόντων καθεῖλεν ὁ Κύριος,
Καὶ ἐκάθισε πραεῖς ἀντ' αὐτῶν·

15. Ῥίζας ἐθνῶν ὑπερηφάνων ἐξέτιλεν ὁ Κύριος,
Καὶ ἐφύτευσε ταπεινὸς ἀντ' αὐτῶν·

16. Χώρας ἐθνῶν κατέστρεψεν ὁ Κύριος,
Καὶ ἀπώλεσεν αὐτὰς ἕως θεμελίων γῆς·

17. Ἐξῆρεν αὐτοὺς καὶ ἀπώλεσεν αὐτούς,
Καὶ κατέπαυσεν ἀπὸ γῆς τὸ μνημόσυνον αὐτῶν.

18. Οὐκ ἔκλισαι ἀνθρώποις ὑπερηφανίαν,
Οὐδὲ ὀργὴ θυμῷ γεννήμασι γυναικῶν.

19. Σπέρμα ἔντιμον ποῖον; σπέρμα ἀνθρώπῳ·
Σπέρμα ἔντιμον ποῖον; οἱ φοβέμενοι τὸν Κύριον·
Σπέρμα ἄτιμον ποῖον; σπέρμα ἀνθρώπῳ·
Σπέρμα ἄτιμον ποῖον; οἱ παραβαίνοντες ἐντολάς.

20. Ἐν μέσῳ ἀδελφῶν ὁ ἡγέμενος αὐτῶν ἔντιμος,
Καὶ οἱ φοβέμενοι Κύριον ἐν ὀφθαλμοῖς αὐτοῦ.

21. Πρὸ λήξεως ἀρχῆς φόβος Κυρίῳ·
Ἐκβολὴ δὲ ἀρχῆς σκληρισμὸς καὶ ὑπερηφανία.

22. Πλέσιος καὶ ἔνδοξος καὶ πλωχὸς,
Τὸ καύχημα αὐτῶν φόβος Κυρίῳ.

23. Οὐ δίκαιον ἀτιμάσαι πλωχὸν συνετὸν,
Καὶ ἐ καθῆκεν δοξάσαι ἄνδρα ἁμαρτωλόν.

24. Μεγισὰν καὶ κριτὴς καὶ δυνάσης δοξαθήσεται·
Καὶ ἐκ ἔσιν αὐτῶν τις μείζων τῶν φοβεμένων τὸν Κύριον.

25. Οἰκέτη σοφῷ ἐλεύθεροι λειτουργήσουσι·
Καὶ ἀνὴρ ἐπισήμων ἐ γογγύσει παιδευόμενος.

26. Μὴ

v. 6. μνίσης) μνιάσης. v. 7. stich. 2. ἀδικία) ἄδικα. v. 17. Ἐξῆρεν αὐτοὺς) ἐξήρανεν ἐξ αὐτῶν. v. 23. stich. 2. καθῆκεν) καθήκει. v. 24. stich. 2. τῶν φοβεμένων) τοῖς φοβεμένοις.

26. Μὴ σοφίζε ποιῆσαι τὸ ἔργον σε,
Καὶ μὴ δοξάζε ἐν καιρῷ σενοχωρίας σε.
27. Κρείσσων ἐργαζόμενος καὶ περισσεύων ἐν πᾶσιν,
Ἢ περιπατῶν δοξαζόμενος καὶ ὑσερῶν ἄρτων.
28. Τέκνον, ἐν πραΰτητι δόξασον τὴν ψυχήν σε,
Καὶ δὸς αὐτῇ τιμὴν κατὰ τὴν ἀξίαν αὐτῆς.
29. Τὸν ἁμαρτάνοντα εἰς ψυχὴν αὐτὸν τίς δικαιώσει;
Καὶ τίς δοξάσει τὸν ἀτιμάζοντα τὴν ζωὴν αὐτοῦ;
30. Πτωχὸς δοξάζεται δι' ἐπιστήμην αὐτοῦ,
Καὶ πλούσιος δοξάζεται διὰ τὸν πλοῦτον αὐτοῦ.
31. Ὁ δεδοξασμένος ἐν πτωχείᾳ, καὶ ἐν πλούτῳ ποσαχῶς;
Καὶ ὁ ἄδοξος ἐν πλούτῳ, καὶ ἐν πτωχείᾳ ποσαχῶς;

ΚΕΦ. ΙΑ'. XI.

ΣΟφία ταπεινοῦ ἀνυψώσει κεφαλὴν αὐτοῦ,
καθήσει Καὶ ἐν μέσῳ μεγιστάνων καθίσει αὐτόν.
2. Μὴ αἰνέσῃς ἄνδρα ἐν κάλλει αὐτοῦ,
Καὶ μὴ βδελύξῃ ἄνθρωπον ἐν ὁράσει αὐτοῦ.
3. Μικρὰ ἐν πετεινοῖς μέλισσα,
Καὶ ἀρχὴ γλυκασμάτων ὁ καρπὸς αὐτῆς.
4. Ἐν περιβολῇ ἱματίων μὴ καυχήσῃ,
Καὶ ἐν ἡμέρᾳ δόξης μὴ ἐπαίρου·
Ὅτι θαυμαστὰ τὰ ἔργα Κυρίου,
Καὶ κρυπτὰ τὰ ἔργα αὐτοῦ ἐν ἀνθρώποις.
5. Πολλοὶ τύραννοι ἐκάθισαν ἐπὶ ἐδάφους,
Ὁ δὲ ἀνυπονόητος ἐφόρεσε διάδημα·
6. Πολλοὶ δυνάσται ἠτιμάσθησαν σφόδρα,
Καὶ ἔνδοξοι παρεδόθησαν εἰς χεῖρας ἑτέρων.
7. Πρὶν ἢ ἐξετάσῃς μὴ μέμψῃ δι' ἀκοῆς·
Νόησον πρῶτον, καὶ τότε ἐπιτίμα.
8. Πρὶν ἀκοῦσαι, μὴ ἀποκρίνου ῥῆμα·
Καὶ ἐν μέσῳ λόγων μὴ παρεμβάλλου.
9. Περὶ πράγματος ὃ οὐκ ἔστι σοι χρεία, μὴ ἔριζε,
Καὶ ἐν κρίσει ἁμαρτωλῶν μὴ συνέδρευε.
10. Τέκνον, μὴ περὶ πολλὰ ἔσωσαν αἱ πράξεις σου·
Ἐὰν πληθυνῇς, οὐκ ἀθῳωθήσῃ,
Καὶ ἐὰν διώκῃς, οὐ μὴ καταλάβῃς,
Καὶ οὐ μὴ ἐκφύγῃς διαδράς.
11. Ἔστι κοπιῶν καὶ πόνων καὶ σπεύδων,
Καὶ τόσῳ μᾶλλον ὑσερεῖται. πόσῳ
12. Ἔστι νωθρὸς προσδεόμενος ἀντιλήψεως,
Ὑσερῶν ἰσχύι, καὶ πτωχείᾳ περισσεύει·
Καὶ οἱ ὀφθαλμοὶ Κυρίου ἐπέβλεψαν αὐτῷ εἰς ἀγαθά,

v. 27. καὶ περισσεύων) non habet. ibid. stich. 2. δοξαζόμενος καὶ ὑσερῶν) ἢ δοξαζόμενος καὶ ἀπορῶν. v. 29. εἰς ψυχὴν) εἰς τὴν ψυχήν. v. 31. Ὁ δεδοξασμένος) ὁ δὲ δοξαζόμενος. CAP. XI. v. 1. ἀνυψώσει κεφαλὴν αὐτοῦ) ἀνύψωσε κεφαλήν. ibid. stich. 2. καθήσει) καθίσει. v. 2. αἰνέσῃς) αἰνέσεις. v. 4. stich. 4. ἀνθρώποις) ἐν ἀνθρώποις. v. 7. Πρὶν ἢ) πρίν. v. 8. Πρὶν ἀκ.) πρὶν ἢ ἀκοῦσαι. v. 9. ὃ οὐκ ἔστι σοι) adjicit χρεία. v. 11. stich. 2. πόσῳ) τόσῳ. v. 12. νωθρὸς) addit καὶ. ibid. stich. 2. ἰσχύι) ἰσχύει.

Καὶ ἀνώρθωσεν αὐτὸν ἐκ παπεινώσεως αὐτῆ̃,

13. Καὶ ἀνύψωσε κεφαλὴν αὐτῆ̃ ἀπὸ συντριβῆ̃ς,
Καὶ ἀπεθαύμασαν ἐπ' αὐτῷ̃ πολλοί.

14. Ἀγαθὰ καὶ κακὰ, ζωὴ καὶ θάνατος,
Πτωχεία καὶ πλῆτος παρὰ Κυρίε ἐσί.

15. Σοφία καὶ ἐπισήμη καὶ γνῶσις νόμε παρὰ Κυρίε·
Ἀγάπησις καὶ ὁδοὶ καλῶν ἔργων παρ' αὐτῆ̃ εἰσιν.

16. Πλάνη καὶ σκότος ἁμαρτωλοῖς συνέκλισαι·
Τοῖς δὲ γαυριῶσιν ἐπὶ κακίᾳ συγγηρᾷ̃ κακά.

17. Δόσις Κυρίε παραμένει εὐσεβέσι,
Καὶ ἡ εὐδοκία αὐτῆ̃ εἰς τὸν αἰῶνα εὐοδωθήσεται.

18. Ἔσι πλετῶν ἀπὸ προσοχῆς καὶ σφιγγίας αὐτῆ̃,
Καὶ αὕτη ἡ μερὶς τῆ̃ μισθοῦ αὐτῆ̃·

19. Ἐν τῷ̃ εἰπεῖν αὐτόν· εὗρον ἀνάπαυσιν,
Καὶ νῦν φάγωμαι ἐκ τῶν ἀγαθῶν με ἀδιαλείπλως,
Καὶ ὐκ οἶδεν τίς καιρὸς παρελεύσεται,
Καὶ καταλείψει αὐτὰ ἑτέροις, καὶ ἀποθανεῖται.

20. Στῆθι ἐν διαθήκῃ σε καὶ ὁμίλει ἐν αὐτῇ,
Καὶ ἐν τῷ̃ ἔργῳ σε παλαιώθητι.

21. Μὴ θαύμαζε ἐν ἔργοις ἁμαρτωλῆ̃,
Πίσευε δὲ Κυρίῳ, καὶ ἔμμενε τῷ̃ πόνῳ σε·
Ὅτι κῆ̃φον ἐν ὀφθαλμοῖς Κυρίε, διὰ τάχες
πλετῆσαι Ἐξάπινα πλετίσαι πένητα.

22. Εὐλογία Κυρίε ἐν μισθῷ̃ εὐσεβῆ̃ς, ἐμμέσῳ
Καὶ ἐν ὥρᾳ ταχινῇ̃ ἀναθάλλει εὐλογίαν αὐτῆ̃.

23. Μὴ εἴπῃς· τίς ἔσι με χρεία,
Καὶ τίνα ἀπὸ τῆ̃ νῦν ἔσαι με τὰ ἀγαθά;

24. Μὴ εἴπῃς· αὐτάρκη μοι ἐσὶ,
Καὶ τί ἀπὸ τῆ̃ νῦν κακωθήσομαι;

25. Ἐν ἡμέρᾳ ἀγαθῶν ἀμνησία κακῶν, ἀγαθῇ̃
Καὶ ἐν ἡμέρᾳ κακῶν ὐ μνησθήσεται ἀγαθῶν·

26. Ὅτι κῆ̃φον ἐν ὀφθαλμοῖς Κυρίε, ἐν ἡμέρᾳ τελευτῆ̃ς
Ἀποδῦναι ἀνθρώπῳ κατὰ τὰς ὁδὰς αὐτῆ̃·

27. Κάκωσις ὥρας ἐπιλησμονὴν ποιεῖ τρυφῆ̃ς,
Καὶ ἐν συντελείᾳ ἀνθρώπε ἀποκάλυψις ἔργων αὐτῆ̃.

28. Πρὸ τελευτῆ̃ς μὴ μακάριζε μηδένα,
Καὶ ἐν τέκνοις αὐτῆ̃ γνωσθήσεται ἀνήρ.

29. Μὴ πάντα ἄνθρωπον εἴσαγε εἰς τὸν οἶκόν σε.
Πολλὰ γὰρ τὰ ἔνεδρα τῆ̃ δολίε.

30. Πέρδιξ θηρευτὴς ἐν καρτάλῳ,
Οὕτως καρδία ὑπερηφάνε,
Καὶ ὡς ὁ κατάσκοπος ἐπιβλέπει πλῶσιν·

31. Τὰ γὰρ ἀγαθὰ εἰς κακὰ μεταστρέφων ἐνεδρεύει,
Καὶ ἐν τοῖς αἱρετοῖς ἐπιθήσει μῶμον. ἑτέροις

32. Ἀπὸ σπινθῆρος πυρὸς πληθύνεται ἀνθρακία·
Καὶ ἄνθρωπος ἁμαρτωλὸς εἰς αἷμα ἐνεδρεύει.

33. Πρό-

V. 21. ſtich. 2. Πίσευε δὲ Κυρίῳ) πίσευε τῷ̃ κυρίῳ. ibid. ſtich. 4. πλετῆσαι) πλετίσαι. V. 22. ἐμμέσῳ) ἐν μισθῷ̃. V. 25. ἀγαθῇ̃) ἀγαθῶν. V. 26. ἐν ὀφθαλμοῖς Κυρίε) ἐναντι κυρίε. V. 28. ſtich. 2. γνωσθήσεται) addit ἀνὴρ. V. 31. ſtich. 2. ἑτέροις) αἱρετοῖς.

33. Πρόσεχε ἀπὸ κακέργε, πονηρὰ γὰρ τεκλαίνει,
Μήποτε μῶμον εἰς τὸν αἰῶνα δῷ σοι.
34. Ἐνοίκισον ἀλλότριον, καὶ διαστρέψει σε ἐν ταραχαῖς,
Καὶ ἀπαλλοτριώσει σε τῶν ἰδίων σε.

ΚΕΦ. ΙΒ'. XII.

ΕΑΝ εὐποιῇς, γνῶθι τίνι ποιεῖς,
Καὶ ἔσαι χάρις τοῖς ἀγαθοῖς σε·
2. Εὐποίησον εὐσεβεῖ, καὶ εὑρήσεις ἀνταπόδομα,
Καὶ εἰ μὴ παρ' αὐτῷ, ἀλλὰ παρὰ τῷ ὑψίστῳ.
3. Οὐκ ἔσαι ἀγαθὰ τῷ ἐνδελεχίζοντι εἰς κακὰ,
Καὶ τῷ ἐλεημοσύνην μὴ χαριζομένῳ.
4. Δὸς τῷ εὐσεβεῖ, καὶ μὴ ἀντιλαμβάνε τῷ ἁμαρτωλῷ·
5. Εὐποίησον ταπεινῷ, καὶ μὴ δῷς ἀσεβεῖ·
Ἐμπόδισον τὸς ἄρτος αὐτῷ καὶ μὴ δῷς αὐτῷ,
Ἵνα μὴ ἐν αὐτοῖς σε δυναστεύσῃ·
εὑρήσασιν Διπλάσια γὰρ κακὰ εὑρήσει σε ἐν πᾶσιν ἀγαθοῖς οἷς ἐὰν ποιήσῃς αὐτῷ.
6. Ὅτι καὶ ὁ ὕψιστος ἐμίσησεν ἁμαρτωλὸς,
ἀποδῷ εἰς Καὶ τοῖς ἀσεβέσιν ἀποδώσει ἐκδίκησιν,
Φυλάσσει δὲ αὐτὸς εἰς ἡμέραν ἐκδικήσεως αὐτῶν κραταιάν.
7. Δὸς τῷ ἀγαθῷ, καὶ μὴ ἀντιλάβε ἁμαρτωλῷ·
8. Οὐκ ἐμβληθήσεται ἐν ἀγαθοῖς ὁ φίλος,
Καὶ ἐ κρυβήσεται ἐν κακοῖς ὁ ἐχθρός.
9. Ἐν ἀγαθοῖς ἀνδρὸς οἱ ἐχθροὶ αὐτῷ ἐν λύπῃ,
Καὶ ἐν τοῖς κακοῖς αὐτῷ καὶ ὁ φίλος διαχωρισθήσεται.
10. Μὴ πιστεύσῃς τῷ ἐχθρῷ σε εἰς τὸν αἰῶνα·
Ὡς γὰρ ὁ χαλκὸς ἰᾶται, οὕτως ἡ πονηρία αὐτῷ·
11. Καὶ ἐὰν ταπεινωθῇ καὶ πορεύηται συγκεκυφὼς,
Ἐπίσησον τῇ ψυχῇ σε καὶ φύλαξαι ἀπ' αὐτῷ,
Καὶ ἔσῃ αὐτῷ ὡς ἐκμεμαχὼς ἔσοπλον,
Καὶ γνώσῃ ὅτι ἐκ εἰς τέλος κατίωται.
12. Μὴ στήσῃς αὐτὸν παρὰ σεαυτῷ,
Μὴ ἀνατρέψας σε στῇ ἐπὶ τὸν τόπον σε·
Μὴ καθίσῃς αὐτὸν ἐκ δεξιῶν σε,
Μήποτε ζητήσῃ τὴν καθέδραν σε,
Καὶ ἐπ' ἐσχάτων ἐπιγνώσῃ τὸς λόγος με,
Καὶ ἐπὶ τῶν ῥημάτων με καταυγήσῃ.
13. Τίς ἐλεήσει ἐπαοιδὸν ὀφιόδηκλον,
Καὶ πάντας τὸς προσάγοντας θηρίοις;
14. Οὕτως τὸν προσπορευόμενον ἀνδρὶ ἁμαρτωλῷ

Καὶ

CAP. XII. v. 2. ſtich. 2. παρὰ τῷ ὑψίστῳ) παρὰ ὑψίστου. v. 3. Οὐκ ἔσαι) οὐκ ἔστιν. v. 4. ἀντιλαμβάνε) ἀντιλάβῃ. v. 5. ταπεινῷ) τῷ ταπεινῷ. ibid. ſtich. 4. εὑρήσασιν) εὑρήσεις. ibid. οἷς ἐὰν) οἷς ἄν. v. 6. ſtich. 2. ἀποδῷ εἰς) ἀποδώσει. v. 7. ἀντιλάβε ἁμαρτωλῷ) ἀντιλάβῃ τῷ ἁμαρτωλῷ. v. 8. ἐμβληθήσεται) ἐκδικηθήσεται. v. 11. ſtich. 2. τῇ ψυχῇ) τὴν ψυχήν. ibid. Φύλαξαι) Φύλαξε. ibid. ſtich. 4. κατίωται) κατίωσε. v. 12. παρὰ σεαυτῷ) παρὰ σεαυτὸν. ibid. ſtich. 2. ἀνατρέψας) ἀνατρέψας. ibid. ſtich. 5. ἐπ' ἐσχάτων) ἐπ' ἐσχάτῳ.

συμφερόμενον Καὶ συμφυρόμενον ἐν ταῖς ἁμαρτίαις αὐτῆ·

15. Ὥραν μετὰ σῆ διαμενεῖ,
Καὶ ἐὰν ἐκκλίνῃς, ἐ μὴ καρτερήσῃ.

16. Καὶ ἐν τοῖς χείλεσιν αὐτῆ γλυκανεῖ ὁ ἐχθρὸς,
Καὶ ἐν τῇ καρδίᾳ αὐτῆ βελεύσεται ἀνατρέψαι σε εἰς βόθρον·
Ἐν ὀφθαλμοῖς αὐτῆ δακρύσει ὁ ἐχθρὸς,
Καὶ ἐὰν εὕρῃ καιρὸν, ἐκ ἐμπλησθήσεται ἀφ' αἵματος·

17. Κακὰ ἐὰν ὑπαντήσῃ σοι, εὑρήσεις αὐτὸν ἐκεῖ πρότερόν σε, πρότερον ἐκεῖ
Καὶ ὡς βοηθῶν ὑποχάσει πλέρναν σε· 18. τὴν κεφαλὴν αὐτῆ κινήσει,
Καὶ ἐπικροτήσει ταῖς χερσὶν αὐτῆ,
Καὶ πολλὰ διαψιθυρίσει, καὶ ἀλλοιώσει τὸ πρόσωπον αὐτῆ.

ΚΕΦ. ΙΓ'. XIII.

Ὁ ἁπλόμενος πίσσης μολυνθήσεται, Καὶ ὁ κοινωνῶν ὑπερηφάνῳ ὁμοιωθήσεται αὐτῷ.

2. Βάρος ὑπὲρ σὲ μὴ ἄρῃς,
Καὶ ἰσχυροτέρῳ σε καὶ πλουσιωτέρῳ σε μὴ κοινώνει.
Τί κοινωνήσει χύτρα πρὸς λέβητα; Αὕτη προσκρούσει, καὶ αὕτη συντριβήσεται.

3. Πλούσιος ἠδίκησε, καὶ αὐτὸς προσενεβρυμήσατο·
Πτωχὸς ἠδίκηται, καὶ αὐτὸς προσδεηθήσεται.

4. Ἐὰν χρησιμεύσῃς, ἐργᾶται ἐν σοί· καὶ ἐὰν ὑστερήσῃς, καταλείψει σε·

5. Ἐὰν ἔχῃς, συμβιώσεταί σοι,
Καὶ ἀποκενώσει σε, καὶ αὐτὸς ἐ πονέσει·

6. Χρείαν ἔχηκέ σε, καὶ ἀποπλανήσει σε,
Καὶ προσγελάσεταί σοι, καὶ δώσει σοι ἐλπίδα·
Λαλήσει σοι καλὰ, καὶ ἐρεῖ· τίς ἡ ἐρεῖς χρεία σε;

7. Καὶ αἰσχυνεῖ σε ἐν τοῖς βρώμασιν αὐτῆ,
Ἕως ἔ ἀποκενώσει σε δὶς ἢ τρὶς,
Καὶ ἐπ' ἐσχάτῳ καταμωκήσεταί σε·
Μετὰ ταῦτα ὄψεταί σε, καὶ καταλείψει σε,
Καὶ τὴν κεφαλὴν αὐτῆ κινήσει ἐπὶ σοί.

8. Πρόσεχε μὴ ἀποπλανηθῇς,
Καὶ μὴ ταπεινωθῇς ἐν εὐφροσύνῃ σε,

9. Προσκαλεσαμένε σε δυνάστου, ὑποχωρῶν γίνε,
Καὶ τόσῳ μᾶλλόν σε προσκαλέσηται·

10. Μὴ ἔμπιπλε ἵνα μὴ ἀπωσθῇς,
Καὶ μὴ μακρὰν ἀφιστῶ ἵνα μὴ ἐπιληθῇς.

11. Μὴ ἔπεχε ἰσηγορεῖσθαι μετ' αὐτῆ,
Καὶ μὴ πίστευε τοῖς πλείοσι λόγοις αὐτῆ·
Ἐκ πολλῆς γὰρ λαλιᾶς πειράσει σε,
Καὶ ὡς προσγελῶν ἐξετάσει σε·

12. Ἀνε-

v. 14. ſtich. 2. συμφερόμενον) συμφυρόμενον. v. 17. ſtich. 1. in *Rom.* κακὰ ἂν ὑπανθήσῃ σοι, εὑρήσεις αὐτὸν ἐκεῖ πρότερόν σε. v. 18. τὴν κ. αὐτῆ κινήσει) κινήσει τὴν κεφ. αὐτῆ. CAP. XIII. v. 2. ſtich. 2. πλουσιωτέρῳ σε) σε deeſt. v. 6. ſtich. 3. ἐρεῖς) ἐρεῖ. v. 7. ſtich. 2. ἀποκενώσει) ἀποκενώσῃ. v. 9. ſtich. 2. σε προσκαλέσηται) προσκαλέσεταί σε. v. 10. ἔμπιπλε μὴ) ἔμπιπλε ἵνα μὴ. v. 11. ἰσηγορεῖσθαι) εἰσηγορεῖσθαι. ibid. ſtich. 3. ἐξετάσει σε) σε deeſt.

12. Ἀνελεήμων ὁ μὴ συντηρῶν λόγους, καὶ ὃ μὴ φείσηται περὶ κακώσεως καὶ δεσμῶν.

13. Συντήρησον καὶ πρόσεχε σφοδρῶς, ὅτι μετὰ τῆς πλώσεώς σε περιπατεῖς·

Ἀκέων ταῦτα ἐν ὕπνῳ σε, γρηγόρησον.

14. Πάσῃ ζωῇ ἀγάπα τὸν Κύριον,
Καὶ ἐπικαλοῦ αὐτὸν εἰς σωτηρίαν σε.

15. Πᾶν ζῶον ἀγαπᾷ τὸ ὅμοιον αὐτῷ,
Καὶ πᾶς ἄνθρωπος τὸν πλησίον αὐτοῦ·

16. Πᾶσα σὰρξ κατὰ γένος συνάγεται,
Καὶ τῷ ὁμοίῳ αὐτοῦ προσκολληθήσεται ἀνήρ.

17. Τί κοινωνήσει λύκος ἀμνῷ;
Οὕτως ἁμαρτωλὸς πρὸς εὐσεβῆ.

18. Τίς εἰρήνη ὑαίνῃ πρὸς κύνα;
Καὶ τίς εἰρήνη πλουσίῳ πρὸς πένητα;

19. Κυνήγια λεόντων ὄναγροι ἐν ἐρήμῳ,
Οὕτως νομαὶ πλουσίων πτωχοί.

20. Βδέλυγμα ὑπερηφάνῳ ταπείνωσις,
Οὕτως βδέλυγμα πλουσίῳ πτωχός.

21. Πλούσιος σαλευόμενος στηρίζεται ὑπὸ φίλων·
Ταπεινὸς δὲ πεσὼν προσαπωθεῖται ὑπὸ φίλων.

22. Πλουσίου σφαλέντος πολλοὶ ἀντιλήπτορες,
Ἐλάλησεν ἀπόρρητα, καὶ ἐδικαίωσαν αὐτόν·
Ταπεινὸς ἐσφάλη, καὶ προσεπετίμησαν αὐτῷ,
Ἐφθέγξατο σύνεσιν, καὶ ἐκ ἐδόθη αὐτῷ τόπος.

23. Πλούσιος ἐλάλησεν, καὶ πάντες ἐσίγησαν,
Καὶ τὸν λόγον αὐτοῦ ἀνύψωσαν ἕως τῶν νεφελῶν·
Πτωχὸς ἐλάλησεν, καὶ εἶπαν· τίς ἔτος;
Κἂν προσκόψῃ, προσανατρέπουσιν αὐτόν.

24. Ἀγαθός ἐστιν ὁ πλοῦτος ᾧ μὴ ἔστιν ἁμαρτία,
Καὶ πονηρὰ ἡ πλουσία ἐν στόματι ἀσεβοῦς.

25. Καρδία ἀνθρώπου ἀλλοιοῖ τὸ πρόσωπον αὐτοῦ, ἐάν τε εἰς ἀγαθὰ ἐάν τε εἰς κακά.

Καὶ ἀγαθύνει πρόσωπον ἐν τέρψει καρδία θάλλουσα·

26. Ἴχνος καρδίας ἐν ἀγαθοῖς πρόσωπον ἱλαρόν·
Καὶ εὕρεσις παραβολῶν διαλογισμοὶ μετὰ κόπων.

ΚΕΦ. ΙΔ'. XIV.

1. Μακάριος ἀνὴρ ὃς ἐκ ὠλίσθησεν ἐν τῷ στόματι αὐτοῦ,
Καὶ ὃ κατενύγη ἐν λύπῃ ἁμαρτιῶν·

2. Μακάριος ἀνὴρ ᾧ ὃ κατέγνω ἡ ψυχὴ αὐτοῦ,
Καὶ ὃς ἐκ ἔπεσεν ἀπὸ τῆς ἐλπίδος αὐτοῦ.

3. Ἀνδρὶ μικρολόγῳ ὃ καλὸς ὁ πλοῦτος,

v. 20. ταπείνωσις) ταπεινότης. v. 22. ſtich. 3. ἐσφάλη) ἔσφαλε. v. 23. ſtich. 4. προσανατρέπουσιν) προσανατρέψκσιν. v. 24. Ἀγαθός ἐστιν ὁ) ἀγαθὸς ὁ. ibid. ſtich. 2. ἐν στόματι) ἐν στόμασιν. v. 25. ἐάν τε εἰς ἀγαθὰ) ἐὰν εἰς ἀγαθὰ. v. 26. ſtich. 2. μετὰ κόπων) μετὰ κόπε. CAP. XIV. v. 1. ἐν τῷ στόματι) absque articulo. ibid. ſtich. 2. ἁμαρτιῶν) ἁμαρτίας. v. 2. Μακάριος ἀνὴρ ᾧ) ἀνὴρ abeſt.

Καὶ ἀνθρώπῳ βασκάνῳ ἱματί χρήματα;

4. Ὁ συνάγων ἀπὸ τῆς ψυχῆς αὐτῦ, συνάγει ἄλλοις
Καὶ ἐν τοῖς ἀγαθοῖς αὐτῦ τρυφήσουσιν ἕτεροι.

5. Ὁ πονηρὸς ἑαυτῷ, τίνι ἀγαθὸς ἔσαι;
Καὶ ὲ μὴ εὐφρανθήσεται ἐν τοῖς χρήμασιν αὐτῦ

βασκάνοντος 6. Τῦ βασκαίνοντος ἑαυτὸν ὲκ ἔστι πονηρότερος·
Καὶ τῦτο ἀνταπόδομα τῆς κακίας αὐτῦ·

7. Κᾂν εὐποιῇ, ἐν λήθῃ ποιεῖ,
Καὶ ἐπ' ἐσχάτων ἐκφαίνει τὴν κακίαν αὐτῦ·

ὀφθαλμὸν 8. Πονηρὸς ὁ βασκαίνων ὀφθαλμῷ ἑαυτῦ,
Ἀποστρέφων πρόσωπον καὶ ὑπερορῶν ψυχάς.

μερίδα 9. Πλεονέκτης δὲ ὀφθαλμὸς ὲκ ἐμπίπλαται μερίδος,
Καὶ ἀδικία πονηρὰ ἀναξηραίνει ψυχήν.

10. Ὀφθαλμὸς πονηρὸς φθονερὸς ἐπ' ἄρτῳ,
Καὶ ἐλλιπὴς ἐπὶ τῆς τραπέζης αὐτῦ.

11. Τέκνον, καθὼς ἐὰν ἔχῃς εὐποίει σαυτὸν,
Καὶ προσφορὰς Κυρίῳ ἀξίως πρόσαγε·

12. Μνήσθητι ὅτι θάνατος ὲ χρονιεῖ,
Καὶ διαθήκη ᾅδου ὲκ ὑπεδείχθη σοι·

13. Πρὶν σε τελευτῆσαι εὐποίει φίλῳ,
Καὶ κατὰ τὴν ἰσχύν σου ἔκτεινον καὶ δὸς αὐτῷ.

14. Μὴ ἀφυστερήσῃς ἀπὸ ἀγαθῆς ἡμέρας,
Καὶ μερὶς ἐπιθυμίας ἀγαθῆς μή σε παρελθέτω.

15. Οὐχὶ ἑτέροις καταλείψεις τοὺς πόνους σου,
Καὶ τοὺς κόπους σου εἰς διαιρέσεις κλήρων;

16. Δὸς καὶ λάβε, καὶ ἁγίασον τὴν ψυ- ἀπότισον
χήν σου,
Ὅτι ὲκ ἔστιν ἐν ᾅδῃ ζητῆσαι τρυφήν, τρυφῆς

17. Πᾶσα σὰρξ ὡς ἱμάτιον παλαιοῦται·
Ἡ γὰρ διαθήκη ἀπ' αἰῶνος· θανάτῳ ἀποθανῇ.

18. Ὡς φύλλον θάλλον ἐπὶ δένδρῳ δασέος,
Τὰ μὲν καταβάλλει, ἄλλα δὲ φύει·
Οὕτως καὶ γενεὰ σαρκὸς καὶ αἵματος,
Ἡ μὲν τελευτᾷ, ἑτέρα δὲ γεννᾶται.

19. Πᾶν ἔργον σηπόμενον ἐκλείπει,
Καὶ ὁ ἐργαζόμενος αὐτὸ μετ' αὐτοῦ ἀπελεύσεται.

20. Μακάριος ἀνὴρ ὃς ἐν σοφίᾳ μελε- τελευτή-
τήσει, σει
Καὶ ὃς ἐν συνέσει αὐτῦ διαλεχθήσεται·

21. Διανοούμενος τὰς ὁδοὺς αὐτῆς ἐν καρδίᾳ αὐτῦ,
Καὶ ἐν τοῖς ἀποκρύφοις αὐτῆς ἐννοηθήσεται.

22. Ἔξελ-

γ. 6. βασκάνοντος) βασκαίνοντος. v. 8. ὀφθαλμὸν ἑαυτῦ) ὀφθαλμῷ. v. 9. δὲ) abeſt. ibid. μερίδα) μερίδι. v. 11. ἔχῃς εὐποίει σαυτὸν) ἔχεις εὐποίει σεαυτὸν. v. 14. ἀφυστερήσῃς ἡμέρας) ἀφυστερήσῃς ἀπὸ ἀγαθῆς ἡμέρας. ibid. ſtich. 2. παρελθέτω) παρελθάτω. v. 15. ἑτέροις) ἑτέρῳ. ibid. ſtich. 2. διαιρέσεις κλήρων) διαίρεσιν κλήρε. v. 16. ἀπότισον) ἀπάτισον. ibid. ſtich. 2. ἐν ᾅδῃ ζητῆσαι τρυφῆς) ἐν ᾅδε ζητῆσαι τρυφήν. v. 18. ſtich. 3. Οὕτως καὶ γενεὰ) καὶ deeſt. v. 21. Διανοούμενος) ὁ διανοούμενος. ibid. ſtich. 2. ἐννοηθήσεται) νοηθήσεται.

22. Ἐξελθε ὀπίσω αὐτῆς ὡς ἰχνευτὴς,
Καὶ ἐν ταῖς ὁδοῖς αὐτῆς ἐνέδρευε.

23. Ὁ παρακύπλων διὰ τῶν θυρίδων αὐτῆς,
Καὶ ἐπὶ τῶν θυρωμάτων αὐτῆς ἀκροάσεται·

24. Ὁ καταλύων σύνεγγυς τῆ οἰκῳ αὐτῆς,
πήσει Καὶ πήξει πάσσαλον ἐν τοῖς τοίχοις αὐτῆς·

25. Στήσει τὴν σκηνὴν αὐτῆ κατὰ χεῖρας αὐτῆς,
Καὶ καταλύσει ἐν καταλύματι ἀγαθῶν·

26. Καὶ στήσει τὰ τέκνα αὐτῆ ἐν σκέπῃ αὐτῆς,
Καὶ ὑπὸ τὰς κλάδας αὐτῆς αὐλισθήσεται·

ἀπ' 27. Σκεπασθήσεται ὑπ' αὐτῆς ἀπὸ καύματος,
Καὶ ἐν τῇ δόξῃ αὐτῆς καταλύσει.

ΚΕΦ. ΙΕ'. XV.

Ὁ Φοβούμενος Κύριον ποιήσει αὐτό,
Καὶ ὁ ἐγκρατὴς τῷ νόμῳ κατα-
αὐτόν λήψεται αὐτήν.

2. Καὶ ὑπαντήσει αὐτῷ ὡς μήτηρ,
Καὶ ὡς γυνὴ παρθενίας προσδέξεται αὐτόν·

3. Ψωμιεῖ αὐτὸν ἄρτον συνέσεως,
Καὶ ὕδωρ σοφίας ποτιεῖ αὐτόν·

Στηριωθή- 4. Στηριχθήσεται ἐπ' αὐτὴν καὶ οὐ μὴ κλιθῇ.
σεται

Καὶ ἐπ' αὐτῇ ἐφέξει καὶ οὐ μὴ καταισχυνθῇ·

5. Καὶ ὑψώσει αὐτὸν παρὰ τοὺς πλησίον αὐτῆ,
Καὶ ἐν μέσῳ ἐκκλησίας ἀνοίξει τὸ στόμα αὐτῆ·

6. Εὐφροσύνην καὶ στέφανον ἀγαλλιάματος εὑρήσει,
Καὶ ὄνομα αἰῶνες κατακληρονομήσει.

7. Οὐ μὴ καταλήψονται αὐτὴν ἄνθρωποι ἀσύνετοι,
Καὶ ἄνθρωποι ἁμαρτωλοὶ οὐ μὴ ἴδωσιν αὐτήν·

8. Μακρὰν ἐστιν ὑπερηφανίας,
Καὶ ἄνδρες ψεῦσαι οὐ μὴ μνησθήσονται αὐτῆς.

9. Οὐχ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ,
Ὅτι οὐ παρὰ Κυρίου ἀπεστάλη·

10. Ἐν γὰρ σοφίᾳ ῥηθήσεται αἶνος,
Καὶ ὁ Κύριος εὐοδώσει αὐτόν.

11. Μὴ εἴπῃς· ὅτι διὰ Κύριον ἀπέστην·
Ἃ γὰρ ἐμίσησεν, οὐ ποιήσεις.

12. Μὴ εἴπῃς· ὅτι αὐτός με ἐπλάνησεν·
Οὐ γὰρ χρείαν ἔχει ἀνδρὸς ἁμαρτωλοῦ.

13. Πᾶν βδέλυγμα ἐμίσησεν ὁ Κύριος,
Καὶ οὐκ ἔστιν ἀγαπητὸν τοῖς φοβουμένοις αὐτόν.

14. Αὐτὸς ἐξ ἀρχῆς ἐποίησεν ἄνθρωπον,
Καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ·

v. 22. stich. 2. ὁδοῖς) εἰσόδοις. v. 24. stich. 2. πήσσει) πήξει. v. 26. Καὶ στήσει) θήσει. ibid. ἐν σκέπῃ) ἐν τῇ σκέπῃ. v. 27. ἀπ' αὐτῆς) ὑπ' αὐτῆς. CAP. XV. v. 1. stich. 2. αὐτὸν) αὐτὴν. v. 2. ὑπαντήσεται) ὑπαντήσεται. v. 3. stich. 2. ποτιεῖ) ποτίσει. v. 4. Στηριωθήσεται) στηριχθήσεται. ibid. stich. 2. ἐπ' αὐτῇ) ἐπ' αὐτῆς. v. 5. stich. 2. τὸ στόμα) absque articulo. v. 6. εὑρήσει) desideratur. ibid. stich. 2. αἰῶνος) αἰώνιον. v. 7. stich. 2. ἄνθρωποι ἁμ.) ἄνδρες ἁμαρτωλοί. v. 13. ὁ Κύριος) absque articulo.

15. Ἐὰν θέλῃς, συντηρήσεις ἐντολάς,
καὶ πίστιν ποιήσαι εὐδοκίας.

16. Παρέθηκέ σοι πῦρ καὶ ὕδωρ, ὃ ἐὰν
θέλῃς ἐκτενεῖς τὴν χεῖρά σε·

17. Ἐναντι ἀνθρώπων ἡ ζωὴ καὶ ὁ θά-
νατος,
εὐδοκήσει Καὶ ὃ ἐὰν εὐδοκήσῃ, δοθήσεται αὐτῷ.

18. Ὅτι πολλὴ ἡ σοφία τοῦ Κυρίου·
Ἰσχυρὸς ἐν δυναστείᾳ, καὶ βλέπων τὰ
πάντα·

19. Καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τοὺς φο-
βουμένους αὐτὸν,
Καὶ αὐτὸς ἐπιγνώσεται πᾶν ἔργον
αὐτοῦ ἀνθρώπε.

20. Οὐκ ἐνετείλατο ἑνὶ ἀσεβεῖν,
ἔδωσεν Καὶ οὐκ ἔδωκεν ἄνεσιν ἑνὶ ἁμαρτάνειν.

ΚΕΦ. Ις'. XVI.

ΜΗ ἐπιθύμει τέκνων πλῆθος ἄ-
χρηστον,
Μηδὲ εὐφραίνε ἐπὶ υἱοῖς ἀσε-
βέσιν·

2. Ἐὰν πληθύνωσιν, μὴ εὐφραίνε ἐπ'
αὐτοῖς,
Εἰ μὴ ἔστι Φόβος Κυρίε μετ' αὐτῶν.

3. Μὴ ἐμπιστεύσῃς τῇ ζωῇ αὐτῶν,
Καὶ μὴ ἔπεχε ἐπὶ τὸ πλῆθος αὐτῶν·
Κρεῖσσων γὰρ εἷς δίκαιος ἢ χίλιοι,
Καὶ ἀποθανεῖν ἄτεκνον ἢ ἔχειν τέκνα
ἀσεβῆ·

4. Ἀπὸ γὰρ ἑνὸς συνετοῦ συνοικισθήσε-
ται πόλις,
Φυλὴ δὲ ἀνόμων ἐρημωθήσεται ἐν
τάχει.

5. Πολλὰ τοιαῦτα ἑώρακα ἐν ὀφθαλ-
μοῖς μου,
Καὶ ἰσχυρότερα τούτων ἀκήκοεν τὸ οὖς
με. σε

6. Ἐν συναγωγῇ ἁμαρτωλῶν ἐκκαυθή-
σεται πῦρ,
Καὶ ἐν ἔθνει ἀπειθεῖ ἐξεκαύθη ὀργή.

7. Οὐκ ἐξιλάσατο περὶ τῶν ἀρχαίων γι- ἐξιλᾶτο
γάντων,
Οἳ ἀπέστησαν ἐν τῇ ἰσχύι τῆς ἀφροσύνης
αὐτῶν·

8. Οὐκ ἐφείσατο περὶ τῆς παροικίας
Λὼτ, οὓς ἐβδελύξατο διὰ τὴν
ὑπερηφανίαν αὐτῶν·

9. Οὐκ ἠλέησεν ἔθνος ἀπωλείας,
Τοὺς ἐξηρμένους ἐν ἁμαρτίαις αὐτῶν·

10. Καὶ ἕτως ἑξακοσίας χιλιάδας πεζῶν
Τοὺς ἐπισυναχθέντας ἐν σκληροκαρ-
δίᾳ αὐτῶν.

11. Κἂν ᾖ εἷς σκληροτράχηλος ἐν λαῷ,
Θαυμαστὸν τοῦτο εἰ ἀθῳωθήσεται·
Ἔλεος γὰρ καὶ ὀργὴ παρ' αὐτῷ,
Δυνάστης ἐξιλασμῶν καὶ ἐκχέων ὀργήν· Δυναστῶν
12. Κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ, ἕτω
καὶ πολὺς ὁ ἔλεγχος αὐτοῦ·
Ἄνδρα κατὰ τὰ ἔργα αὐτοῦ κρίνει. κλίνι

13. Οὐκ ἐκφεύξεται ἐν ἁρπάγματι ἁ-
μαρτωλός·
Καὶ ὑ μὴ καθυστερήσει ὑπομονὴ εὐ-
σεβῶς.

14. Πάσῃ

v. 17. ſtich. 2. εὐδοκήσει) εὐδοκήσῃ. v. 18. ἡ σοφία) abſque articulo. v. 19. ſtich. 2. ἔργον αὐτοῦ) ἔργον ἀνθρώπε. v. 20. Οὐκ) καὶ ἐκ. ibid. ſtich. 2. ἔδωσεν) ἔδωκεν. CAP. XVI. v. 1. ἄχρηστον) ἀχρήστων. ibid. ſtich. 2. Μηδὲ) μὴ. v. 3. ſtich. 2. ἐπὶ τὸ πλῆθος) ἐπὶ τὸν τόπον. v. 5. ſtich. 2. τὸ οὖς σε) τὸ ὦς με. v. 7. ἐξιλᾶτο) ἐξιλάσατο. v. 11. ſtich. 3. παρ' αὐτῷ) παρ' αὐτοῦ. ibid. ſtich. 4. Δυναστῶν) δυνάστης. v. 12. ἕτω) ἕτως. ibid. ſtich. 2. κλίνι pro κλείνει) κρίνει. v. 13. ἁρπάγματι) ἁρπάγμασιν. ibid. ſtich. 2. ὑπομονὴ) ὑπομονήν.

14. Πάσῃ ἐλεημοσύνῃ ποιήσει τόπον·
Ἕκαστος κατὰ τὰ ἔργα αὐτοῦ εὑρήσει.
15. Κύριος ἐσκλήρυνεν Φαραὼ μὴ εἰδέναι αὐτὸν,
Ὅπως ἂν γνωθῇ ἐνεργήματα αὐτοῦ τῇ ὑπ' ἀρανόν.
16. Πάσῃ τῇ κλίσει τὸ ἔλεος αὐτοῦ φανερόν,
Καὶ τὸ φῶς αὐτοῦ καὶ τὸ σκότος ἐμέρισεν τῷ ἀδάμαντι
17. Μὴ εἴπῃς· ὅτι παρὰ Κυρίῳ κρυβήσομαι, καὶ ἐξ ὕψους τίς με μνηθήσεται;
Ἐν λαῷ πλείονι ἐ μὴ γνωσθῶ,
Τίς γὰρ ἡ ψυχή με ἐν ἀμετρήτῳ κλίσει;
18. Ἰδὲ ὁ ἐρανὸς καὶ ὁ ἐρανὸς τοῦ ἐρανοῦ,
Ἄβυσσος καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἐν τῇ ἐπισκοπῇ αὐτοῦ σαλευθήσονται·
19. Ἅμα τὰ ὄρη καὶ τὰ θεμέλια τῆς γῆς,
Ἐν τῷ ἐπιβλέψαι εἰς αὐτὰ, τρόμῳ συσεῖονται.
20. Καὶ ἐπ' αὐτοῖς ἐ διανοηθήσεται καρδία,
Καὶ τὰς ὁδὲς αὐτοῦ τίς ἐνθυμηθήσεται;
21. Καὶ καταιγὶς, ἣν ἐκ ὄψεται ἄνθρωπος,
Τὰ δὲ πλείονα τῶν ἔργων αὐτοῦ ἐν ἀποκρύφοις. αὐτῶν
22. Ἔργα δικαιοσύνης τίς ἀναγγελεῖ,
Ἢ τίς ὑπομενεῖ; μακρὰν γὰρ ἡ διαθήκη,
Καὶ ἐξέτασις ἁπάντων ἐν τελευτῇ
23. Ἐλαττονέμενος καρδίᾳ διανοεῖται μάταια, ταῦτα
Καὶ ἀνὴρ ἄφρων καὶ πλανώμενος διανοεῖται μωρά.
24. Ἄκουσόν μου τέκνον, καὶ μάθε ἐπιστήμην,
Καὶ ἐπὶ τῶν λόγων μὲ πρόσεχε τῇ καρδίᾳ σε·
25. Ἐκφανῶ ἐν σταθμῷ παιδείαν,
Καὶ ἐν ἀκριβείᾳ ἀπαγγελῶ ἐπιστήμην αὐτοῦ.
26. Ἐν κρίσει Κυρίου τὰ ἔργα αὐτοῦ ἀπ' ἀρχῆς,
Καὶ ἀπὸ ποιήσεως αὐτῶν διέστειλε μερίδας αὐτῶν·
27. Ἐκόσμησεν εἰς τὸν αἰῶνα τὰ ἔργα αὐτοῦ,
Καὶ τὰς ἀρχὰς αὐτῶν εἰς γενεὰς αὐτῶν·
Οὔτε ἐπόνεσαν, οὔτε ἐκοπίασαν, ἐπείνασαν
Καὶ οὐκ ἐξέλιπον ἀπὸ τῶν ἔργων αὐτῶν·
28. Ἕκαστος τὸν πλησίον αὐτοῦ οὐκ ἐξέθλιψεν,
Καὶ ἕως αἰῶνος οὐκ ἀπειθήσουσι τοῦ ῥήματος αὐτοῦ.
29. Καὶ μετὰ ταῦτα Κύριος ἐπὶ τὴν γῆν ἐπέβλεψεν,
Καὶ ἐνέπλησεν αὐτὴν τῶν ἀγαθῶν αὐτοῦ·
30. Ψυχὴ παντὸς ζῴου ἐκάλυψε τὸ πρόσωπον αὐτῆς, Ψυχὴν
Καὶ εἰς αὐτὴν ἡ ἀποστροφὴ αὐτῶν.

v. 17. παρὰ Κυρίῳ) ἀπὸ κυρίου. ibid. καὶ ἐξ) μὴ ἐξ. ibid. ſtich. 2. γνωσθῶ) μνηθῶ. v. 18. τοῦ ἐρανοῦ) adjicit τοῦ θεοῦ. ibid. ſtich. 2. ἐν τῇ ἐπισκοπῇ αὐτοῦ σαλευθήσονται) transpoſita. v. 21. ſtich. 2. αὐτῶν) αὐτοῦ. v. 23. Ἐλαττονέμενος) ἐλαττέμενος. v. 25. Ἐκφανῶ) ἐκφαίνω. ibid. ſtich. 2. ἀπαγγελῶ) ἀπαγγέλλω. v. 27. εἰς τὸν αἰῶνα) ſine articulo. v. 28. ἐξέθλιψεν) ἐθλιψεν. v. 29. ἐπὶ τὴν γῆν) εἰς τὴν γῆν.

ΚΕΦ. ΙΖ'. XVII.

ΚΥριος ἔκλισεν ἐκ γῆς ἄνθρωπον,
Καὶ πάλιν ἀπέστρεψεν αὐτὸν εἰς αὐτήν.

2. Ἡμέρας ἀριθμῷ καὶ καιρὸν ἔδωκεν αὐτοῖς,
Καὶ ἔδωκεν αὐτοῖς ἐξουσίαν τῶν ἐπ' αὐτῆς.

ἑαυτὸς 3. Καθ' ἑαυτὸν ἐνέδυσεν αὐτὸς ἰσχύν,
Καὶ κατ' εἰκόνα ἑαυτῷ ἐποίησεν αὐτόν.

4. Ἔθηκε τὸν φόβον αὐτοῦ ἐπὶ πάσης σαρκὸς,
Καὶ κατακυριεύειν θηρίων καὶ πετεινῶν ἐν ὁμοιώματι.

5. Ἔλαβον χρῆσιν τῶν πέντε τῶ Κυρίῳ ἐνεργημάτων·
Ἕκτον δὲ ὧν αὐτοῖς ἐδωρήσατο μερίζων,
Καὶ τὸν ἕβδομον λόγον ἑρμηνέα τῶν ἐνεργημάτων αὐτοῦ·

6. Διαβούλιον καὶ γλῶσσαν καὶ ὀφθαλμὸς,
Ὦτα καὶ καρδίαν ἔδωκε διανοεῖσθαι αὐτοῖς·

7. Ἐπιστήμην συνέσεως ἐνέπλησεν αὐτὸς,
Καὶ ἀγαθὰ καὶ κακὰ ὑπέδειξεν αὐτοῖς.

8. Καὶ ἔθηκε τὸν ὀφθαλμὸν αὐτοῦ ἐπὶ τὰς καρδίας αὐτῶν,
Δεῖξαι αὐτοῖς τὸ μεγαλεῖον τῶν ἔργων αὐτοῦ·

9. Ἔδωκε δὲ αἰῶνος καυχᾶσθαι ἐπὶ τοῖς θαυμασίοις αὐτοῦ,
Ἵνα διηγῶνται τὰ ἔργα αὐτοῦ συνετοί.

10. Καὶ ὄνομα ἁγιασμῷ αἰνέσουσιν ἐκλεκτοί,
Ἵνα διηγῶνται τὰ μεγαλεῖα τῶν ἔργων αὐτοῦ. διηγῶνται

11. Προσέθηκεν αὐτοῖς ἐπιστήμην,
Καὶ νόμον ζωῆς ἐκληροδότησεν αὐτοῖς· αὐτὸς

12. Διαθήκην αἰώνιον ἔστησε μετ' αὐτῶν,
Καὶ τὰ κρίματα αὐτοῦ ὑπέδειξεν αὐτοῖς·

13. Μεγαλεῖον δόξης εἶδον οἱ ὀφθαλμοὶ αὐτῶν,
Καὶ δόξαν φωνῆς αὐτῶν ἤκουσε τὸ ὦς αὐτῶν·

14. Καὶ εἶπεν αὐτοῖς· προσέχετε ἀπὸ πάντος ἀδίκου,
Καὶ ἐνετείλατο αὐτοῖς ἑκάστῳ περὶ τοῦ πλησίον.

15. Αἱ ὁδοὶ αὐτῶν ἐναντίον αὐτοῦ διαπαντὸς, αὐτοῦ
Οὐ κρυβήσονται ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ. αὐτῶν

16. Πᾶς δὲ ἄνθρωπος ἐκ νεότητος ἐπὶ τὰ πονηρὰ,
Καὶ ἐκ ἴσχυσαν τὰς καρδίας αὐτῶν ἀντὶ λιθίνων ποιῆσαι σαρκίνας.

17. Ἐν γὰρ μερισμῷ τῶν ἐθνῶν τῆς γῆς πάσης,
Ἑκάστῳ ἔθνει κατέστησεν ἡγούμενον,
Καὶ μερὶς Κυρίου Ἰσραὴλ ἐστιν·

18. Οὗ πρωτόγονον ὄντα τιθηνεῖ παιδείᾳ,
Καὶ μερίζων φῶς ἀγαπήσεως, ἐκ ἀνίησιν αὐτόν.

19. Πάντα τὰ ἔργα αὐτῶν ὡς ὁ ἥλιος αὐτοῦ
ἐναντίον αὐτοῦ,
Καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐνδελεχεῖς ἐπὶ αὐτῶν
τὰς ὁδοὺς αὐτῶν·

20. Οὐκ ἐκρύβησαν αἱ ἀδικίαι αὐτῶν ἀπ' αὐτοῦ,
Καὶ πᾶσαι αἱ ἁμαρτίαι αὐτῶν ἔναντι Κυρίου.

21. Κύριος

CAP. XVII. v. 3. ſtich. 2. εἰκόνα ἑαυτῷ) εἰκόνα αὐτῷ. v. 4. Ἔθηκε) καὶ ἔθηκε. v. 8. Καὶ ἔθηκε) καὶ deeſt. v. 10. ſtich. 2. διηγῶνται) διηγῶνται. v. 11. ſtich. 2. αὐτοὺς) αὐτοῖς. v. 12. αἰώνιον) αἰῶνος. v. 15. ὁδοὶ αὐτοῦ) ὁδοὶ αὐτῶν. ibid. ſtich. 2. αὐτῶν) αὐτοῦ. v. 19. πάντα τὰ ἔργα αὐτοῦ) ἅπαντα τὰ ἔργα αὐτῶν. ibid. ſtich. 2. ὀφθαλμοὶ αὐτῶν) ὀφθαλμοὶ αὐτοῦ.

21. Κύριος δὲ χρηστὸς ὢν, καὶ εἰδὼς τὸ πλάσμα αὐτῆ̃,
Οὔτε ἀνῆκεν, ἅτε κατέλιπεν, φειδόμενος αὐτῶν.
22. Ἐλεημοσύνη γὰρ ἀνδρὸς ὡς σφραγὶς μετ' αὐτῆ̃,
Καὶ χάριν ἀνθρώπε ὡς κόρην συντηρήσει,
Μερίζων υἱοῖς αὐτῆ̃ καὶ θυγατράσι μετάνοιαν.
23. Μετὰ ταῦτα ἐξαναστήσεται καὶ ἀνταποδώσει αὐτοῖς,
Καὶ τὸ ἀνταπόδομα αὐτῶν εἰς κεφαλὴν αὐτῶν ἀποδώσει. αὐτῆ̃
24. Πλὴν μετανοῆσιν ἔδωκεν ἐπάνοδον,
Καὶ παρεκάλεσεν ἐκλείποντας ὑπομονήν.
25. Ἐπίστρεφε ἐπὶ Κύριον, καὶ ἀπόλειπε ἁμαρτίας·
Δεήθητι κατὰ πρόσωπον, καὶ σμίκρυνον πρόσκομμα·
26. Ἐπάναγε ἐπὶ ὕψιστον, καὶ ἀπόστρεφε ἀπὸ ἀδικίας,
(Αὐτὸς γὰρ ὁδηγήσει ἐκ σκότους εἰς φῶς ὑγιείας·)
Καὶ σφόδρα μίσησον βδέλυγμα.
27. Ὑψίστῳ τίς αἰνέσει ἐν ᾅδῃ,
Ἀντὶ ζώντων καὶ διδόντων ἀνθομολόγησιν;
28. Ἀπὸ νεκρῆ̃ ὡς μηδὲ ὄντος ἀπόλυται ἐξομολόγησις·
Ζῶν καὶ ὑγιὴς τῇ καρδίᾳ αἰνέσει τὸν Κύριον.
29. Ὡς μεγάλη ἡ ἐλεημοσύνη τῆ̃ Κυρίῃ τῆ̃ Θεῆ̃ ἡμῶν,
Καὶ ἐξιλασμὸς τοῖς ἐπιστρέφουσιν ἐπ' αὐτὸν ὁσίως.
30. Οὐ γὰρ δύναται πάντα εἶναι ἐν ἀνθρώποις·
Ὅτι ἐκ ἀθάνατος ὁ υἱὸς ἀνθρώπε.
31. Τί φωτεινότερον ἡλίε; καὶ τῆ̃το ἐκλείπει·
Καὶ πονηρὸν ἐνθυμηθήσεται σὰρξ καὶ αἷμα.
32. Δύναμιν ὕψες ἐρανῆ̃ αὐτὸς ἐπισκέπλεται,
Καὶ ἄνθρωποι πάντες γῆ καὶ σποδός.

ΚΕΦ. ΙΗ'. XVIII.

Ὁ Ζῶν εἰς τὸν αἰῶνα ἔκλισε τὰ πάντα κοινῆ.
Κύριος μόνος δικαιωθήσεται,
Καὶ ἐκ ἔστιν ἄλλος πλὴν αὐτῆ̃·
3. Ὁ οἰκίζων τὸν κόσμον ἐν σπιθαμῇ χειρὸς αὐτῆ̃,
Καὶ πάντα ὑπακέει τῷ θελήματι αὐτῆ̃·
Αὐτὸς γὰρ βασιλεὺς πάντων ἐν κράτει αὐτῆ̃,
Διατέλλων ἐν αὐτοῖς ἅγια ἀπὸ βεβήλων.
4. Οὐδενὶ ἐξεποίησεν ἐξαγγεῖλαι τὰ ἔργα αὐτῆ̃,
Καὶ τίς ἐξιχνεύσει τὰ μεγαλεῖα αὐτῆ̃;
5. Κράτος μεγαλωσύνης αὐτῆ̃ τίς ἐξαριθμήσεται;
Καὶ τίς προθήσει ἐκδιηγήσασθαι τὰ ἐλέη αὐτῆ̃;
6. Οὐκ ἔστιν ἐλαττῶσαι ἐδὲ προθεῖναι,
καὶ ἐκ ἔστιν ἐξιχνιάσαι τὰ θαυμάσια τῆ̃ Κυρίε·
7. Ὅταν συντελέσει ἄνθρωπος, τότε ἄρχεται, ἔρχεται
Καὶ ὅταν παύσηται, τότε ἀπορῥηθήσεται.

8. Τί

v. 23. ſtich. 2. κεφαλὴν αὐτῆ̃) κεφαλὴν αὐτῶν. v. 27. ſtich. 2. Ἀντὶ ζώντων καὶ διδ.) ἀντὶ ζώντων καὶ ζώντων καὶ διδόντων. v. 30. ſtich. 2. ὁ υἱὸς) υἱὸς. v. 31. ſtich. 2. πονηρὸν) πονηρὸς. ibid. σὰρξ) σάρκα. v. 32. ſtich. 2. Καὶ ἄνθρωποι) καὶ οἱ ἄνθρωποι. CAP. XVIII. v. 4. Οὐδενὶ) οὐθενί. ibid. ſtich. 2. ἐξιχνεύσει) ἐξιχνιάσει. v. 7. ἔρχεται) ἄρχεται. ibid. ſtich. 2. ἀπορῥηθήσεται) ἀπορηθήσεται.

8. Τί ἄνθρωπος καὶ τί ἡ χρῆσις αὐτοῦ;
Τί τὸ ἀγαθὸν αὐτοῦ, καὶ τί τὸ κακὸν αὐτοῦ;
9. Ἀριθμὸς ἡμερῶν ἀνθρώπου πολλὰ ἔτη ἑκατόν·
10. Ὡς σταγὼν ὕδατος ἀπὸ θαλάσσης καὶ ψῆφος ἄμμου,
ὀλίγα Οὕτως χίλια ἔτη ἐν ἡμέρᾳ αἰῶνος.
11. Διὰ τοῦτο ἐμακροθύμησε Κύριος ἐπ' αὐτοῖς,
Καὶ ἐξέχεεν ἐπ' αὐτοὺς τὸ ἔλεος αὐτοῦ·
12. Εἶδε καὶ ἐπέγνω τὴν κατάστροφὴν αὐτῶν ὅτι πονηρά,
Διὰ τοῦτο ἐπλήθυνε τὸν ἐξιλασμὸν αὐτοῦ.
13. Ἔλεος ἀνθρώπου ἐπὶ τὸν πλησίον αὐτοῦ, ἔλεος δὲ Κυρίου ἐπὶ πᾶσαν σάρκα.
Ἐλέγχων καὶ παιδεύων καὶ διδάσκων,
Καὶ ἐπιστρέφων ὡς ποιμὴν τὸ ποίμνιον αὐτοῦ·
ἐλεᾷ 14. Τοὺς ἐκδεχομένους παιδείαν ἐλεεῖ,
Καὶ τοὺς κατασπεύδοντας ἐπὶ τὰ κρίματα αὐτοῦ.
15. Τέκνον ἐν ἀγαθοῖς μὴ δῷς μῶμον,
Καὶ ἐν πάσῃ δόσει λύπην λόγων.
16. Οὐχὶ καύσωνα ἀναπαύσει δρόσος;
Οὕτως κρείσσων λόγος ἢ δόσις·
οὐχ 17. Οὐκ ἰδοὺ λόγος ὑπὲρ δόμα ἀγαθόν;
Καὶ ἀμφότερα παρὰ ἀνδρὶ καχαριτωμένῳ.
18. Μωρὸς ἀχαρίστως ὀνειδιεῖ,
Καὶ δόσις βασκάνου ἐκλήκει ὀφθαλμούς.
19. Πρινὴ λαλῆσαι μάνθανε, καὶ πρὸ ἀῤῥωστίας θεραπεύου·
20. Πρὸ κρίσεως ἐξέτασε σεαυτόν,
Καὶ ἐν ὥρᾳ ἐπισκοπῆς εὑρήσεις ἱλασμόν·
21. Πρὶν ἀῤῥωστῆσαί σε ταπεινώθητι,
Καὶ ἐν καιρῷ ἁμαρτημάτων δεῖξον ἐπιστροφήν.
22. Μὴ ἐμποδιθῇς τοῦ ἀποδοῦναι εὐχὴν εὐκαίρως,
Καὶ μὴ μείνῃς ἕως θανάτου δικαιωθῆναι·
23. Πρὶν εὔξασθαι ἑτοίμασον σεαυτόν,
Καὶ μὴ γίνου ὡς ἄνθρωπος πειράζων τὸν Κύριον.
24. Μνήσθητι θυμοῦ ἐν ἡμέραις τελευτῆς,
Καὶ καιρὸν ἐκδικήσεως ἐν ἀποστροφῇ προσώπου·
25. Μνήσθητι (κατὰ) καιρὸν λιμοῦ ἐν ἡμέραις πλησμονῆς,
Πτωχείαν καὶ ἔνδειαν ἐν ἡμέραις πλούτου.
26. Ἀπὸ πρωΐθεν ἕως ἑσπέρας μεταβάλλει καιρός,
Καὶ πάντα ἐστὶ ταχινὰ ἔναντι Κυρίου.
27. Ἄνθρωπος σοφὸς ἐν παντὶ εὐλαβηθήσεται,
Καὶ ἐν ἡμέραις ἁμαρτιῶν προσέξει ἀπὸ πλημμελείας·
Καὶ ἄφρων ὃ συντηρήσει καιρόν.
28. Πᾶς συνετὸς ἔγνω σοφίαν, καὶ τῷ εὑρόντι αὐτὴν δώσει ἐξομολόγησιν.
29. Συνετοὶ ἐν λόγοις καὶ αὐτοὶ ἐσοφίσαντο,

Καὶ

v. 14. ἐλεᾷ) ἐλεεῖ. v. 17. ἀχ ἰδοὺ) οὐκ ἰδού. v. 20. stich. 2. ἱλασμὸν) ἐξιλασμὸν. v. 25. (κατὰ) deest. ibid. ἐν ἡμέραις) ἐν καιρῷ. v. 27. stich. 2. ἐν ἡμ.) καὶ ἐν ἡμέραις.

Καὶ ἀνώμβρησαν παροιμίας ἀκριβεῖς.
Ἐγκράτεια ψυχῆς.

30. Ὀπίσω τῶν ἐπιθυμιῶν σε μὴ πορεύε,
Καὶ ἀπὸ τῶν ὀρέξεών σε (μὴ) κωλύε.

εὐδοκήσεις 31. Ἐὰν χορηγήσῃς τῇ ψυχῇ σε εὐδοκίαν ἐπιθυμίας,

Ποιήσεις Ποιήσει σε ἐπίχαρμα τῶν ἐχθρῶν σε.

32. Μὴ εὐφραίνε ἐπὶ πολλῇ τρυφῇ,

μὴ Μηδὲ προσδεηθῇς συμβολῆς αὐτῆς.

33. Μὴ γίνε πλωχὸς συμβολοκοπῶν ἐκ δανεισμοῦ,
Καὶ ἐὰν σοὶ ἐσιν ἐν μαρσίππῳ.
Ἔσῃ γὰρ ἐπίβουλος τῆς ἰδίας ζωῆς λαλητός.

ΚΕΦ. ΙΘ'. XIX.

ΕΡγάτης μέθυσος ὲ πλουτισθήσεται.
Καὶ ὁ ἐξουθενῶν τὰ ὀλίγα, κατὰ μικρὸν πεσεῖται.

2. Οἶνος καὶ γυναῖκες ἀποστήσουσι συνετούς,
Καὶ ὁ κολλώμενος πόρναις τολμηρότερος ἔσαι.

Σήπη 3. Σῆψις καὶ σκώληκες κληρονομήσουσιν αὐτὸν,
Καὶ ψυχὴ τολμηρὰ ἐξαρθήσεται
ἐν παραδειγματισμῷ μείζονι.

4. Ὁ ταχὺ ἐμπιστεύων κῆφος καρδίᾳ·
Καὶ ὁ ἁμαρτάνων εἰς ψυχὴν αὐτοῦ, πλημμελήσει.

5. Ὁ εὐφραινόμενος καρδίᾳ, ἐπὶ κακοεξίᾳ καταγνωσθήσεται·

Ὁ δὲ ἀντοφθαλμῶν ἡδονῇ, στέφανοῖ τὴν ζωὴν αὐτοῦ.

6. Ὁ ἐγκρατευόμενος γλώσσῃ, ἀμάχως συμβιώσεται·
Καὶ ὁ μισῶν λαλιὰν ἐλαττονεῖται κακίᾳ. καρδίᾳ

7. Μηδέποτε δευτερώσῃς λόγον,
Καὶ ἐθέν σοι ἐ μὴ ἐλαττονηθῇ.

8. Ἐν φίλῳ καὶ ἐν ἐχθρῷ μὴ διηγοῦ
βίος ἀλλοτρίος,
Καὶ εἰ μὴ ἐσί σοι ἁμαρτία, μὴ ἀποκάλυπτε·

9. Ἀκήκοε γάρ σου καὶ ἐφυλάξατό σε,
Καὶ ἐν καιρῷ μισήσει σε. μασήσει

10. Ἀκήκοας λόγον, συναποθανέτω σοι·
Θάρσει, ἐ μή σε ῥήξει.

11. Ἀπὸ προσώπε λόγε ὠδινήσει μωρὸς,
Ὡς ἀπὸ προσώπε βρέφος ἢ τίλσα·

12. Βέλος πεπηγὸς ἐν μηρῷ σαρκὸς,
Οὕτως λόγος ἐν κοιλίᾳ μωρῦ.

13. Ἔλεγξον φίλον μήποτε ἐκ ἐποίησεν,
Καὶ εἴ τι ἐποίησε, μήποτε προσθῇ·

14. Ἔλεγξον τὸν φίλον, μήποτε ἐκ ἔπε,
Καὶ εἰ εἴρηκεν, ἵνα μὴ δευτερώσῃ· ἢ

15. Ἔλεγξον φίλον, πολλάκις γὰρ γίνεται διαβολὴ,
Καὶ μὴ παντὶ λόγῳ πίσευε.

16. Ἔσιν ὀλισθαίνων λόγῳ, καὶ ἐκ ἀπὸ ψυχῆς· καὶ τίς ἐχ ἥμαρτεν ἐν τῇ γλώσσῃ αὐτοῦ; ὀλιθανῶν

17. Ἔλεγξον τὸν πλησίον σε πρινὴ ἀπειλῆσαι,
Καὶ δὸς τόπον νόμῳ ὑψίσε γινόμενος ἀμηνής.

v. 30. ſtich. 2. (μὴ) deeſt. v. 31. εὐδοκήσεις) χορηγήσῃς. ibid. ſtich. 2. Ποιήσεις) ποιήσει σε. v. 32. ſtich. 2. in *Rom.* μὴ δὲ προσδεηθῇς συμβολῆς αὐτῆς. v. 33. ſtich. 2. μαρσίππῳ) μαρσυπείῳ. CAP. XIX. v. 3. Σήπη) σῆτες. v. 6. ſtich. 2. καρδίᾳ) κακίᾳ. v. 7. ſtich. 2. ἐλαττονηθῇ) ἐλαττονωθῇ. v. 8. καὶ ἐχθρῷ) καὶ ἐν ἐχθρῷ. v. 9. ſtich. 2. μασήσει) μισήσει. v. 13. ſtich. 2. & v. 14. ſtich. 1. Suplementa minori characſtere expreſſa habet *Edit. Rom.* v. 14. ſtich. 2. Καὶ ἢ) καὶ εἰ. v. 16. ὀλισθανῶν) ὀλισθαίνων. ibid. ἥμαρτεν) ἥμάρτησεν.

18. Φόβος Κυρίε ἀρχὴ προσλήψεως·
Σφόδρα δὲ παῤ αὐτῷ ἀγάπησιν περιποιεῖ.

19. Γνῶσις ἐντολῶν Κυρίε παιδεία ζωῆς·
Οἱ δὲ ποιοῦντες τὰ ἀρεσκὰ αὐτῷ, ἀθανασίας δένδρον καρπώσονται.

20. Πᾶσα σοφία φόβος Κυρίε,
Καὶ ἐν πάσῃ σοφίᾳ ποίησις νόμε
καὶ γνῶσις τῆς παντοκρατορίας αὐτῷ.

21. Οἰκέτης λέγων τῷ δεσπότῃ· ὡς ἀρέσκει, ἐ ποιήσω,
Ἐὰν μετὰ ταῦτα ποιήσῃ, παροργίζει τὸν τρέφοντα αὐτόν.

22. (Καὶ) ἐκ ἔστι σοφία πονηρίας ἐπιστήμη,
Καὶ ἐκ ἔστι βελὴ ἁμαρτωλῶν φρόνησις·

πονηρία 23. Ἔστι πανουργία, καὶ αὕτη βδέλυγμα,
Καὶ ἔστιν ἄφρων ἐλαττούμενος σοφίᾳ.

24. Κρείττων ἡττώμενος ἐν συνέσει ἔμφοβος,
Ἢ περισσεύων ἐν συνέσει καὶ παραβαίνων νόμον ὑψίστε.

25. Ἔστι πανουργία ἀκριβὴς, καὶ αὕτη ἄδικος,
Καὶ ἔστι διαστρέφων χάριν τοῦ ἐκφάναι κρίμα·
Καὶ ἔστι δικαίων κρίσει σοφός.

26. Ἔστι πονηρευόμενος συγκεκυφὼς μελανίᾳ,
Καὶ τὰ ἐντὸς αὐτοῦ πλήρης δόλε·

ἑτεροκωφῶν 27. Συγκύφων πρόσωπον καὶ ἑτεροκωφῶν,
Ὅπε ἐκ ἐπεγνώσθη, προφθάσει σε·

28. Καὶ ἐὰν ὑπὸ ἐλαττώματος ἰσχύος κωλυθῇ ἁμαρτεῖν,
Ἐὰν εὕρῃ καιρὸν, κακοποιήσει σε.

29. Ἀπὸ ὁράσεως ἐπιγνωσθήσεται ἀνὴρ,
Καὶ ἀπὸ ἀπαντήσεως προσώπε ἐπιγνωσθήσεται νοήμων,

30. Στολισμὸς ἀνδρὸς καὶ γέλως ὀδόντων
Καὶ βήματα ἀνθρώπε ἀναγγέλλει τὰ περὶ * αὐτοῦ, ἀναγγελεῖ * ἐμοῦ

ΚΕΦ. Κ'. XX.

ΕΣτιν ἔλεγχος ὃς ἐκ ἔστιν ὡραῖος·
Καὶ ἔστι σιωπῶν, καὶ αὐτὸς φρόνιμος.

2. Ὡς καλὸν ἐλέγξαι ἢ θυμοῦσθαι κρυπτῶς·
Καὶ ὁ ἀνθομολογούμενος ἀπὸ ἐλαττώσεως κωλυθήσεται.

3. Ὡς καλὸν ἐλεγχθέντα φανερῶσαι μετάνοιαν·
Οὗτος γὰρ φεύξει ἑκούσιον ἁμάρτημα.

4. Ἐπιθυμία εὐνούχε ἀποπαρθενῶσαι νεάνιδα·
Οὕτως ὁ ποιῶν ἐν βίᾳ κρίματα.

5. Ἔστι σιωπῶν εὑρισκόμενος σοφὸς,
Καὶ ἔστι μισητὸς ἀπὸ πολλῆς λαλιᾶς.

6. Ἔστι σιωπῶν, ἐ γὰρ ἔχει ἀπόκρισιν·
Καὶ ἔστι σιωπῶν, εἰδὼς καιρόν.

7. Ἄνθρωπος σοφὸς σιγήσει ἕως καιροῦ·
Ὁ δὲ λαπισὴς καὶ ἄφρων ὑπερβήσεται καιρόν. ἀφιὼν

8. Ὁ πλεονάζων λόγῳ βδελυχθήσεται, λόγον
Καὶ ὁ ἐξυσιαζόμενος μισηθήσεται.

9. Ἔστιν εὐοδία ἐν κακοῖς ἀνδρὶ, εὐωδία
Καὶ ἔστιν εὕρεμα εἰς ἐλάττωσιν.

10. Ἔστι

v. 22. ἐκ ἔστιν βελὴ) ἐκ ἔστιν ὅπε βελὴ. v. 24. stich. 2. ἐν συνέσει) ἐν φρονήσει. v. 28. stich. 2. κακοποιήσει σε) σε abeſt. v. 30. stich. 2. ἀναγγελεῖ τὰ περὶ ἐμοῦ) ἀναγγέλλει τὰ περὶ αὐτοῦ. CAP. XX. v. 2. ab hoc verſu *Edit. Rom.* incipit 20. Caput. v. 7. ſtich. 2. ἀφιὼν) ἄφρων. v. 8. λόγον) λόγῳ. ibid. ſtich. 2. ἐξυσιαζόμενος) ἐνεξυσιαζόμενος. v. 9. εὐωδία) εὐοδία.

10. Ἔστι δόσις ἣ ὲ λυσιτελήσει σοι,
Καὶ ἔστι δόσις ἧς τὸ ἀνταπόδομα διπλοῦν.

11. Ἔστιν ἐλάττων ἕνεκεν δόξης,
Καὶ ἔστιν ὃς ἀπὸ ταπεινώσεως ἦρε κεφαλήν.

12. Ἔστιν ὁ ἀγοράζων πολλὰ ὀλίγε,
Καὶ ἀποτινύων αὐτὰ ἑπταπλάσιον.

13. Ὁ σοφὸς ἐν λόγοις ἑαυτὸν προσφιλῆ ποιήσει·
Χάριτες δὲ μωρῶν ἐκχυθήσονται.

14. Δόσις ἄφρονος ὲ λυσιτελήσει σοι λαβόντι,
Ὁμοίως δὲ καὶ βασκάνε διὰ ἀνάγκην αὐτῦ·
Οἱ γὰρ ὀφθαλμοὶ αὐτῦ ἀνθ' ἑνὸς εἰς τὸ λαβεῖν πολλοί·

15. Ὀλίγα δώσει καὶ πολλὰ ὀνειδίσει,
Καὶ ἀνοίξει τὸ στόμα αὐτῦ ὡς κήρυξ·
ἀποτίσει Σήμερον δανειεῖ, καὶ αὔριον ἀπαιτήσει·
Μισητὸς ἄνθρωπος ὁ τοιῦτος Κυρίῳ καὶ ἀνθρώποις.

16. Μωρὸς ἐρεῖ· ἐχ ὑπάρχει μοι φίλος,
Καὶ ἐκ ἔστι χάρις τοῖς ἀγαθοῖς με·
Οἱ ἔδοντες τὸν ἄρτον με, φαῦλοι γλώσσῃ.

17. Ποσάκις καὶ ὅσοι καταγελάσονται αὐτῦ;
Οὔτε γὰρ τὸ ἔχειν ἐν ὀρθῇ αἰδήσει εἴληφεν,
Καὶ τὸ μὴ ἔχειν ὁμοίως ἀδιάφορον αὐτῷ.

18. Ὀλίθημα ἀπὸ ἐδάφους μᾶλλον ἢ ἀπὸ γλώσσης·
Οὕτως πῶσις κακῶν κατὰ σπουδὴν ἥξει.

19. Ἄνθρωπος ἄχαρις, μύθος ἄκαιρος·
Ἐν στόματι ἀπαιδεύτων ἐνδελεχισθήσεται.

20. Ἀπὸ στόματος μωρῦ ἀποδοκιμασθήσεται παραβολή·
Οὐ γὰρ μὴ εἴπῃ αὐτὴν ἐν καιρῷ αὐτῆς.

21. Ἔστι κωλυόμενος ἁμαρτάνειν ἀπὸ ἐνδείας·
Καὶ ἐν τῇ ἀναπαύσει αὐτῦ ὲ κατανυγήσεται.

22. Ἔστιν ἀπολλύων τὴν ψυχὴν αὐτῦ δι' αἰσχύνην,
Καὶ ἀπὸ ἄφρονος προσώπε ἀπολεῖ ἀπολύει
αὐτήν.

23. Ἔστι χάριν αἰσχύνης ἐπαγγελλόμενος φίλῳ,
Καὶ ἐκλήσατο αὐτὸν ἐχθρὸν δωρεάν.

24. Μῶμος πονηρὸς ἐν ἀνθρώπῳ ψεῦδος·
Ἐν στόματι ἀπαιδεύτων ἐνδελεχισθήσεται.

25. Αἱρετὸν κλέπτης ἢ ὁ ἐνδελεχίζων ψεύδει·
Ἀμφότεροι δὲ ἀπώλειαν κληρονομήσουσιν.

26. Ἦθος ἀνθρώπε ψευδοῦς ἀτιμία, ψεῦδος
Καὶ ἡ αἰσχύνη αὐτῦ μετ' αὐτῦ ἐνδελεχῶς.

Λόγοι παραβολῶν.

27. Ὁ σοφὸς ἐν λόγοις προάξει ἑαυτὸν, προσά-
Καὶ ἄνθρωπος φρόνιμος ἀρέσει μεγισᾶσιν. ξει

28. Ὁ ἐργαζόμενος γῆν ἀνυψώσει θημωνίαν αὐτῦ·
Καὶ ὁ ἀρέσκων μεγισᾶσιν ἐξιλάσεται ἀδικίας.

V. 11. ἐλάττων) ἐλάττωσις. V. 12. ὁ ἀγοράζων) absque articulo. V. 13. ἐν λόγοις) ἐν λόγῳ. V. 15. ſtich. 3. ἀποτίσει) ἀπαιτήσει. V. 16. ὑπάρχει) addit μοι. V. 22. ſtich. 2. ἀπολύει) ἀπολεῖ. V. 25. κλέπτης) addit ἢ ὁ. V. 26. ψεῦδος) ψευδᾶς. V. 27. προσάξει) προάξει. V. 28. ſtich. 2. ἀδικίας) ἀδικίαν.

29. Ξένια καὶ δῶρα ἀποτυφλοῖ ὀφθαλμὲς σοφῶν,
Καὶ ὡς φιμὸς ἐν στόματι ἀποτρέπει ἐλεγμές.
30. Σοφία κεκρυμμένη καὶ θησαυρὸς ἀφανὴς,
Τίς ὠφέλεια ἐν ἀμφοτέροις;
31. Κρείττων ἄνθρωπος ἀποκρύπτων τὴν μωρίαν αὐτῦ,
Ἢ ἄνθρωπος ἀποκρύπτων τὴν σοφίαν αὐτῦ.
32. Κρείσσων ὑπομονὴ ἀπαραίτητος ἐν ζητήσει Κυρίε, Ἢ ἀδέσποτος τροχηλάτης τῆς ἰδίας ζωῆς.

ΚΕΦ. ΚΑ'. XXI.

Τέκνον ἥμαρτες, μὴ προσθῇς μηκέτι,
Καὶ περὶ τῶν προτέρων σου δεήθητι.
2. Ὡς ἀπὸ προσώπου ὄφεως, φεῦγε ἀπὸ ἁμαρτίας·
Ἐὰν γὰρ προσέλθῃς, δήξεταί σε·
Ὀδόντες λέοντος οἱ ὀδόντες αὐτῆς,
Ἀναιροῦντες ψυχὰς ἀνθρώπων.
3. Ὡς ῥομφαία δίστομος πᾶσα ἀνομία, καὶ τῇ πληγῇ αὐτῆς ἐκ ἔστιν ἴασις.
4. Καταπληγμὸς καὶ ὕβρις ἐρημώσουσι πλῆτον·
Οὕτως οἶκος ὑπερηφάνων ἐρημωθήσεται.
5. Δέησις πλωχῦ ἐκ στόματος ἕως ὠτίων αὐτῦ,
Καὶ τὸ κρίμα αὐτῦ κατὰ σπουδὴν ἔρχεται.
6. Μισῶν ἔλεγχον, ἐν ἴχνει ἁμαρτωλῦ· καὶ ὁ φοβέμενος Κύριον ἐπιστρέψει τὸν θεὸν ἐν καρδίᾳ ἐπὶ καρδίαν αὐτῦ.
7. Γνωστὸς μακρόθεν ὁ δυνατὸς ἐν γλώσσῃ·
Ὁ δὲ νοήμων οἶδεν ἐν τῷ ὀλισθαίνειν αὐτόν. ὀλισθανεῖν
8. Ὁ οἰκοδομῶν τὴν οἰκίαν αὐτῦ ἐν χρήμασιν ἀλλοτρίοις,
Ὡς συνάγων τὰς λίθας αὐτῦ εἰς χειμῶνα.
9. Στυππεῖον συνηγμένον συναγωγὴ ἀνόμων, εἰσαγωγὴ
Καὶ ἡ συντέλεια αὐτῶν φλὸξ πυρός.
10. Ὁδὸς ἁμαρτωλῶν ὡμαλισμένη ἐκ λίθων, καὶ ἐπ' ἐσχάτων αὐτῆς βάθρος ᾅδου.
11. Ὁ φυλάσσων νόμον Κυρίε, κατακρατεῖ τῦ ἐννοήματος αὐτῦ·
Καὶ συντέλεια τῦ φόβου Κυρίε σοφία.
12. Οὐ παιδευθήσεται ὃς ἐκ ἔστι πανοῦργος·
Ἔστι δὲ πανουργία πληθύνουσα πικρίαν. παιδείαν
13. Γνῶσις σοφῦ ὡς κατακλυσμὸς πληθυνθήσεται,
Καὶ ἡ βουλὴ αὐτῦ ὡς πηγὴ ἁγνὴ ζωῆς:
14. Ἔγκατα μωροῦ ὡς ἀγγεῖον συντετριμμένον,
Καὶ πᾶσαν γνῶσιν οὐ κρατήσει ἐν ζωῇ αὐτῦ.
15. Λόγον σοφὸν ἐὰν ἀκούσῃ ἐπιστήμων, αἰνέσει αὐτὸν, καὶ ἐπ' αὐτὸν προθήσει·
Ἤκουσεν ὁ σπαταλῶν, καὶ ἀπήρεσεν αὐτῷ,

Καὶ

V. 31. Κρείττων) κρείσσων. CAP. XXI. v. 3. καὶ τῇ πλ.) καὶ deeſt. v. 4. ſtich. 2. ὑπερηφάνων) ὑπερηφάνου. v. 6. ἔλεγχον) ἐλεγμὸν. ibid. τὸν Θεὸν) κύριον. v. 7. ſtich. 2. ολισθανεῖν) ὀλισθαίνειν. v. 8. ſtich. 2. Ὡς συνάγων τὰς λ. αὐτῦ) ὡς ὁ συνάγων αὐτῦ τὰς λίθας. v. 9. εἰσαγωγὴ) συναγωγὴ. v. 10. ἐπ' ἐσχάτων) ἐπ' ἐσχάτῳ. v. 12. ſtich. 2. Ἔστι δὲ) δὲ abeſt. ibid. παιδείαν) πικρίαν. v. 15. ſtich. 3. τῶν ὤτων) τῦ νώτου.

τῶν ὠτων Καὶ ἀπέστρεψεν αὐτὸν ὀπίσω τῆ νώτε αὐτῆ.

16. Ἐξήγησις μωρῆ ὡς ἐν ὁδῷ Φορτίον· ἐπὶ δὲ χείλες συνετῆ εὑρεθήσεται χάρις.

17. Στόμα Φρονίμε ζητηθήσεται ἐν ἐκκλησία,
Καὶ τὲς λόγες αὐτῆ διανοηθήσονται ἐν καρδία.

18. Ὡς οἶκος ἠφανισμένος ἔτως μωρῷ σοφία,
Καὶ γνῶσις ἀσυνέτε ἀδιεξέταστοι λόγοι.

ἀνομία τῆ παιδίε 19. Πέδαι ἐν ποσὶν ἀνοήτοις παιδεία, καὶ ὡς χειροπέδαι ἐπὶ χειρὸς δεξιᾶς.

20. Μωρὸς ἐν γέλωτι ἀνυψοῖ τὴν Φωνὴν αὐτῆ·
Ἀνὴρ δὲ πανοῦργος μόλις ἡσυχῇ μειδιάσει.

21. Ὡς κόσμος χρυσῆς Φρονίμῳ παιδεία,
Καὶ ὡς χλιδὼν ἐπὶ βραχίονι δεξιῷ.

22. Πῆς μωρῆ ταχὺς εἰς οἰκίαν,
Ἄνθρωπος δὲ πολύπειρος αἰσχυνθήσεται ἀπὸ προσώπε.

23. Ἄφρων ἀπὸ θύρας παρακύπλει εἰς οἰκίαν·
Ἀνὴρ δὲ πεπαιδευμένος ἔξω στήσεται.

24. Ἀπαιδευσία ἀνθρώπε ἀκροᾶσθαι παρὰ θύραν·

ἀτιμίαν ἀλλοτρίων ἐν τούτοις βαρυνθήσεται Ὁ δὲ Φρόνιμος βαρυνθήσεται ἀτιμίᾳ.

25. Χείλη πολυλάλων τὰ ἐκ αὐτῶν διηγήσονται·
Λόγοι δὲ Φρονίμων ἐν ζυγῷ σταθήσονται.

26. Ἐν στόματι μωρῶν ἡ καρδία αὐτῶν,
Ἐν καρδίᾳ δὲ Φρονίμων στόμα αὐτῶν.

27. Ἐν τῷ καταράσασθαι ἀσεβῆ τὸν Σατανᾶν,
Αὐτὸς καθαρᾶται τὴν ψυχὴν αὐτῆ.

28. Μολύνει τὴν ἑαυτῆ ψυχὴν ὁ ψιθυρίζων,
Καὶ ἐν παροικήσει μισηθήσεται.

ΚΕΦ. ΚΒ'. XXII.

Λίθῳ ἠρθαλωμένῳ συνεβλήθη ὀκνηρὸς,
Καὶ πᾶς ἐκσυριεῖ ἐπὶ τῇ ἀτιμίᾳ αὐτῆ·

2. Βολβίτῳ κοπρίῳ συνεβλήθη ὀκνηρὸς,
Πᾶς ὁ ἀναιρέμενος αὐτὸν ἐκτινάξει χεῖρα.

3. Αἰσχύνη πατρὸς ἐν γεννήσει ἀπαιδεύτε,
Θυγάτηρ δὲ ἐπ' ἐλαττώσει γίνεται.

4. Θυγάτηρ Φρονίμη κληρονομήσει ἄνδρα αὐτῆς,
Καὶ ἡ καταισχύνσα, εἰς λύπην γεννήσαντος·

5. Πατέρα καὶ ἄνδρα καταισχύνει ἡ θρασεῖα,
Καὶ ὑπὸ ἀμφοτέρων ἀτιμασθήσεται.

6. Μεσικὰ ἐν πένθει, ἄκαιρος διήγησις· μάστιγες δὲ καὶ παιδεία ἐν παντὶ καιρῷ σοφίας.

7. Συγκολλῶν ὄστρακον ὁ διδάσκων μωρὸν,
Εἰς αἴσθησιν ἄγων τὴν γῆν·
Καὶ τὸν ἀπηλπισμένον εἰς σύνεσιν ὀξύνων,
Ἐξεγείρων καθεύδοντα ἐκ βαθέως ὕπνε· βαθέα

v. 16. εὑρεθήσεται) addit χάρις. v. 17. ſtich. 2. διανοηθήσονται) διανοηθήσεται. v. 19. ἀνομία τῆ παιδίε) ἀνοήτοις παιδεία. v. 20. τὴν Φωνὴν) absque articulo. v. 21. χρυσῆς) χρυσᾶ. v. 24. ſtich 2. ἀτιμίαν) ἀτιμίᾳ. v. 26. ſtich. 2. Φρονίμων) σοφῶν. . 27. καταράσασθαι) καταρᾶσθαι. ibid. ſtich. 2. τὴν ψυχὴν αὐτῆ) τὴν ἑαυτῆ ψυχήν. CAP. XXII. v. 2. κοπρίῳ) κοπρίων. v. 6. μάστιγες δὲ καὶ) δὲ abeſt. v. 7. ſtich. 4. βαθέα) βαθέως.

8. Διηγέμενος νυσάζοντι ὁ διηγέμενος μωρῷ,
Καὶ ἐπὶ συντελείᾳ ἐρεῖ, τί ἐστιν;
9. Τέκνα ἐν ἀγαθῇ ζωῇ τὴν τροφὴν ἔχοντα,
Τῶν ἰδίων γεννητόρων κρύψασι δυσγένειαν·
10. Τέκνα ἐν καταφρονήσει καὶ ἀπαιδευσίᾳ γεγαυριωμένα,
Συγγενείας ἑαυτῶν μολύνασι τὴν εὐγένειαν.
11. Ἐπὶ νεκρῷ κλαῦσον, ἐξέλειπε γὰρ φῶς· καὶ ἐπὶ μωρῷ κλαῦσον, ἐξέλειπε γὰρ σύνεσιν·
ἴδιον Ἤδιον κλαῦσον ἐπὶ νεκρῷ, ὅτι ἀνεπαύσατο·
Τῷ γὰρ μωρῷ ὑπὲρ θάνατον ζωὴ πονηρά.
12. Πένθος νεκρῷ ἑπτὰ ἡμέραι,
Μωρῷ δὲ καὶ ἀσεβῶς πᾶσαι αἱ ἡμέραι τῆς ζωῆς αὐτῶν.
13. Μετὰ ἄφρονος μὴ πληθύνῃς λόγον,
Καὶ πρὸς ἀσύνετον μὴ πορεύῃ,
Ἀναισθητῶν γὰρ ἐξυδενώσει σε τὰ πάντα·
Φύλαξαι ἀπ' αὐτῶ ἵνα μὴ κόπον ἔχῃς,
Καὶ ὲ μὴ μολυνθῇς ἐν τῷ ἐντιναύγματι αὐτῶ·
Ἔκκλινον ἀπ' αὐτῶ καὶ εὑρήσεις ἀναάπαυσιν,
κηδιάσῃς Καὶ ὲ μὴ ἀκηδιάσῃς ἐν τῇ ἀπονοίᾳ αὐτῶ.
14. Ὑπὲρ μόλιβον τί βαρυνθήσεται;
Καὶ τί αὐτῷ ὄνομα, ἀλλ' ἢ μωρός;
15. Ἄμμον καὶ ἅλα καὶ βῶλον σιδήρε εὔκοπον ὑπενεγκεῖν,
Ἢ ἄνθρωπον ἀσύνετον.
16. Ἰμάντωσις ξυλίνη εἰς οἰκοδομὴν ἐνδεδεμένη,
Ἐν συσεισμῷ ὲ διαλυθήσεται·
Οὕτως καρδία ἐστηριγμένη ἐπὶ διανοήματος βελῆς,
Ἐν παντὶ καιρῷ φόβε ὲ δειλιάσει·
17. Καρδία ἡδρασμένη ἐπὶ διανοίᾳ συνέσεως,
Ὡς κόσμος ψαμμωτὸς ἐπὶ τοίχῳ ξυστῷ.
18. Χάρακες ἐπὶ μετεώρε κείμενοι Χάλικες
Κατέναντι ἀνέμε ὲ μὴ ὑπομενῶσιν·
Οὕτως καρδία δειλὴ ἐπὶ διανοήματος μωρῷ
Κατέναντι παντὸς φόβε ὲ μὴ ὑπομείνῃ.
19. Ὁ νύσσων ὀφθαλμὲς καττάξει δάκρυα· καὶ ὁ νύσσων καρδίαν ἐκφαίνει αἴσθησιν.
20. Βάλλων λίθον ἐπὶ πετεινά, ἀποσοβεῖ αὐτά· καὶ ὁ ὀνειδίζων φίλον διαλύσει φιλίαν.
21. Ἐπὶ φίλον ἐὰν σπάσῃς ῥομφαίαν,
Μὴ ἀπελπίσῃς, ἔστι γὰρ ἐπάνοδος·
22. Ἐπὶ φίλον ἐὰν ἀνοίξῃς στόμα,
Μὴ εὐλαβηθῇς, ἔστι γὰρ διαλλαγή·
Πλὴν ὀνειδισμῷ καὶ ὑπερηφανίας
Καὶ μυστηρίκ ἀποκαλύψεως καὶ πληγῆς δολίας,
Ἐν τέτοις ἀποφεύξεται πᾶς ὁ φίλος.
23. Πίστιν κτῆσαι ἐν πλησίον σε,

Ἴνα

V. 11. κλαῦσεν, ἐξέλειπε γὰρ φῶς καὶ) κλαῦσον φῶς, καὶ. ibid. ἐξέλ. γὰρ σύνεσιν) ἐξέλιπε γὰρ σύνεσις. ibid. stich. 2. ἴδιον) ἤδιον. ibid. stich. 3. Τῷ γὰρ) τῷ δὲ. ibid. ζωὴ) ἡ ζωὴ. V. 12. stich. 2. ζωῆς αὐτῶν) ζωῆς αὐτῷ. V. 13. stich. 5. ἐντιναύγματι) ἐντιναγμῷ. ibid. stich. 7. κηδιάσῃς) ἀκηδιάσῃς. V. 14. μόλιβον) μόλυβδον. V. 16. εἰς οἰκοδ. ἐνδεδεμένη transposita. V. 17. ἐπὶ διανοίᾳ) ἐπὶ διανοίας. V. 18. Χάλικες) χάρακες. ibid. stich. 2. ὑπομενῶσιν) ὑπομείνωσιν. V. 19. ὀφθαλμὲς) ὀφθαλμὸν. V. 22. stich. 5. ὁ φίλος) φίλος.

ἐπὶ Ἵνα ἐν τοῖς ἀγαθοῖς αὐτῆ ὁμᾶ εὐφρανθῆς σύ·
Ἐν καιρῷ θλίψεως διάμενε αὐτῷ,
Ἵνα ἐν τῇ κληρονομίᾳ αὐτῆ συγκληρονομήσῃς·
Οὐ καταφρονητέον γὰρ ἀεὶ τῆς περιχαρείας,
Οὐδὲ θαυμαστὸς πλέσιος νῶν ἐκ ἔχων.

24. Πρὸ πυρὸς ἀτμὶς καμίνε καὶ καπνός·
Οὕτως πρὸ αἱμάτων λοιδορίαι.

25. Φίλον σκεπάσι ἐκ αἰσχυνθήσομαι,
Καὶ ἀπὸ προσώπε αὐτῆ ἐ μὴ κρυβῶ·

26. Καὶ εἰ κακά μοι συμβέβηκεν δι' αὐτὸν,
Πᾶς ἀκέων φυλάξεται ἀπ' αὐτῆ.

27. Τίς δώσει ἐπὶ σόματί με φυλακὴν,
Καὶ ἐπὶ τῶν χειλέων με σφραγίδα πανέργων;
Ἵνα μὴ πέσω ἀπ' αὐτῆς,
Καὶ ἡ γλῶσά με μὴ ἀπολέσῃ με.

ΚΕΦ. ΚΓ'. XXIII.

ΚΥριε πάτερ καὶ Θεὲ ζωῆς με,
Μὴ ἐγκαταλίπῃς με ἐν βελῇ αὐτῶν,
Καὶ μὴ ἀφῇς με πεσεῖν ἐν αὐτοῖς ἐν παραδειγματισμῷ.

ἐπιστήσῃ 2. Τίς ἐπισήσει ἐπὶ τῆ διανοήματός με μάσιγας,
παιδείας Καὶ ἐπὶ τῆς καρδίας με παιδείαν σοφίας;
Ἵνα ἐπὶ τοῖς ἀγνοήμασί με μὴ φείσωνται,
Καὶ ἐ μὴ παρῇ τὰ ἁμαρτήματα αὐτῶν·

3. Ὅπως μὴ πληθυνθῶσιν αἱ ἄγνοιαί με,
Καὶ αἱ ἁμαρτίαι με πλεονάσωσιν εἰς συντριβήν,
Καὶ πεσῶμαι ἔναντι τῶν ὑπεναντίων,
Καὶ ἐπιχαρεῖταί μοι ὁ ἐχθρός με,
Ὧν μακρὰν ἔστιν ἡ ἐλπὶς τῆ ἐλέες σε.

4. Κύριε πάτερ καὶ Θεὲ ζωῆς με,
Μετεωρισμὸν ὀφθαλμῶν μὴ δῷς μοι,
Καὶ γιγαντώδη ψυχὴν ἀπόστησον διαπαντὸς ἀπὸ τῶν θέλων σε.

5. Ἐλπίδας κενὰς καὶ ἐπιθυμίας ἀπόστρεψον ἀπ' ἐμῆ, ἐπιθυμίαν
Καὶ κρατήσεις τὸν θέλοντά σοι δουλεύειν διαπαντός·

6. Κοιλίας ὄρεξις καὶ συνουσιασμὸς μὴ καταλαβέτωσάν με,
Καὶ ψυχὴ ἀναιδεῖ μὴ παραδῷς με.
Παιδεία σόματος.

7. Παιδείαν σόματος ἀκούσατε τέκνα,
Καὶ ὁ φυλάσσων ἐ μὴ ἁλῷ·
Ἐν τοῖς χείλεσιν αὐτῆ 8. καταλειφθήσεται
Ἁμαρτωλὸς, καὶ λοίδορος καὶ ὑπερήφανος σκανδαλισθήσονται ἐν αὐτοῖς.

9. Ὅρκῳ μὴ ἐθίσῃς τὸ σόμα σε.
Καὶ ὀνομασίᾳ τῆ ὑψίσε μὴ συνεθισθῆς·
10. Ὥσπερ γὰρ οἰκέτης ἐξεταζόμενος ἐνδελεχῶς

Ἀπὸ

v. 23. ſtich. 2. in *Rom.* Ἵνα ἐν τοῖς ἀγαθοῖς αὐτῆ ὁμᾶ πληθῇς. v. 26. συμβέβηκεν) συμβῇ. ibid. ſtich. 2. Πᾶς ἀκέων) πᾶς ὁ ἀκέων. v. 27 δώσει ἐπὶ σόματί με) δώσει μοι ἐπὶ σόμα μου. ibid. ſtich. 2. πανέργων) πανοῦργον. CAP. XXIII. v. 1. καὶ Θεὲ) καὶ δέσποτα. ibid. ſtich. 3. Καὶ μὴ) καὶ deeſt. v. 2. ἐπισήσῃ) ἐπισήσει. ibid. ſtich. 2. παιδείας) παιδείαν. ibid. ſtich. 3. Φείσωνται) Φείσονται. v. 3. πληθυνθῶσιν) πληθύνωσιν. v. 6. ſtich. 3. *Rom.* addit ad hunc verſum litteris majoribus παιδεία σόματος. v. 9. ſtich. 2. τῆ ὑψίσε) τοῦ ἁγίε.

Ἀπὸ μώλωπος ἐκ ἐλατ⸗ωθήσεται·
Οὕτως καὶ ὁ ὀμνύων καὶ ὁ ὀνομάζων διαπαντὸς τὸ ὄνομα Κυρίε
Ἀπὸ ἁμαρτίας ἐ μὴ καθαριωθῇ.

11. Ἀνὴρ πολύορκος πληωθήσεται ἀνομίας,
Καὶ ἐκ ἀποσήσεται ἀπὸ τ῀ οἴκε αὐτ῀ μάσιξ·
Ἐὰν πλημμελήσῃ, ἁμαρτία αὐτ῀ ἐπ' αὐτῷ,
Κἂν ὑπερείδῃ, ἥμαρτε διατῶς·
Καὶ εἰ διακενῆς ὤμοσεν, ἐ δικαιωθήσεται·
Πληωθήσεται γὰρ ἐπαγωγῶν ὁ οἶκος αὐτ῀.

12. Ἔσι λέξις ἀντιπεριβεβλημένη θανάτῳ·
Μὴ εὑρεθήτω ἐν κληρονομίᾳ Ἰακώβ·
Ἀπὸ γὰρ εὐσεβῶν ταῦτα πάντα ἀποσήσεται,
Καὶ ἐν ἁμαρτίαις ἐκ ἐγκυλιωθήσονται.

13. Ἀπαιδευσίαν ἀσυρῇ μὴ συνεθίσῃς τὸ ⸗όμα σε·
Ἔσι γὰρ ἐν αὐτῇ λόγος ἁμαρτίας.

14. Μνήθητι πατρός σε καὶ μητρός σε,
Ἀναμέσον γὰρ μεγισάνων συνεδρεύεις·
Μήποτε ἐπιλάθῃ ἐνώπιον αὐτῶν,
Καὶ τῷ ἐθισμῷ σε μωρανθῇς,
Καὶ θελήσεις εἰ μὴ ἐγεννήθης,
Καὶ τὴν ἡμέραν τ῀ τοκετ῀ σε καταράσῃ.

15. Ἄνθρωπος συνεθιζόμενος λόγοις ὀνειδισμ῀,
Ἐν πάσαις ταῖς ἡμέραις αὐτ῀ ἐ μὴ παιδευθῇ.

16. Δύο εἴδη πληθύνουσιν ἁμαρτίας. πληθύνουσιν
Καὶ τὸ τρίτον ἐπάξει ὀργήν·
Ψυχὴ θερμὴ ὡς πῦρ καιόμενον,
Οὐ μὴ σβεσθῇ, ἕως ἂν καταποθῇ·
Ἄνθρωπος πόρνος ἐν σώματι σαρκὸς αὐτ῀,
Οὐ μὴ παύσηται ἕως ἂν ἐκκαύσῃ πῦρ·

17. (Ἀνθρώπῳ πόρνῳ πᾶς ἄρτος ἡδύς,
Οὐ μὴ κοπάσῃ ἕως ἂν τελευτήσῃ·)

18. Ἄνθρωπος (πόρνος) παραβαίνων ἀπὸ τῆς κοίτης αὐτ῀,
Λέγων ἐν τῇ ψυχῇ αὐτ῀· τίς με ὁρᾷ;
Σκότος κύκλῳ με, καὶ οἱ τοῖχοί με καλύπ⸗ουσι,
Καὶ ἐθείς με ὁρᾷ, τίνα εὐλαβ῀μαι;
Τῶν ἁμαρτιῶν με ἐ μὴ μνηθήσεται ὁ ὕψισος·

19. Καὶ ὀφθαλμοὶ ἀνθρώπων ὁ φόβος αὐτ῀,
Καὶ ἐκ ἔγνω ὅτι ὀφθαλμοὶ Κυρίε
Μυριοπλασίως ἡλίε φωτεινότεροί εἰσιν,
Ἐπιβλέποντες πάσας ὁδὲς ἀνθρώπων, καὶ κατανοοῦντες ἀπόκρυφα μέρη·

(20. Πρινὴ κ⸗ιωθῆναι, τὰ πάντα ἔγνωσαι αὐτῷ,
Οὕτως καὶ μετὰ τὸ τελεωθῆναι κατοψῇ τὰ πάντα·)

21. Οὗτος ἐν πλατείαις πόλεως ἐκδικηθήσεται,
Καὶ οὗ ἐχ ὑπενόησεν * παιωθήσεται. ὃς * κο-

22. Οὕτως λαωθήσεται

v. 10. ſtich. 3. & 4. ὁ ὀνομάζων διαπ. τὸ ὄνομα Κυρίε Ἀπὸ) ὀνομάζων διαπαντὸς ἀπὸ. v. 14. πατρός σε καὶ) πατρὸς καὶ. ibid. ſtich. 3. Μήποτε ἐπ.) μηποτ' ἐπιλ. ibid. ſtich. 6. τοκετ῀ σε) adjicit καταράσῃ. v. 16. πληθύνωσιν) πληθύνουσιν. v. 18. (πόρνος) abeſt. ibid. κοίτης) κλίνης. ibid. ſtich. 2. Λέγων τῇ) λέγων ἐν τῇ. ibid. ſtich. 4. τίνα) τί. v. 19. ſtich. 4. ἀπόκρυφα) εἰς ἀπόκρυφα. v. 20. ſtich. 2. τελεθῆναι) συντελεσθῆναι. v. 21. ſtich. 2. in *Rom.* καὶ ἃ οὐχ ὑπενόησεν πιωθήσεται.

22. Οὕτως καὶ γυνὴ καταλιποῦσα τὸν ἄνδρα,
Καὶ παρεισῶσα κληρονόμον ἐξ ἀλλοτρίου·
ὑψισῳ 23. Πρῶτον μὲν γὰρ ἐν νόμῳ ὑψίστου ἠπειθησε,
Καὶ δεύτερον εἰς ἄνδρα αὐτῆς ἐπλημμέλησε,
Καὶ τὸ τρίτον ἐν πορνείᾳ ἐμοιχεύθη,
Καὶ ἐξ ἀλλοτρίου ἀνδρὸς τέκνα παρέσησεν·
24. Αὕτη εἰς ἐκκλησίαν ἐξαχθήσεται,
Καὶ ἐπὶ τὰ τέκνα αὐτῆς ἐπισκοπὴ ἔσαι·
25. Οὐ διαδώσουσιν τὰ τέκνα αὐτῆς εἰς ῥίζαν,
Καὶ οἱ κλάδοι αὐτῆς ἐκ οἴσουσι καρπόν·
καταλει- 26. Καταλείψει εἰς κατάραν τὸ μνημόσυ-
ψις νον αὐτῆς,
27. Καὶ ἐπιγνώσονται οἱ καταλειφθέντες
Ὅτι ἀθὲν κρεῖττον φόβου Κυρίου, καὶ
ἀθὲν γλυκύτερον τοῦ προσέχειν ἐντολαῖς Κυρίου.
28. Δόξα μεγάλη ἀκολουθεῖν Θεῷ,
Μακρότης δὲ ἡμερῶν τὸ προσληφθῆναί σε ὑπ' αὐτοῦ.

ΚΕΦ. ΚΔ'. XXIV.

Σοφίας αἴνεσις.

καυχή- Η Σοφία αἰνέσει ψυχὴν αὐτῆς, καὶ ἐν μέσῳ λαοῦ αὐτῆς καυ-
σονται χήσεται.

2. Ἐν ἐκκλησίᾳ ὑψίστου στόμα αὐτῆς ἀνοίξει,
Καὶ ἔναντι δυνάμεως αὐτοῦ καυχήσεται·
3. Ἐγὼ ἀπὸ στόματος ὑψίστου ἐξῆλθον,
Καὶ ὡς ὁμίχλη κατεκάλυψα γῆν. ὁμίχλην
4. Ἐγὼ ἐν ὑψηλοῖς κατεσκήνωσα,
Καὶ ὁ θρόνος μου ἐν στύλῳ νεφέλης·
5. Γῦρον οὐρανοῦ ἐκύκλωσα μόνη,
Καὶ ἐν βάθει ἀβύσσων περιεπάτησα·
6. Ἐν κύμασι θαλάσσης, καὶ ἐν πάσῃ τῇ γῇ,
Καὶ ἐν παντὶ λαῷ καὶ ἔθνει ἐκτησάμην·
7. Μετὰ τούτων πάντων ἐζήτησα ἀνάπαυσιν,
Καὶ ἐν κληρονομίᾳ τίνος αὐλισθήσομαι;
8. Τότε ἐνετείλατό μοι ὁ κτίσης ἁπάντων,
Καὶ ὁ κτίσας με κατέπαυσε τὴν σκηνήν μου,
Καὶ εἶπεν· ἐν Ἰακὼβ κατασκήνωσον,
Καὶ ἐν Ἰσραὴλ κληρονομήθητι.
9. Πρὸ τοῦ αἰῶνος ἀπ' ἀρχῆς ἔκτισέ με,
Καὶ ἕως αἰώνων οὐ μὴ ἐκλίπω.
10. Ἐν σκηνῇ ἁγίᾳ ἐνώπιον αὐτοῦ ἐλειτούργησα,
Καὶ οὕτως ἐν Σιὼν ἐστηρίχθην·
11. Ἐν πόλει ἠγαπημένῃ ὁμοίως με κατέπαυσεν,
Καὶ ἐν Ἱερουσαλὴμ ἐξουσίαν μου·
12. Καὶ ἐρρίζωσα ἐν λαῷ δεδοξασμένῳ,
Ἐν μερίδι Κυρίου κληρονομίας αὐτοῦ.

v. 23. ὑψίσῳ) ὑψίστου. ibid. ſtich. 2. αὐτῆς) ἑαυτῆς. ibid. ſtich. 4. Καὶ ἐξ) καὶ abeſt. **v.** 25. ſtich. 2. ἐκ οἴσουσι) οὐ δώσουσι. **v.** 26. Καταλειψις) καταλείψει. CAP. XXIV. Inſcriptio in *Rom.* majoribus litteris: Αἴνεσις Σοφίας. **v.** 1. καυχήσονται) καυχήσεται. **v.** 3. ſtich. 2. ὁμίχλην) ὁμίχλη. **v.** 7. ἐζήτησα ἀνάπαυσιν) transpoſita. **v.** 8. ſtich. 3. Ἰακὼβ) ἐν Ἰακὼβ. ibid. ſtich. 4. κληρονομήθητι) κατακληρονομήθητι. **v.** 9. ἀπαρχὴν) ἀπ' ἀρχῆς. ibid. ſtich. 2. αἰώνων) αἰῶνος. **v.** 10. ἐλειτούργουν) ἐλειτούργησα. **v.** 11. ſtich. 2. ἐξουσίαν μου) ἡ ἐξουσία μου.

13. Ὡς κέδρος ἀνυψώθην ἐν τῷ Λιβάνῳ, καὶ ὡς κυπάρισσος ἐν ὄρει Ἀερμών·

ἀϊγιαλοῖς 14. Ὡς φοῖνιξ ἀνυψώθην ἐν Ἐνγαδδί,
Καὶ ὡς φυτὰ ῥόδα ἐν Ἰεριχῶ,
Καὶ ὡς ἐλαία εὐπρεπὴς ἐν πεδίῳ,
Καὶ ἀνυψώθην ὡς πλάτανος ἐφ' ὕδατος·

15. Ὡς κιννάμωμον καὶ ἀσπάλαθος ἀρωμάτων δέδωκα ὀσμήν,

δέδωκα χαρβάνη Καὶ ὡς σμύρνα ἐκλεκτὴ διέδωκα εὐωδίαν,
Καὶ ὡς χαλβάνη καὶ ὄνυξ καὶ σακλὴ,
Καὶ ὡς λιβάνου ἀτμὶς ἐν σκηνῇ·

16. Ἐγὼ δὲ ὡς τερέβινθος ἐξέτεινα κλάδους μου,
Καὶ οἱ κλάδοι μου κλάδοι δόξης καὶ χάριτος·

17. Ἐγὼ ὡς ἄμπελος ἐβλάστησα χάριν,
Καὶ τὰ ἄνθη μου καρπὸς δόξης καὶ πλούτου·

18. Ἐγὼ μήτηρ τῆς ἀγαπήσεως τῆς καλῆς,
Καὶ φόβου καὶ γνώσεως καὶ τῆς ὁσίας ἐλπίδος·
Δίδομαι δὲ σύμπασι τοῖς τέκνοις μου ἀειγενὴς,
τοῖς λεγομένοις ὑπ' αὐτοῦ.

19. Προσέλθατε πρὸς με οἱ ἐπιθυμοῦντές μου, καὶ ἀπὸ τῶν γενημάτων μου ἐμπλήσθητε·

20. Τὸ γὰρ μνημόσυνόν μου ὑπὲρ τὸ μέλι (τὸ) γλυκύ,
Καὶ ἡ κληρονομία μου ὑπὲρ μέλιτος καὶ κηρίου.

21. Οἱ ἔδοντές με ἔτι πεινάσουσι,
Καὶ οἱ πίνοντές με ἔτι διψήσουσιν·

22. Ὁ ὑπακούων μου οὐκ αἰσχυνθήσεται,
Καὶ οἱ ἐργαζόμενοι ἐν ἐμοὶ οὐχ ἁμαρτήσουσι.

23. Ταῦτα πάντα βίβλος διαθήκης Θεοῦ ὑψίστου,
Νόμος ὃν ἐνετείλατο ἡμῖν Μωϋσῆς, νόμον
Κληρονομίαν συναγωγαῖς Ἰακώβ.

24. Μὴ ἐκλύεσθε ἰσχὺν ἐν Κυρίῳ,
Κολλᾶσθε δὲ πρὸς αὐτὸν ἵνα κραταιώσῃ ὑμᾶς αὐτός·
Κύριος παντοκράτωρ ὁ Θεὸς μόνος ἐστὶν,
Καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ σωτήρ·

25. Ὁ πιπλῶν ὡς Φεισὼν σοφίαν,
Καὶ ὡς Τίγρις ἐν ἡμέραις νέων·

26. Ὁ ἀναπληρῶν ὡς Εὐφράτης σύνεσιν,
Καὶ ὡς Ἰορδάνης ἐν ἡμέραις θερισμοῦ·

27. Ὁ ἐκφαίνων ὡς φῶς παιδείαν γνώσεως,
Καὶ ὡς Γηὼν ἐν ἡμέραις τρυγητοῦ.

28. Οὐ συνετέλεσεν ὁ πρῶτος γνῶναι αὐτὴν,
Καὶ οὔτως ὁ ἔσχατος οὐκ ἐξιχνίασεν αὐτήν·

29. Ἀπὸ γὰρ θαλάσσης ἐπληθύνθη διανοήματα αὐτῆς,
Καὶ ἡ βουλὴ αὐτῆς ἀπὸ ἀβύσσου μεγάλης. αὐτοῦ

30. Κἀγὼ ὡς διώρυξ ἀπὸ ποταμοῦ,
Καὶ ὡς ὑδραγωγὸς ἐξῆλθον εἰς παράδεισον.

31. Εἶπα· ποτίσω μου τὸν κῆπον τὸν ἄρισον,
Καὶ μεθύσω μου τὴν πρασιάν·
Καὶ ἰδοὺ ἐγένετό μου ἡ διώρυξ εἰς ποταμὸν,

Καὶ

v. 13. ἐν ὄρει) ἐν ὄρεσιν. v. 14. stich. 3. Καὶ ὡς ἐλαία) καὶ deest. v. 15. stich. 2. δέδωκα) διέδωκα. ibid. stich. 3. Καὶ ὡς χαρβάνη) ὡς χαλβάνη. v. 16. Ἐγὼ δὲ ὡς τερέβινθος) ἐγὼ ὡς τερμινθος. v. 17. ἐβλάστησα) βλαστήσασα. v. 19. προσέλθατε) προσέλθετε. v. 20. τὸ μέλι τὸ γλυκὺ) μέλι γλυκύ. ibid. stich. 2. καὶ κηρίε) κηροῦ. v. 21. ἔδοντες) ἐσθίοντες. v. 23. stich. 2. ἡμῖν abest. v. 25. πιπλῶν) πιμπλῶν. v. 29. διανοήματα) διανόημα. ibid. stich. 2. βουλὴ αὐτῆς) βουλὴ αὐτοῦ. v. 31. ποτίσω) ποτιῶ. ibid. stich. 3. ἐγένετό μου) ἐγένετό μοι.

Καὶ ὁ ποταμός μου ἐγένετο εἰς θάλασσαν.

32. Ἔτι παιδείαν ὡς ὄρθρον φωτιῶ,
ἐμφαίνω Καὶ ἐκφανῶ αὐτὴν ἕως εἰς μακράν·
αὐτὰ 33. Ἔτι διδασκαλίαν ὡς προφητείαν ἐκχεῶ, καὶ καταλείψω αὐτὴν εἰς
γενεὰν γενεὰς αἰῶνων.
34. Ἴδετε ὅτι οὐκ ἐμοὶ μόνῳ ἐκοπίασα,
Ἀλλὰ πᾶσι τοῖς ἐκζητοῦσιν αὐτήν.

ΚΕΦ. ΚΕ'. XXV.

ΕΝ τρισὶν ὡραίσθην καὶ ἀνέστην ὡραῖα ἔναντι Κυρίου καὶ ἀνθρώπων·
Ὁμόνοια ἀδελφῶν, καὶ φιλία τῶν πλησίον, καὶ γυνὴ καὶ ἀνὴρ ἑαυτοῖς συμπεριφερόμενοι.
2. Τρία δὲ εἴδη ἐμίσησεν ἡ ψυχή μου,
Καὶ προσώχθισα σφόδρα τῇ ζωῇ αὐτῶν·
Πτωχὸν ὑπερήφανον, καὶ πλούσιον ψεύστην,
Καὶ γέροντα μοιχὸν ἐλαττούμενον συνέσει.
3. Ἃ ἐν νεότητι σου οὐ συνηγόχασας,
Καὶ πῶς ἂν εὕροις ἐν τῷ γήρᾳ σου;
4. Ὡς ὡραῖον πολιαῖς κρίσις,
Καὶ πρεσβυτέροις ἐπιγνῶναι βουλήν;
5. Ὡς ὡραῖα γερόντων σοφία,
Καὶ δεδοξασμένοις διανόημα καὶ βουλή·
6. Στέφανος γερόντων πολυπειρία,
Καὶ τὸ καύχημα αὐτῶν φόβος Κυρίου.
7. Ἐννέα ὑπονοήματα ἐμακάρισα ἐν τῇ καρδίᾳ μου,
Καὶ τὸ δέκατον ἐρῶ ἐπὶ γλώσσης μου· ἀπὸ
Ἄνθρωπος εὐφραινόμενος ἐπὶ τέκνοις,
Ζῶν καὶ βλέπων ἐπὶ πτώσει ἐχθρῶν·
8. Μακάριος ὁ συνοικῶν γυναικὶ συνετῇ,
Καὶ ὃς ἐν γλώσσῃ οὐκ ὠλίσθησεν,
Καὶ ὃς οὐκ ἐδούλευσεν ἀναξίῳ ἑαυτοῦ·
9. Μακάριος ὃς εὗρε φρόνησιν.
Καὶ ὁ διηγούμενος εἰς ὦτα ἀκουόντων·
10. Ὡς μέγας ὁ εὑρὼν σοφίαν,
Ἀλλ' οὐκ ἔστιν ὑπὲρ τὸν φοβούμενον τὸν Κύριον·
11. Ἀγάπησις Κυρίου ὑπὲρ πᾶν ὑπερέβαλεν Φόβος
εἰς φωτισμόν,
Ὁ κρατῶν αὐτῆς τίνι ὁμοιωθήσεται; αὐτῷ
12. Φόβος Κυρίου ἀρχὴ ἀγαπήσεως αὐτῷ·
Πίστις δὲ ἀρχὴ κολλήσεως αὐτῷ.
13. Πᾶσαν πληγήν, καὶ μὴ πληγὴν καρδίας·
Καὶ πᾶσαν πονηρίαν, καὶ μὴ πονηρίαν γυναικός·
14. Καὶ πᾶσαν ἐπαγωγήν, καὶ μὴ ἐπαγωγὴν μισούντων·
Καὶ πᾶσαν ἐκδίκησιν, καὶ μὴ ἐκδίκησιν ἐχθρῶν.
15. Οὐκ ἔστι κεφαλὴ ὑπὲρ κεφαλὴν ὄφεως,
Καὶ οὐκ ἔστι θυμὸς ὑπὲρ θυμὸν ἐχθροῦ.
16. Συνοικῆσαι λέοντι καὶ δράκοντι εὐδόκησε
εὐδοκήσω,
Ἢ συνοικῆσαι μετὰ γυναικὸς πονηρᾶς.
17. Πονηρία γυναικὸς ἀλλοιοῖ τὴν ὄρασιν αὐτῆς,

V. 32. ſtich. 2. Καὶ ἐμφαίνω) καὶ ἐκφανῶ. v. 33. εἰς γενεὰν) εἰς γενεάς. CAP. XXV. v. 3. Ἃ ἐν νεότητι) ἃ deeſt. v. 7. ἐν τῇ καρδίᾳ μου) ἐν καρδίᾳ. ibid. ſtich. 2. ἀπὸ γλώσσης) ἐπὶ γλώσσης. v. 8. ſtich. 3. ἀναξίῳ ἑαυτοῦ) ἀναξίῳ αὐτοῦ. v. 14. Καὶ πᾶσαν) καὶ deeſt. v. 16. ſtich. 1. & 2. εὐδόκησε, Ἢ συνοικῆσαι) εὐδοκήσω, ἢ ἐνοικῆσαι.

Καὶ σκοτοῖ τὸ πρόσωπον αὐτῆς ὡς ἄρκος·

18. Ἀναμέσον τῶ πλησίον αὐτῦ ἀναπεσεῖται ὁ ἀνὴρ αὐτῆς,
Καὶ ἀκέσας ἀνεξέναξε πικρά.

19. Μικρὰ πᾶσα κακία πρὸς κακίαν γυναικός·
Κλῆρος ἁμαρτωλῦ ἐπιπέσοι αὐτῇ.

20. Ἀνάβασις ἀμμώδης ἐν ποσὶ πρεσβυτέρυ,
Οὕτως γυνὴ γλωσσώδης ἀνδρὶ ἡσύχῳ.

21. Μὴ προσπέσῃς ἐπὶ κάλλος γυναικὸς,
Καὶ γυναῖκα ἐν κάλλει μὴ ἐπιποθήσῃς.

22. Ὀργὴ καὶ ἀναίδεια καὶ αἰσχύνη μεγάλη γυνὴ, ἐὰν ἐπιχορηγῇ τῷ ἀνδρὶ αὐτῆς.

23. Καρδία ταπεινὴ καὶ πρόσωπον σκυθρωπὸν καὶ πληγὴ καρδίας γυνὴ πονηρά·

Χεῖρες παρειμέναι καὶ γόνατα παραλελυμένα,
Ἥτις δὲ μακαριεῖ τὸν ἄνδρα αὐτῆς.

24. Ἀπὸ γυναικὸς ἀρχὴ ἁμαρτίας,
Καὶ δι' αὐτὴν ἀποθνήσκομεν πάντες.

25. Μὴ δῷς ὕδατι διέξοδον,
Μηδὲ γυναικὶ πονηρᾷ παῤῥησίαν ἐξόδυ·

26. Εἰ μὴ πορεύεται κατὰ χεῖρά σε,
Ἀπὸ τῶν σαρκῶν σε ἀπότεμε αὐτήν· Δίδυ, καὶ ἀπόλυσον.

ΚΕΦ. Κς'. XXVI.

Γυναικὸς ἀγαθῆς μακάριος ὁ ἀνὴρ,
Καὶ ὁ ἀριθμὸς τῶν ἡμερῶν αὐτῦ διπλάσιος. διπλάσιον

2. Γυνὴ ἀνδρείαι εὐφραίνει τὸν ἄνδρα αὐτῆς,
Καὶ τὰ ἔτη αὐτῦ πληρώσει ἐν εἰρήνῃ.

3. Γυνὴ ἀγαθὴ μερὶς ἀγαθή·
Ἐν μερίδι φοβεμένων τὸν Κύριον δοθήσεται.

4. Πλουσίυ δὲ καὶ πλουσίᾳ καρδία ἀγαθὴ πρὸς Κύριον,
Ἐν παντὶ καιρῷ πρόσωπον ἱλαρὸν ἔχοντες γαυριάσουσιν.

5. Ἀπὸ τριῶν ἠυλαβήθη καρδία μυ,
Καὶ ἐπὶ τῷ τετάρτῳ προσώπῳ ἐδειήθην· ἐφοβήθην
Διαβολὴν πόλεως, καὶ ἐκκλησίαν ὄχλυ,
Καὶ καταψευσμὸν, ὑπὲρ θάνατον πάντα μοχθηρά·

6. Ἄλγος καρδίας καὶ πένθος
Γυνὴ ἀντίζηλος ἐπὶ γυναικί·
Καὶ μάστιξ γλώσσης πᾶσιν ἐπικοινωνοῦσα.

7. Βοοζύγιον σαλευόμενον γυνὴ πονηρά·
Ὁ κρατῶν αὐτῆς ὡς δραστόμενος σκορπίυ.

8. Ὀργὴ μεγάλη γυνὴ μέθυσος καὶ ῥεμβάς·
Καὶ ἀχημοσύνην αὐτῆς ὁ μὴ συγκαλύψει.

9. Πορ-

v. 17. ſtich. 2. ὡς ἄρκος) ὡς σάκκον. v. 21. ſtich. 2. ἐν κάλλει) non habet. v. 25. ſtich. 2. παῤῥησίαν) ἐξουσίαν. CAP. XXVI. v. 1. ſtich. 2. ὁ ἀριθμὸς) absque articulo. ibid. διπλάσιον) διπλάσιος. v. 3. ſtich. 2. τὸν Κύριον) absque articulo. v. 5. ἠυλαβήθη καρδία) εὐλαβήθη ἡ καρδία. ibid. ſtich. 2. ἐφοβήθην) ἐδειήθην. v. 7. ſtich. 2. ὡς δραστόμ.) ὡς ὁ δρασσόμενος. v. 8. ſtich. 2. ὁ μὴ) ὁ.

μέλεωρισμοῖς

9. Πορνεία γυναικὸς ἐν μέλεωρισμῷ ὀφθαλμῶν,
Καὶ ἐν τοῖς βλεφάροις αὐτῆς γνωσθήσεται.
10. Ἐπὶ θυγατρὶ ἀδιατρέπτῳ στερέωσον φυλακήν,
Ἵνα μὴ εὑρεθεῖσα ἄνεσιν ἑαυτῇ, χρήσηται.
11. Ὀπίσω ἀναιδεῖς ὀφθαλμῷ φύλαξαι, καὶ μὴ θαυμάσῃς ἐὰν εἰς σὲ πλημμελήσει.
12. Ὡς διψῶν ὁδοιπόρος στόμα ἀνοίξει, Καὶ ἀπὸ παντὸς ὕδατος τῇ σύνεγγυς πίεται·
Κατέναντι παντὸς παασάλου καθήσεται, Καὶ ἔναντι βέλους ἀνοίξει φαρέτραν.
13. Χάρις γυναικὸς τέρψει ἄνδρα αὐτῆς·
Καὶ τὰ ὀστᾶ αὐτῆς πιανεῖ ἡ ἐπιστήμη αὐτῆς.
14. Δόσις Κυρίῳ γυνὴ σιγηρὰ καὶ εὔνους, Καὶ ἐκ ἔστιν ἀνταλλαγμα πεπαιδευμένης ψυχῆς·
15. Χάρις ἐπὶ χάριτι γυνὴ αἰσχυντηρὰ καὶ πιστὴ,
Καὶ ἐκ ἔστι σταθμὸς πᾶς ἄξιος ἐγκρατῆς ψυχῆς.
16. Ἥλιος ἀνατέλλων ἐν ὑψίστοις Κυρίῳ, Καὶ κάλλος ἀγαθῆς γυναικὸς ἐν κόσμῳ οἰκίας αὐτῆς·
17. Λύχνος ἐκλάμπων ἐπὶ λυχνίας ἁγίας, Καὶ κάλλος προσώπου ἐπὶ ἡλικίᾳ στασίμῃ·

χρύσεως στέργοις

18. Στύλοι χρύσεοι ἐπὶ βάσεως ἀργυρᾶς, Καὶ πόδες ὡραῖοι ἐπὶ πλέγμασι εὐσταθέσι.
19. Τέκνον, ἀκμὴν ἡλικίας σε συντήρησον ὑγιῆ, Καὶ μὴ δῷς ἀλλοτρίοις τὴν ἰσχύν σε.
20. Ἀναζητήσας παντὸς πεδίου εὔγειον κλῆρον, Σπεῖρε τὰ ἴδια σπέρματα, πεποιθὼς τῇ εὐγενείᾳ σε·
21. Οὕτως τὰ γεννήματά σε περιόντα καὶ πυρῶσιαν εὐγενείας ἔχοντα μεγαλυνεῖ.
22. Γυνὴ μισθία ἴσῃ σιάλῳ λογισθήσεται·
Ὑπανδρος δὲ πύργος θανάτῳ τοῖς χρωμένοις (λογισθήσεται).
23. Γυνὴ ἀσεβὴς ἀνόμῳ μερὶς δοθήσεται·
Εὐσεβὴς δὲ δίδοται τῷ φοβουμένῳ τὸν Κύριον.
24. Γυνὴ ἀοχήμων ἀτιμίαν κατατρίψει·
Θυγάτηρ δὲ εὐσχήμων καὶ τὸν ἄνδρα ἐντραπήσεται.
25. Γυνὴ ἀδιάτρεπτος ὡς κύων λογισθήσεται·
Ἡ δὲ ἔχουσα αἰσχύνην τὸν κύριον φοβηθήσεται.
26. Γυνὴ ἄνδρα ἴδιον τιμῶσα σοφὴ πᾶσι φανήσεται·
Ἀτιμάζουσα δὲ ἀσεβὴς ἐν ὑπερηφανίᾳ πᾶσι γνωσθήσεται.
27. Γυνὴ μεγαλόφωνος καὶ γλωσσώδης ὡς σάλπιγξ, πολεμίοις εἰς τροπὴν θεωρηθήσεται·
Ἀνθρώπῳ δὲ παντὸς ψυχὴ ὁμοιότροπος τάτοις, πολέμῳ ἀκατασιαίοις τὴν ψυχὴν διωτηθήσεται.
28. Ἐπὶ δυσὶ λελύπηται ἡ καρδία μου, Καὶ ἐπὶ τῷ τρίτῳ θυμός μοι ἐπῆλθεν·
Ἀνὴρ πολεμιστὴς ὑστερῶν δι' ἔνδειαν, Καὶ ἄνδρες συνετοὶ ἐὰν σκυβαλισθῶσιν,
Ἐπαναγων ἀπὸ δικαιοσύνης ἐπὶ ἁμαρτίαν·
Ὁ Κύριος ἑτοιμάσει εἰς ῥομφαίαν αὐτόν.
29. Μόλις ἐξελεῖται ἔμπορος ἀπὸ πλημμελείας,
Καὶ ὃ διαιωθήσεται κάπηλος ἀπὸ ἁμαρτίας.

V. 11. πλημμελήσει) πλημμελήση. V. 12. στόμα ἀνοίξει) τὸ στόμα ἀνοίγει. V. 13. ἄνδρα) τὸν ἄνδρα. V. 16. stich. 2. οἰκίας αὐτῆς) οἰκίας αὐτῆ. V. 18. χρύσεως) χρύσεοι.

ΚΕΦ. ΚΖ'. XXVII.

Χαριν ἀδιαφόρε πολλοὶ ἥμαρτον·
Καὶ ὁ ζητῶν πληθύναι, ἀποστρέψει ὀφθαλμόν.

2. Ἀναμέσον ἁρμῶν λίθων παγήσεται πάσσαλος·
Καὶ ἀναμέσον πράσεως καὶ ἀγορασμῦ συντριβήσεται ἁμαρτία.

3. Ἐὰν μὴ ἐν φόβῳ Κυρίε κρατήσῃ κατὰ σπουδὴν,
Ἐν τάχει καταστραφήσεται αὐτῦ ὁ οἶκος.

4. Ἐν σείσματι κοσκίνε διαμένει κόπρια·
Οὕτως σκύβαλα ἀνθρώπε ἐν λογισμῷ αὐτῦ.

5. Σκεύη κεραμέως δοκιμάσει κάμινος·
Καὶ πειρασμὸς ἀνθρώπε ἐν λογισμῷ αὐτῦ.

6. Γεώργιον ξύλε ἐκφαίνει ὁ καρπὸς αὐτῦ· ἔτως λόγος ἐνθυμήματος καρδίαν ἀνθρώπε.

καρδία

7. Πρὸ λογισμῦ μὴ ἐπαίνει ἄνδρα·
Οὗτος γὰρ πειρασμὸς ἀνθρώπων.

8. Ἐὰν διώκης τὸ δίκαιον, καταλήψῃ,
Καὶ ἐνδύσῃ αὐτὸ ὡς ποδήρη δόξης.

9. Πετεινὰ πρὸς τὰ ὅμοια αὐτῶν καλαλύσει·
Καὶ ἀλήθεια πρὸς τὲς ἐργαζομένες αὐτὴν ἐπανήξει·

10. Λέων θήραν ἐνεδρεύει·
Οὕτως ἁμαρτία ἐργαζομένες ἄδικα.

11. Διήγησις σοφῦ διαπαντὸς σοφία·
Ὁ δὲ ἄφρων ὡς σελήνη ἀλλοιῦται.

12. Εἰς μέσον ἀσυνέτων συλλήρησον καιρόν·
Εἰς μέσον δὲ διανοεμένων ἐνδελέχιζε.

13. Διήγησις μωρῶν (καὶ) προσόχθισμα,
Καὶ ὁ γέλως αὐτῶν ἐν σπαταλῃ ἁμαρτίας.

14. Λαλιὰ πολυόκρε ἀνορθώσει τρίχας,
Καὶ ἡ μάχη αὐτῶν ἐμφραγμὸς ὠτίων.

15. Ἔκχυσις αἵματος μάχη ὑπερηφάνων,
Καὶ ἡ διαλοιδόρησις αὐτῶν ἀκοὴ μοχθηρά.

16. Ὁ ἀποκαλύπλων μυσήρια ἀπώλεσε πίσιν,
Καὶ ἐ μὴ εὕρῃ φίλον πρὸς τὴν ψυχὴν αὐτῦ.

17. Στέρξον φίλον, καὶ πισώθητι μετ' αὐτῦ·
Ἐὰν δὲ ἀποκαλύψῃς τὰ μυσήρια αὐτῦ,
Μὴ καταδιώξῃς ὀπίσω αὐτῦ.

18. Καθὼς γὰρ ἀπώλεσεν ἄνθρωπος τὸν ἐχθρὸν αὐτῦ,
Οὕτως ἀπώλεσας τὴν φιλίαν τῦ πλησίον·

19. Καὶ ὡς πετεινὸν ἐκ χειρός σε ἀπέλυσας,
Οὕτως ἀφῆκας τὸν πλησίον, καὶ ἐ θηρεύσεις αὐτόν·

20. Μὴ αὐτὸν διώξῃς, ὅτι μακρὰν ἀπέσῃ,
Καὶ ἐξέφυγεν ὡς δορκὰς ἐκ παγίδος.

21. Ὅτι τραῦμά ἐσι καταδῆσαι,
Καὶ λοιδορίας ἐσὶ διαλλαγή·

Ὁ δὲ

CAP. XXVII. v. 5. δοκιμάσει) δοκιμάζει. καρδία) καρδίας. v. 7. ἐπαίνει) ἐπαινέσης. ἁμαρτία) ἁμαρτίαι. v. 11. σοφῦ) εὐσεβῦς. v. 13. (καὶ) deeſt. v. 14. πολυόκρε ἀνορθώσει) πολιόρκε ὀρθώσει. v. 17. ſtich. 3. Μὴ καταδ.) εὐ μὴ καταδιώξῃς. v. 18. ſtich. 2. τῦ πλησίον) τῦ πλησίε. v. 21. τραῦμα) θραῦμα. ibid. ſtich. 2. ἐν λογισμῷ) ἐν διαλογισμῷ. v. 6. v. 9. ὅμοια αὐτῶν) ὅμοια αὐτοῖς. v. 10. ſtich. 2.

Ὁ δὲ ἀποκαλύψας μυςήρια ἀπήλπισε.

Καὶ ἐν- 22. Διανεύων ὀφθαλμῷ τεκταίνει κακὰ,
νεύων Καὶ ἐδεὶς αὐτὰ ἀποςήσει ἀπ' *αὐτῦ·
*αὐτῶν

23. Ἀπέναντι τῶν ὀφθαλμῶν σε γλυκανεῖ τὸ ςόμα αὐτῦ,
Καὶ ἐπὶ τῶν λόγων σε ἐκθαυμάσει·
Ὕςερον δὲ διαςρέψει τὸ ςόμα αὐτῦ,
Καὶ ἐν τοῖς λόγοις σε δώσει σκάνδαλον·

24. Πολλὰ ἐμίσησα καὶ ἐχ ὡμοίωσα
αὐτοῖς αὐτῷ, καὶ ὁ Κύριος ἐμίσει αὐτόν.

25. Βάλλων λίθον εἰς ὕψος, ἐπὶ κεφαλὴν αὐτῦ βάλλει·
Καὶ πληγὴ δολία διελεῖ τραύματα.

26. Ὁ ὀρύσσων βόθρον εἰς αὐτὸν ἐμπεσεῖται,
Καὶ ὁ ἱςῶν παγίδα ἐν αὐτῇ ἁλώσεται.

αὐτὰ 27. Ὁ ποιῶν πονηρὰ, εἰς αὐτὸν κυλισθήσεται,
Καὶ ὃ μὴ ἐπιγνῷ πόθεν ἥκει αὐτῷ.

28. Ἐμπαιγμὸς καὶ ὀνειδισμὸς ὑπερηφάνων·
Καὶ ἡ ἐκδίκησις ὡς λέων ἐνεδρεύσει αὐτόν.

29. Παγίδι ἁλώσονται οἱ εὐφραινόμενοι πλώσει εὐσεβῶν,
Καὶ ὀδύνη καταναλώσει αὐτὸς πρὸ τῦ θανάτυ αὐτῶν.

30. Μῆνις καὶ ὀργὴ καὶ ταῦτά ἐςι βδελύγματα·
Καὶ ἀνὴρ ἁμαρτωλὸς ἐγκρατὴς ἔςαι αὐτῶν.

ΚΕΦ. ΚΗ'. XXVIII.

Ὁ ἐκδικῶν παρὰ Κυρίυ εὑρήσει ἐκδίκησιν,
Καὶ τὰς ἁμαρτίας αὐτῦ διατηρῶν διατηρήσει. διασηριῶν διασηρίσει

2. Ἄφες ἀδίκημα τῷ πλησίον σε,
Καὶ τότε δεηθέντος σε αἱ ἁμαρτίαι σε λυθήσονται.

3. Ἄνθρωπος ἀνθρώπῳ συντηρεῖ ὀργὴν,
Καὶ παρὰ Κυρίυ ζητεῖ ἴασιν;

4. Ἐπ' ἄνθρωπον ὅμοιον αὐτῷ ἐκ ἔχει ἔλεος,
Καὶ περὶ τῶν ἁμαρτιῶν αὐτῦ δεῖται;

5. Αὐτὸς σὰρξ ὢν διατηρεῖ μῆνιν,
Τὶς ἐξιλάσεται τὰς ἁμαρτίας αὐτῦ;

6. Μνήθητι τὰ ἔσχατα, καὶ παῦσαι ἐχθραίνων,
Καταφθορὰν καὶ θάνατον, καὶ ἔμμενε ἐντολαῖς.

7. Μνήθητι ἐντολῶν, καὶ μὴ μηνίσῃς τῷ πλησίον,
Καὶ διαθήκης ὑψίσυ, καὶ πάριδε ἄγνοιαν. διαθήκην

8. Ἀπόσχυ ἀπὸ μάχης, καὶ ἐλατώσεις ἁμαρτίας·
Ἄνθρωπος γὰρ θυμώδης ἐκκαύσει μάχην, 9. καὶ ἀνὴρ ἁμαρτωλὸς ταράξει φίλυς,
Καὶ ἀναμέσον εἰρηνευόντων ἐμβαλεῖ διαβολήν.

10. Κατὰ τὴν ὕλην πυρὸς ἔτως ἐκκαυθήσεται,
Καὶ κατὰ τὴν ςερέωσιν τῆς μάχης ἐκκαυθήσεται·

Κατὰ

V. 22. Καὶ ἐννεύων) διανεύων. ibid. ſtich. 2. in *Rom.* καὶ ἐδεὶς αὐτὸν ἀποσήσει ἀπ' αὐτῦ. v. 23. τὸ ςόμα αὐτοῦ) ςόμα σου. v. 24. αὐτοῖς) αὐτῷ. ibid. ἐμίσει) μισήσει. v. 25. Βάλλων) ὁ βάλλων. v. 27. εἰς αὐτὰ) εἰς αὐτὸν. CAP. XXVIII. v. 1. ſtich. 2. διασηριῶν διασηρίσει) διατηρῶν διατηρήσει. v. 8. ſtich. 3. ἐμβαλεῖ) ἐμβάλλει. v. 10. ſtich. 2. in *Rom.* ſequitur ſtichum 4. hujus verſus.

Κατὰ τὴν ἰσχὺν τῦ ἀνθρώπυ ὁ θυμὸς αὐτῦ ἔσαι,
Καὶ κατὰ τὸν πλῆτον ἀνυψώσει ὀργὴν αὐτῦ.
11. Ἔρις κατασπευδομένη ἐκκαίει πῦρ,
Καὶ μάχη κατασπεύδουσα ἐκχέει αἷμα.
12. Ἐὰν φυσήσῃς εἰς σπινθῆρα, ἐκκαήσεται,
Καὶ ἐὰν πτύσῃς εἰς αὐτὸν, σβεσθήσεται·
Καὶ ἀμφότερα ἐκ τῦ σόματός συ ἐξελεύσεται.
13 Ψίθυρον καὶ δίγλωσσον καθαράσασθε·
Πολλοὺς γὰρ εἰρηνεύοντας ἀπώλεσεν.
14. Γλῶσσα τρίτη πολλὰς ἐσάλευσε,
Καὶ διέσησεν αὐτὰς ἀπὸ ἔθνους εἰς ἔθνος,
Καὶ πόλεις ὀχυρὰς καθεῖλε,
Καὶ οἰκίας μεγιστάνων κατέστρεψε·
15. Γλῶσσα τρίτη γυναῖκας ἀνδρείας ἐξέβαλε,
Καὶ ἐστέρησεν αὐτὰς τῶν πόνων αὐτῶν·
16. Ὁ προσέχων αὐτῇ ἐ μὴ εὕρῃ ἀνάπαυσιν,
Οὐδὲ κατασκηνώσει μεθ' ἡσυχίας.
17. Πληγὴ μάστιγος ποιεῖ μώλωπα·
Πληγὴ δὲ γλώσσης συγκλάσει ὀστᾶ.
18. Πολλοὶ ἔπεσαν ἐν στόματι μαχαίρας,
Καὶ ἐχ ὡς οἱ πεπληγότες διὰ γλῶσσαν.
19. Μακάριος ὁ σκεπασθεὶς * ἀπὸ προσώπυ αὐτῆς,
ὁ πεπληγκὼς * ἀπ'
Ὃς ἐ διῆλθεν ἐν τῷ θυμῷ αὐτῆς,
Ὃς ἐχ εἵλκυσε τὸν ζυγὸν αὐτῆς,
Καὶ τοῖς δεσμοῖς αὐτῆς ἐκ ἐδέθη·
20. Ὁ γὰρ ζυγὸς αὐτῆς ζυγὸς σιδηρᾶς,
Καὶ οἱ δεσμοὶ αὐτῆς δεσμοὶ χάλκεοι·
21. Θάνατος πονηρὸς ὁ θάνατος αὐτῆς,
Καὶ λυσιτελὴς μᾶλλον ὁ ᾅδης αὐτῆς.
22. Οὐ μὴ κρατήσῃ εὐσεβῶν,
Καὶ ἐν τῇ Φλογὶ αὐτῆς ἐ μὴ καήσονται·
23. Οἱ καταλείποντες Κύριον ἐμπεσῦνται εἰς αὐτὴν,
Καὶ ἐν αὐτοῖς ἐκκαήσεται, καὶ ἐ μὴ σβεσθῇ·
Ἐπαποστελήσεται αὐτοῖς ὡς λέων,
Καὶ ὡς πάρδαλις λυμανεῖται αὐτές.
24. Ἴδε, περίφραξον τὸ κτῆμά συ ἀκάνθαις,
Τὸ ἀργύριόν συ καὶ τὸ χρυσίον κατάδησον·
25. Καὶ τοῖς λόγοις συ ποίησον ζυγὸν καὶ σταθμὸν,
Καὶ τῷ στόματί συ ποίησον θύραν καὶ μοχλόν·
26. Πρόσεχε μήπως ὀλισθῇς ἐν αὐτῇ,
Μὴ πέσῃς κατέναντι ἐνεδρεύοντος.

ΚΕΦ. ΚΘ'. XXIX.

Ὁ ποιῶν ἔλεος δανιεῖ τῷ πλησίον·
Καὶ ὁ ἐπιχύων τῇ χειρὶ αὐτῦ ποιεῖ ἐντολάς.
2. Δάνισον τῷ πλησίον ἐν καιρῷ χρείας αὐτῦ,
Καὶ

ἐξελεύσεται

V. 12. εἰς σπινθῆρα) εἰς abeſt. ibid. ſtich. 2. εἰς αὐτὸν) ἐπ' αὐτὸν. ibid. ſtich. 3. ἐξελεύσεται) ἐκπορεύεται. V. 13. καθαράσασθε) καθαρᾶθαι. ibid. ſtich. 2. ἀπώλεσεν) ἀπώλεσαν. V. 17. μώλωπα) μώλωπας. V. 18. ſtich. 2. ὁ πεπληκὼς) οἱ πεπληκότες. V. 19. ſtich. 4. Καὶ τοῖς) καὶ ἐν τοῖς. V. 22. ſtich. 2. ἐ μὴ καήσονται) οὐ καήσονται. V. 23. ſtich. 3. Ἐπαποστελήσεται αὐτοῖς) ἐξαποστελήσεται ἐπ' αὐτοῖς. V. 26. ὀλισθῇς) ὀλισθήσῃς. CAP. XXIX. V. 1. δανιεῖ) δανειεῖ. ibid. ſtich. 2. ποιεῖ) τηρεῖ. V. 2. Δάνισον) δάνεισον.

Καὶ πάλιν ἀπόδος τῷ πλησίον εἰς καιρόν·

3. Στερέωσον λόγον σε, καὶ πιστώθητι μετ' αὐτοῦ,
Καὶ ἐν παντὶ καιρῷ εὑρήσεις τὴν χρείαν σε.

4. Πολλοὶ ὡς εὕρεμα ἐνόμισαν δάνος,
Καὶ παρέσχον κόπον τοῖς βοηθήσασιν αὐτοῖς·

5. Ἕως δέ λάβῃ, καταφιλήσει χεῖρας αὐτοῦ,
Καὶ ἐπὶ τῶν χρημάτων τοῦ πλησίον ταπεινώσει φωνήν·
Καὶ ἐν καιρῷ ἀποδόσεως παρελκύσει χρόνον,
Καὶ ἀποδώσει λόγους ἀκηδίας,
Καὶ τὸν καιρὸν αἰτιάσεται.

6. Ἐὰν ἰσχύσῃ ὁ δούς, μόλις κομιεῖται τὸ ἥμισυ, καὶ λογιεῖται αὐτὸ ὡς εὕρεμα·
Εἰ δὲ μή, ἀπεστέρησεν αὐτὸν τῶν χρημάτων αὐτοῦ,
Καὶ ἐκτήσατο αὐτὸν ἐχθρὸν δωρεάν·
Καταράς καὶ λοιδορίας ἀποδώσει αὐτῷ,
Καὶ ἀντὶ δόξης ἀποδώσει αὐτῷ ἀτιμίαν.

7. Πολλοὶ διὰ χάριν πονηρίας ἀπέστρεψαν ἄνθρωπον·
Ἀποστερηθῆναι δὲ δωρεὰν ἐυλαβήθησαν.

8. Πλὴν ἐπὶ ταπεινῷ μακροθύμησον,
Καὶ ἐπὶ ἐλεημοσύνῃ μὴ παρελκύσῃς αὐτόν·

9. Χάριν ἐντολῆς ἀντιλαβοῦ πένητος,
Καὶ κατὰ τὴν ἔνδειαν αὐτοῦ μὴ ἀποστρέψῃς αὐτὸν κενόν.

10. Ἀπόλεσον ἀργύριον διὰ ἀδελφὸν καὶ φίλον,
Καὶ μὴ ἰωθήτω ὑπὸ τὸν λίθον εἰς ἀπώλειαν.

11. Θὲς τὸν θησαυρόν σε κατ' ἐντολὰς ὑψίστου,
Καὶ λυσιτελήσει σοι μᾶλλον ἢ τὸ χρυσίον.

12. Σύγκλεισον ἐλεημοσύνην ἐν ταμιείοις σου,
Καὶ αὕτη ἐξελεῖται σε ἐκ πάσης κακώσεως·

13. Ὑπὲρ ἀσπίδα κράτους καὶ ὑπὲρ δόρυ ἀλκῆς
Κατέναντι ἐχθροῦ πολεμήσει ὑπὲρ σοῦ. ὁλκῆς

14. Ἀνὴρ ἀγαθὸς ἐγγυήσεται τὸν πλησίον, καὶ ὁ ἀπολωλεκὼς αἰσχύνην ἐγκαταλείψει αὐτόν.

15. Χάριτας ἐγγύου μὴ ἐπιλάθῃ·
Ἔδωκε γὰρ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ σοῦ.

16. Ἀγαθὰ ἐγγύου ἀνατρέψει ἁμαρτωλὸς,

17. Καὶ ἀχάριστος ἐν διανοίᾳ ἐγκαταλείψει ῥυσάμενον·

18. Ἐγγύη πολλοὺς ἀπώλεσε κατευθύνοντας, καὶ ἐσάλευσεν αὐτοὺς ὡς κῦμα θαλάσσης·
Ἄνδρας δυνατοὺς ἀπῴκισε,
Καὶ ἐπλανήθησαν ἐν ἔθνεσιν ἀλλοτρίοις.

19. Ἁμαρτωλὸς παραβαίνων ἐντολὰς Κυρίου ἐμπεσεῖται εἰς ἐγγύην,

v. 2. ſtich. 2. εἰς καιρὸν) εἰς τὸν καιρόν. v. 4. ſtich. 2. κόπον) πόνον. v. 5. χεῖρας) χεῖρα. v. 6. κομιεῖται) κομίσεται. v. 7. Πολλοὶ δὲν) οὖν deeſt. v. 8. ſtich. 2. ἐπὶ ἐλεημοσύνῃ) ἐπ' ἐλεημοσύνην. v. 10. διὰ ἀδ.) δι' ἀδελφὸν. v. 12. ταμιείοις) ταμείοις. v. 13. ὁλκῆς) ἀλκῆς. v. 14. ἐγκαταλείψει) καταλείψει. v. 19. ἐμπεσεῖται) ἐμπεσὼν.

Καὶ διώκων ἐργολαβείας ἐμπεσεῖται εἰς κρίσεις.

20. Ἀντιλαβοῦ τῆ πλησίον κατὰ δύναμίν σε,
Καὶ πρόσεχε σεαυτῷ μὴ ἐμπέσῃς.

21. Ἀρχὴ ζωῆς ἀνθρώπῳ ἄρτος καὶ ὕδωρ καὶ ἱμάτιον,
Καὶ οἶκος καλύπτων ἀσχημοσύνην.

22. Κρείσσων βίος πλουσίου ὑπὸ σκέπην δοκῶν, ἢ ἐδέσματα λαμπρὰ ἐν ἀλλοτρίοις.

23. Ἐπὶ μικρῷ καὶ μεγάλῳ εὐδοκίαν ἔχε,
Καὶ ὀνειδισμὸν οἰκίας σε μὴ ἀκούσῃς.

24. Ζωὴ πονηρὰ ἐξ οἰκίας εἰς οἰκίαν,
Καὶ ὃ παροικήσεις, οὐκ ἀνοίξεις στόμα·

25. Ξενιεῖς καὶ ποτιεῖς ἀχάριστα,
Καὶ πρὸς ἐπὶ τούτοις πικρὰ ἀκούσῃ·

26. Πάρελθε πάροικε, κόσμησον τράπεζαν,
Καὶ εἴτι ἐν τῇ χειρί σε, ψώμισόν με·

27. Ἔξελθε πάροικε ἀπὸ προσώπου δόξης·
Ἐπεξένωταί μοι ὁ ἀδελφὸς, χρεία τῆς οἰκίας.

28. Βαρέα ταῦτα ἀνθρώπῳ ἔχοντι φρόνησιν,
Ἐπιτίμησις οἰκίας καὶ ὀνειδισμὸς δανειστοῦ.

ΚΕΦ. Λ'. XXX.

Περὶ τέκνων.

Ὁ Ἀγαπῶν τὸν υἱὸν αὐτοῦ, ἐνδελεχήσει μάστιγας αὐτῷ,
Ἵνα εὐφρανθῇ ἐπ' ἐσχάτῳ αὐτοῦ.

2. Ὁ παιδεύων τὸν υἱὸν αὐτοῦ ὀνήσεται ἐπ' αὐτῷ,
Καὶ ἀναμέσον γνωρίμων ἐπ' αὐτῷ καυχήσεται·

3. Ὁ διδάσκων τὸν υἱὸν αὐτοῦ παραζηλώσει τὸν ἐχθρὸν,
Καὶ ἔναντι φίλων ἐπ' αὐτῷ ἀγαλλιάσεται.

4. Ἐτελεύτησεν αὐτοῦ ὁ πατὴρ, καὶ ὡς οὐκ ἀπέθανεν· ὡς οὐκ
Ὅμοιον γὰρ αὐτῷ κατέλειπε μεθ' αὑτόν.

5. Ἐν τῇ ζωῇ αὐτοῦ ἴδε καὶ ἠυφράνθη,
Καὶ ἐν τῇ τελευτῇ αὐτοῦ οὐκ ἐλυπήθη·

6. Ἐναντίον ἐχθρῶν κατέλειπεν ἔκδικον,
Καὶ τοῖς φίλοις ἀνταποδιδόντα χάριν.

7. Περιψήχων υἱὸν καταδεσμεύσει τραύματα αὐτοῦ, Περιψύχων
Καὶ ἐπὶ πάσῃ βοῇ ταραχθήσεται σπλάγχνα αὐτοῦ.

8. Ἵππος ἀδάμαστος ἐκβαίνει σκληρός·
Καὶ υἱὸς ἀνειμένος ἐκβαίνει προαλής.

9. Τιθήνησον τέκνον, καὶ ἐκθαμβήσει σε·
Σύμπαιζον αὐτῷ, καὶ λυπήσει σε.

10. Μὴ συγγελάσῃς αὐτῷ ἵνα μὴ συνοδυνηθῇς, καὶ ἐπ' ἐσχάτων γομφιάσεις τοὺς ὀδόντας σε.

11. Μὴ δῷς αὐτῷ ἐξουσίαν ἐν νεότητι,
Καὶ μὴ παρίδῃς τὰς ἀγνοίας αὐτοῦ·

12. Κάμψον τὸν τράχηλον αὐτοῦ ἐν νεότητι,
Καὶ θλάσον τὰς πλευρὰς αὐτοῦ, ἕως ἐξὶ νήπιος·
Μήποτε σκληρυνθεὶς ἀπειθήσῃ σοι,
Καὶ ἔσαι σοι ὀδύνη ψυχῆς.

13. Παί-

v. 21. ſtich. 1. in *Rom.* ἀρχὴ ζωῆς ὕδωρ, καὶ ἄρτος, καὶ ἱμάτιον. v. 24. ſtich. 2. παροικήσεις) παροικήσει. ibid. ἀνοίξεις) ἀνοίξει. v. 25. ἀχάριστα) εἰς ἀχάριστα. CAP. XXX. v. 4. ὡς οὐκ) ὡς οὐκ. ibid. ſtich. 2. κατέλειπε μεθ') κατέλιπε μετ'. v. 8. ἐκβαίνει) ἀποβαίνει. v. 9. Σύμπαιζον) σύμπαιζον. v. 10. ἐπ' ἐσχάτων) ἐπ' ἐσχάτῳ. v. 12. ſtich. 2. ἕως ἐξὶ) ὡς ἐξὶ.

13. Παίδευσον τὸν υἱόν σε, καὶ ἔργασαι ἐν αὐτῷ, ἵνα μὴ ἐν τῇ ἀχημοσύνῃ αὐτοῦ προσκόψῃς.

*Περὶ ὑγείας.

14. Κρείσσων πλουτοῦντος ὑγιὴς καὶ ἰσχύων τῇ ἕξει, ἢ πλέσιος μεμαστιγωμένος εἰς σῶμα αὐτοῦ·

15. Ὑγίεια καὶ εὐεξία βελτίων παντὸς χρυσίε, καὶ σῶμα εὔρωστον ἢ ὄλβος ἀμέτρητος·

16. Οὐκ ἔστι πλοῦτος βελτίων ὑγιείας σώματος,
Καὶ οὐκ ἔστιν εὐφροσύνη ὑπὲρ χαρὰν καρδίας.

17. Κρείσσων θάνατος ὑπὲρ ζωὴν πικρὰν
Ἢ ἀῤῥώστημα ἔμμονον.

18. Ἀγαθὰ ἐκκεχυμένα ἐπὶ στόματι κεκλεισμένῳ,
Θέματα βρωμάτων παρακείμενα ἐπὶ τάφῳ·

19. Τί συμφέρει κάρπωσις εἰδώλῳ;
Οὔτε γὰρ ἔδεται, οὔτε μὴ ὀσφρανθῇ·
Οὕτως ὁ ἐκδιωκόμενος ὑπὸ Κυρίε,

20. Βλέπων ἐν ὀφθαλμοῖς καὶ στενάζων,
ὥσπερ εὐνοῦχος περιλαμβάνων παρθένον καὶ στενάζων.

21. Μὴ δῷς εἰς λύπην τὴν ψυχήν σε,
Καὶ μὴ θλίψῃς σεαυτὸν ἐν βελῇ σε.

22. Εὐφροσύνη καρδίας ζωὴ ἀνθρώπε,
Καὶ ἀγαλλίαμα ἀνδρὸς μακροημέρευσις.

23. Ἀγάπα τὴν ψυχήν σε, καὶ παρακάλει τὴν καρδίαν σε,
Καὶ λύπην μακρὰν ἀπόστησον ἀπὸ σοῦ·
Πολλοὺς γὰρ ἀπώλεσε λύπη,
Καὶ οὐκ ἔστιν ὠφέλεια ἐν αὐτῇ.

24. Ζῆλος καὶ θυμὸς ἐλαττοῦσιν ἡμέρας,
Καὶ πρὸ καιροῦ γῆρας ἄγει μέριμνα.

Verſum 25. hujus Capitis 30. & quæ inde ſequuntur in *Complut.* vide infrà poſt v. 11. Cap. λγ'.

16. Καγὼ ἔσχατος ἠγρύπνησα? * C. 33. vers. 16.
Ὡς καλαμῶμενος ὀπίσω τρυγητῶν
Ἐν εὐλογίᾳ Κυρίε ἔφθασα,
Καὶ ὡς τρυγῶν ἐπλήρωσα ληνόν.

17. Κατανοήσατε ὅτι οὐκ ἐμοὶ μόνῳ ἐκοπίασα,
Ἀλλὰ πᾶσι τοῖς ζητοῦσι παιδείαν.

18. Ἀκούσατέ μου μεγισᾶνες λαοῦ,
Καὶ οἱ ἡγούμενοι ἐκκλησίας ἐνωΐσασθε.

19. Υἱῷ καὶ γυναικὶ, ἀδελφῷ καὶ φίλῳ,
Μὴ δῷς ἐξουσίαν ἐπὶ σὲ ἐν ζωῇ σε,
Καὶ μὴ δῷς ἑτέρῳ τὰ χρήματά σε,
Ἵνα μὴ μεταμεληθεὶς δέῃ περὶ αὐτῶν·

20. Ἕως ἔτι ζῇς, καὶ πνοὴ ἐν σοὶ,
Μὴ ἀλλάξῃς σεαυτὸν (ἐν) πάσῃ σαρκί·

21. Κρεῖσσον γάρ ἐστι τὰ τέκνα δεηθῆναί σε,
Ἢ σὲ ἐμβλέπειν εἰς χεῖρας υἱῶν σε.

22. Ἐν πᾶσι τοῖς ἔργοις σε γίνου ὑπεράγων·
Μὴ δῷς μῶμον ἐν τῇ δόξῃ σε.

v. 13. αὐτῷ προσκόψῃς) σε προσκόψῃ. Præterea adjicit *Rom.* καὶ μὴ πάρίδῃς τὰς ἀγνοίας αὐτοῦ. κάμψον τὸν τράχηλον αὐτῷ ἐν νεότητι. ibid. Titulus περὶ ὑγείας (*Rom.* ὑγιείας) in MS. *Alexandrino* in ſuperiori ora paginæ adſcriptus eſt ante verſum 16. v. 15. βελτίων) βελτίον. v. 23. ſtich. 3. ἀπώλεσε λύπη) ἀπέκλεινεν ἡ λύπη. v. 16. Hæc & quæ ſequuntur ſunt in *Complut. Edit.* & *Vulgata* Latina aliisque quibusdam accuratioribus Exemplaribus Cap. XXXIII. v. 16. usque ad finem Cap. Cap. 33. v. 20. ſtich. 2. (ἐν) abeſt.

23. Ἐν ἡμέρᾳ συντελείας ἡμερῶν ζωῆς σε
Καὶ ἐν καιρῷ τελευτῆς διάδος κληρονομίαν.

Περὶ δώλων.

24. Χόρτασμα καὶ ῥάβδος καὶ φορτία ὄνῳ·
Ἄρτος καὶ παιδεία καὶ ἔργον οἰκέτῃ.

25. Ἔργασαι ἐν παιδὶ, καὶ εὑρήσεις ἀνάπαυσιν·
Ἄνες χεῖρας αὐτῷ, καὶ ζητήσει ἐλευθερίαν.

26. Ζυγὸς καὶ ἱμὰς τράχηλον κάμψει,
Καὶ οἰκέτη κακέργῳ στρέβλαι καὶ βάσανοι·

27. Ἔμβαλε αὐτὸν εἰς ἐργασίαν ἵνα μὴ ἀργῇ, πολλὴν γὰρ κακίαν ἐδίδαξεν ἡ ἀργία·

28. Εἰς ἔργα κατάσησον, καθὼς πρέπει αὐτῷ, κἂν μὴ πειθαρχῇ, βάρυνον τὰς πέδας αὐτοῦ.

29. Καὶ μὴ περισεύσῃς ἐπὶ πάσῃ σαρκὶ,
Καὶ ἄνευ κρίσεως μὴ ποιήσῃς μηδέν.

30. Εἰ ἔστι σοι οἰκέτης, ἔστω σοι ὡς ἡ ψυχή
* σὺ * σε, ὅτι ἐν αἵματι ἐκτήσω αὐτόν·

31. Εἰ ἔστι σοι οἰκέτης, ἄγε αὐτὸν ὡς ἀδελφὸν, ὅτι ὡς τῆς ψυχῆς σε ἐπιδεήσεις αὐτοῦ·
ἡ ψυχὴ αὐτῷ
Ἐὰν κακώσῃς αὐτὸν, καὶ ἀπάρας ἀποδρᾷ, ἐν ποίᾳ ὁδῷ ζητήσεις αὐτόν;

ΚΕΦ. ΛΑ'. XXXI. * C. 34.

Περὶ ἐνυπνίων.

Κεναὶ ἐλπίδες καὶ ψευδεῖς ἀσυνέτῳ ἀνδρὶ,
Καὶ ἐνύπνια ἀναπλεροῦσιν ἄφρονας.

2. Ὡς δρασσόμενος σκιᾶς καὶ διώκων ἄνεμον,
Οὕτως ὁ ἐπέχων ἐνυπνίοις·

3. Τοῦτο κατὰ τοῦτο ὅρασις ἐνυπνίων,
Κατέναντι προσώπου ὁμοίωμα προσώπου.

4. (Καὶ) ἀπὸ ἀκαθάρτου τί καθαρισθήσεται;
Καὶ ἀπὸ ψευδοῦς τί ἀληθεύσει;

5. Μαντεῖαι καὶ οἰωνισμοὶ καὶ ἐνύπνια μάταιά ἐστι,
Καὶ ὡς ὠδινούσης φαντάζεται καρδία·

6. Ἐὰν μὴ ἀπὸ ὑψίστου ἀποσταλῇ ἐν ἐπισκοπῇ σε,
Μὴ δῷς εἰς αὐτὰ τὴν καρδίαν σου·

7. Πολλοὺς γὰρ ἐπλάνησε τὰ ἐνύπνια,
καὶ ἐξέπεσον ἐλπίζοντες ἐπ' αὐτοῖς.

8. Ἄνευ ψεύδους συντελεσθήσεται νόμος,
Καὶ σοφία στόματι πιστῷ τελειώσις.

9. Ἀνὴρ πεπλανημένος ἔγνω πολλὰ,
πεπαιδευμένος
Καὶ ὁ πολύπειρος ἐκδιηγήσεται σύνεσιν·

10. Ὃς οὐκ ἐπειράθη, ὀλίγα οἶδεν· ὁ δὲ πεπλανημένος πληθυνεῖ πανουργίαν.

11. Πολλὰ

v. 23. à fine hujus versus addit *Edit. Rom.* Inscriptionem περὶ δώλων litteris majoribus. v. 24. Χόρτασμα) χορτάσματα. v. 26. τράχηλον κάμψεσι) transposita. v. 28. πέδας) addit αὐτοῦ. v. 29. ἐπὶ πάσῃ) ἐν πάσῃ. v. 31. ὡς ἀδελφὸν) ὡς σεαυτὸν. ibid. ἐπιδεήσεις αὐτῷ) ἐπιδεήσεις αὐτοῦ. CAP. XXXI. * In *Complut.* Latina *Vulgata* &c. est Cap. 34. v. 4. (Καὶ) abest. v. 6. ἀπὸ ὑψίστου) παρὰ ὑψίστου. v. 7. γὰρ) deest.

11. Πολλὰ ἑώρακα ἐν τῇ ἀποπλανήσει μϐ,
Καὶ πλείονα τῶν λόγων μϐ σύνεσίς μϐ.
12. Πλεονάκις ἕως θανάτϐ ἐκινδύνευσα,
Καὶ διεσώθην τέτων χάριν.
13. Πνεῦμα Φοϐϐμένων Κύριον ζήσεται,
Ἡ γὰρ ἐλπὶς αὐτῶν ἐπὶ τὸν σώζοντα αὐτές.
14. Ὁ Φοϐέμενος Κύριον ἐ μὴ (πολλὰ) εὐλαϐηθήσεται,
Καὶ ἐ μὴ δειλιάσῃ, ὅτι αὐτὸς ἐλπὶς αὐτῦ.
15. Φοϐϐμένϐ τὸν Κύριον μακαρία ἡ ψυχή·
Τίνι ἐπέχει; καὶ τὶς αὐτῦ ςήριγμα;
16. Οἱ ὀφθαλμοὶ Κυρίϐ ἐπὶ τὲς ἀγαπῶντας αὐτόν·
Ὑπερασπισμὸς δυναςείας καὶ ςήριγμα ἰχύος,
Σκέπη ἀπὸ καύσωνος καὶ σκέπη ἀπὸ μεσημϐρίας,
Φυλακὴ ἀπὸ προσκόμματος καὶ ϐοήθεια ἀπὸ πλώσεως·
17. Ἀνυψῶν ψυχὴν καὶ φωτίζων ὀφθαλμὲς·
Ἴασιν διδὲς, ζωὴν καὶ εὐλογίαν.
18. Θυσίαζων ἐξ ἀδίκϐ, προσφορὰ μϐμωμημένη,
Καὶ ἐκ εἰς εὐδοκίαν μωμήματα ἀνόμων·
19. Οὐκ εὐδοκεῖ ὁ ὕψιςος ἐν προσφοραῖς ἀσεϐῶν,
Οὐδὲ ἐν πλήθει θυσιῶν ἐξιλάσκεται ἁμαρτίας.
20. Θύων υἱὸν ἔναντι τῦ πατρὸς αὐτῦ,
Ὁ προσάγων θυσίαν ἐκ χρημάτων πενήτων.
21. Ἄρτος ἐπιδεομένων ζωὴ πλωχῶν, ἐπενδεομένων
Ὁ ἀποςερῶν αὐτὴν ἀνθρωπος αἱμάτων·
22. Φονεύων τὸν πλησίον ὁ ἀφαιρέμενος ἐμϐίωσιν,
Καὶ ἐκχέων αἷμα ὁ ἀποςερῶν μιθὸν καὶ μιθίϐ.
23. Εἷς οἰκοδομῶν, καὶ εἷς καθαιρῶν,
Τί ὠφέλησαν πλεῖον ἢ κόπϐς; ὠφέλησεν
24. Εἷς εὐχόμενος, καὶ εἷς καλαρώμενος,
Τίνος φωνῆς εἰσακϐσεται ὁ δεσπότης;
25. Βαπλιζόμενος ἀπὸ νεκρῦ καὶ πάλιν ἁπλόμενος αὐτῦ,
Τί ὠφέλησεν ἐν τῷ λϐτρῷ αὐτῦ;
26. Οὕτως ἄνθρωπος νηςεύων ἐπὶ τῶν ἁμαρτιῶν αὐτῦ,
Καὶ πάλιν πορευόμενος καὶ τὰ αὐτὰ ποιῶν,
Τῆς προσευχῆς αὐτῦ τὶς εἰσακϐσεται;
Καὶ τί ὠφέλησεν ἐν τῷ ταπεινωθῆναι αὐτόν;

ΚΕΦ. ΛΒ'. XXXII. *C. 35.

Ὁ Συντηρῶν νόμον πλεονάζει προσφοράς,
Θυσιάζων σωτηρίϐ ὁ προσέχων ἐντολαῖς· Θυσία

v. 14. Κύριον πολλὰ εὐλ.) κύριον ἐ μὴ εὐλαϐηθήσεται. v. 15. ſtich. 2. αὐτῦ ςήριγμα) ἀντιςήριγμα αὐτοῦ. v. 16. ſtich. 4. πλώσεως) πλώματος. v. 18. μεμωμημένη) μεμωκημένη. ibid. ſtich. 2. μωμήματα) μωκήματα. v. 21. ἐπενδεομένων) ἐπιδεομένων. v. 22. ἐμβίωσιν) συμβίωσιν. ibid. ſtich. 2. καὶ ἀποςερῶν) ὁ ἀποςερῶν. v. 23. ſtich. 2. ὠφέλησεν) ὠφέλησαν. v. 25. ſtich. 2. ἐν τῷ λϐτρῷ) ἐν abeſt. CAP. XXXII. * In *Complut.* Latina *Vulgata* &c. eſt 35. Cap. v. 1. ſtich. 2. Θυσία) θυσιάζων.

2. Ἀνταποδιδὲς χάριν προσφέρων σεμίδαλιν,
Καὶ ὁ ποιῶν ἐλεημοσύνην θυσιάζων αἰνέσεως.
3. Εὐδοκία Κυρίῳ ἀποσῆναι ἀπὸ πονηρίας,
Καὶ ἐξιλασμὸς ἀποσῆναι ἀπὸ ἀδικίας.
4. Μὴ ὀφθῇς ἐν προσώπῳ Κυρίῳ κενός·
5. Πάντα γὰρ ταῦτα χάριν ἐντολῆς.
6. Προσφορὰ δικαίου λιπαίνει θυσιαστήριον,
Καὶ ἡ εὐωδία αὐτῆς ἔναντι ὑψίστου·
7. Θυσία ἀνδρὸς δικαίου δεκτὴ,
Καὶ τὸ μνημόσυνον αὐτῆς οὐκ ἐπιλησθήσεται.
8. Ἐν ἀγαθῷ ὀφθαλμῷ δόξασον τὸν Κύριον,
Καὶ μὴ μικρύνῃς ἀπαρχὴν χειρῶν σου·
9. Ἐν πάσῃ δόσει ἱλάρωσον τὸ πρόσωπόν σου,
Καὶ ἐν εὐφροσύνῃ ἁγίασον δεκάτην.
10. Δὸς ὑψίστῳ κατὰ τὴν δόσιν αὐτοῦ,
Καὶ ἐν ἀγαθῷ ὀφθαλμῷ καθ' εὕρεμα χειρός·
11. Ὅτι Κύριος ἀνταποδιδὲς ἐστι,
Καὶ ἑπταπλάσια ἀποδώσει σοι.
12. Μὴ δωροκόπει, οὐ γὰρ προσδέξεται,
Καὶ μὴ ἔπεχε θυσίᾳ ἀδίκῳ·
Ὅτι Κύριος κριτής ἐστι, καὶ οὐκ ἔστι παρ' αὐτῷ δόξα προσώπου.
13. Οὐ λήψεται πρόσωπον ἐπὶ πτωχῷ,
Καὶ δέησιν ἠδικημένου εἰσακούσεται·
14. Οὐ μὴ παρίδῃ ἱκετείαν ὀρφανοῦ,
Καὶ χήρας ἐὰν ἐκχέῃ λαλιάν.
15. Οὐχὶ δάκρυα χήρας ἐπὶ σιαγόνι καταβαίνει, καὶ ἡ καταβόησις ἐπὶ τῷ καταγαγόντι αὐτά;
16. Θεραπεύων ἐν εὐδοκίᾳ δεχθήσεται,
Καὶ ἡ δέησις αὐτοῦ ἕως νεφελῶν συνάψει·
17. Προσευχὴ ταπεινοῦ νεφέλας διῆλθε,
Καὶ ἕως συνεγγίσῃ, οὐ μὴ παρακληθῇ, καὶ οὐ μὴ ἀποσῇ ἕως ἐπισκέψηται Κύριος,
Καὶ κρινεῖ δικαίοις, καὶ ποιήσει κρίσιν.
18. Καὶ ὁ Κύριος οὐ μὴ βραδύνῃ,
Οὐδὲ μὴ μακροθυμήσῃ ἐπ' αὐτοῖς κραταιός·
Ἕως ἂν συντρίψῃ ὀσφὺν ἀνελεημόνων,
Καὶ τοῖς ἔθνεσιν ἀνταποδώσει ἐκδίκησιν·
Ἕως ἐξάρῃ πλῆθος ὑβριστῶν,
Καὶ σκῆπτρα ἀδίκων συντρίψῃ· δικαίων
19. Ἕως ἀνταποδῷ ἀνθρώπῳ κατὰ τὰς πράξεις αὐτοῦ,
Καὶ τὰ ἔργα τῶν ἀνθρώπων καὶ τὰ ἐνθυμήματα αὐτῶν·
Ἕως κρινῇ τὴν κρίσιν τοῦ λαοῦ αὐτοῦ,
Καὶ εὐφρανεῖ αὐτὸς ἐν τῷ ἐλέει αὐτοῦ.
20. Ὡραῖον ἔλεος ἐν καιρῷ θλίψεως (αὐτοῦ),
Ὡς νεφέλαι ὑετοῦ ἐν καιρῷ ἀβροχίας.

ΚΕΦ.

v. 8. stich. 2. μικρύνῃς) σμικρύνῃς. v. 10. δόσιν σε) δόσιν αὐτοῦ. v. 11. stich. 2. ἀποδώσει) ἀνταποδώσει. v. 14. παρίδῃ) ὑπερίδῃ. v. 15. σιαγόνι) σιαγόνα. v. 17. stich. 2. Κύριος) ὁ ὕψιστος. ibid. stich. 3. δικαίοις) δικαίως. v. 18. stich. 2. μακροθυμήσῃ) μακροθυμήσει. ibid. stich. 6. δικαίων) ἀδίκων.

* C. 36.

ΚΕΦ. ΛΓ'. XXXIII.

Ἐλέησον ἡμᾶς δέσποτα ὁ Θεὸς πάντων, καὶ ἐπίβλεψον, 2. καὶ ἐπίβαλε τὸν φόβον σε ἐπὶ πάντα τὰ ἔθνη τὰ μὴ ἐκζητοῦντά σε·

3. Ἔπαρον τὴν χεῖρά σε ἐπὶ ἔθνη ἀλλότρια, καὶ ἰδέτωσαν τὴν δυναστείαν σε.

4. Ὥσπερ ἐνώπιον αὐτῶν ἡγιάσθης ἐν ἡμῖν, ἔτως ἐνώπιον ἡμῶν μεγαλυνθείης ἐν αὐτοῖς·

5. Καὶ ἐπιγνώτωσάν σε, καθάπερ καὶ ἡμεῖς ἐπέγνωμέν σε,
Ὅτι ἐκ ἔστι Θεὸς πλὴν σε Κύριε.

6. Ἐγκαίνισον σημεῖα, καὶ ἀλλοίωσον θαυμάσια·

Δόξασον χεῖρα καὶ βραχίονα δεξιὸν,
ὅπως διηγῶνται τὰ θαυμάσιά σε.

7. Ἔγειρον θυμὸν, καὶ ἔκχεον ὀργήν·
Ἔξαρον ἀντίδικον, καὶ ἔκλιψον ἐχθρόν.

8. Σπεῦσον καιρὸν, καὶ μνήσθητι ὁρκισμοῦ,
Καὶ ἐκδιηγησάσθωσαν τὰ μεγαλεῖά σε.

9. Ἐν ὀργῇ πυρὸς καταβρωθήτω ὁ σωζόμενος, καὶ οἱ κακοῦντες τὸν λαόν σε εὕροισαν ἀπώλειαν.

10. Σύντριψον κεφαλὰς ἀρχόντων ἐθνῶν,
Λεγόντων· ἐκ ἔστι πλὴν ἡμῶν.

11. Συνάγαγε πάσας φυλὰς Ἰακώβ.

Reliqua hujus Capitis 36. in *Complut.* habes infrà post versum 15. Cap. λς.

25. Λαμπρὰ καρδία καὶ ἀγαθὴ ἐπὶ ἐδέσμασι * C. 30. v. 25.
Τῶν βρωμάτων αὐτῆς ἐπιμελήσεται.

ΚΕΦ. ΛΔ'. XXXIV. * C. 31.

Ἀγρυπνία πλάτος ἐκλήκει σάρκας,
Καὶ ἡ μέριμνα αὐτοῦ ἀφιεῖ ὕπνον· ἀφίστατο
2. Μέριμνα ἀγρυπνίας ἀπωθήσει ἀπαιτήσει
νυσταγμὸν,
Καὶ ἀῤῥώστημα βαρὺ ἐκνήψει ὕπνον. ὕπνος

3. Ἐκοπίασε πλούσιος ἐν συναγωγῇ χρημάτων,
Καὶ ἐν τῇ ἀναπαύσει ἐμπίπλαται τῶν τρυφημάτων αὐτοῦ·

4. Ἐκοπίασε πτωχὸς ἐν ἐλαττώσει βίου,
Καὶ ἐν τῇ ἀναπαύσει ἐπιδεὴς γίνεται.

5. Ὁ ἀγαπῶν χρυσίον οὐ δικαιωθήσεται,
Καὶ ὁ διώκων διαφθορὰν, αὐτῆς πλη- αὐτὸς
σθήσεται·

6. Πολλοὶ ἐδόθησαν εἰς πτῶμα χάριν χρυσίου, καὶ ἐγενήθη ἀπώλεια αὐτῶν κατὰ πρόσωπον αὐτῶν.

7. Ξύλον προσκόμματος ἔστι τοῖς ἐνθυσιάζουσιν αὐτῷ,
Καὶ πᾶς ἄφρων ἁλώσεται ἐν αὐτῷ.

8. Μακάριος πλούσιος ὃς εὑρέθη ἄμωμος,
Καὶ ὃς ὀπίσω χρυσίου οὐκ ἐπορεύθη·

9. Τίς ἔστι καὶ μακαριοῦμεν αὐτόν;
Ἐποίησε γὰρ θαυμάσια ἐν λαῷ αὐτοῦ·

10. Τίς

CAP. XXXIII. * In *Complut. Vulgata* &c. est 36. Cap. v. 1. ἡμᾶς ὁ Θεὸς) ἡμᾶς δέσποτα ὁ Θεὸς. v. 5. ἐπέγνωμέν σε) σε abest. v. 11. Συνάγαγε) σύναγε. v. 25. * In *Complut.* & Latina *Vulgata* est v. 25. Capitis 30. CAP. XXXIV. * In *Complut.* & Latina *Vulgata* est 31. Cap. v. 1. stich. 2. ἀφίστατο) ἀφιεῖ.

10. Τίς ἐδοκιμάθη ἐν αὐτῷ, καὶ ἐτελειώθη; καὶ ἔτω εἰς καύχησιν·
Τίς ἐδύνατο παραβῆναι, καὶ ὲ παρέβη,
Καὶ ποιῆσαι κακὰ, καὶ ἐκ ἐποίησε;

11. Στερεωθήσεται τὰ ἀγαθὰ αὐτῦ,
Καὶ τὰς ἐλεημοσύνας αὐτῦ ἐκδιηγήσεται ἐκκλησία. σοφία

12. Ἐπὶ τραπέζης μεγάλης ἐκάθισας,
Μὴ ἀνοίξῃς ἐπ' αὐτῆς φάρυγγά σε,
Καὶ μὴ εἴπῃς· πολλάγε τὰ ἐπ' αὐτῆς.

13. Μνήθητι ὅτι κακὸν ὀφθαλμὸς πονηρός·
Πονηρότερον ὀφθαλμῦ τί ἔκλισαι;
Διὰ τῦτο ἀπὸ παντὸς προσώπε δακρύει.

14. Οὗ ἐὰν ἐπιβλέψῃ, μὴ ἐκλείνῃς χεῖρά σε,
Καὶ μὴ συνθλίβε αὐτῷ ἐν τρυβλίῳ.

15. Νόει τὰ τῦ πλησίον ἐκ σεαυτῦ,
Καὶ ἐπὶ παντὶ πράγματι διανοῦ.

16. Φάγε ὡς ἄνθρωπος τὰ παρακείμενά σοι,
Καὶ μὴ διαμασῶ, μὴ μισηθῇς·

17. Παῦσαι πρῶτος χάριν παιδείας,
Καὶ μὴ ἀπλησεύε μήποτε προσκόψῃς·

18. Καὶ εἰ ἀναμέσον πλειόνων ἐκάθισας,
Πρότερος αὐτῶν μὴ ἐκλείνῃς τὴν χεῖρά σε.

19. Ὡς ἱκανὸν ἀνθρώπῳ πεπαιδευμένῳ τὸ ὀλίγον,
Καὶ ἐπὶ τῆς κοίτης αὐτῦ ἐκ ἀθυμαίνει.

20. Ὕπνος ὑγιείας ἐπὶ ἐντέρῳ μετρίῳ·
Ἀνέση πρωΐ, καὶ ἡ ψυχὴ αὐτῦ μετ' αὐτῦ·
Πόνος ἀγρυπνίας καὶ χολέρα χολέρας
Καὶ σρόφος μετὰ ἀνδρὸς ἀπλήσε.

21. Καὶ εἰ ἐβιάθης ἐν ἐδέσμασιν,
Ἀνάσα μεσοπορῶν, ἔμεσον καὶ ἀναπαύσῃ. μεσοπωρῶν

22. Ἄκεσόν με τέκνον, καὶ μὴ ἐξυδενώσῃς με, καὶ ἐπ' ἐχάτε εὑρήσεις τὲς λόγες με.
Ἐν πᾶσι τοῖς ἔργοις σε γίνε ἐντρεχὴς, λόγοις
Καὶ πᾶν ἀῤῥώσημα ὲ μή σοι ἀπαντήσῃ.

23. Λαμπρὸν ἐπ' ἄρτοις εὐλογήσει χείλη,
Καὶ ἡ μαρτυρία τῆς καλλονῆς αὐτῦ πισή·

24. Πονηρῷ ἐπ' ἄρτῳ διαγογγύσει πόλις,
Καὶ ἡ μαρτυρία τῆς πονηρίας αὐτῦ ἀκριβής.

25. Ἐν οἴνῳ μὴ ἀνδρίζε,
Πολλὲς γὰρ ἀπώλεσεν ὁ οἶνος·

26. Κάμινος δοκιμάζει σόμωμα ἐν βαφῇ, ἔτως οἶνος καρδίας ἐν μάχῃ ὑπερηφάνων.

27. Ἐπίσον ζωῆς οἶνος ἀνθρώποις,
Ἐὰν πίνῃς αὐτὸν μέτρῳ αὐτῦ·
Τίς ζωὴ ἐλασσεμένῳ οἴνε;
Καὶ αὐτὸς ἔκλισαι εἰς εὐφροσύνην ἀνθρώποις.

28. Ἀγαλλίαμα καρδίας καὶ εὐφροσύνη ψυχῆς

Οἶνος

v. 11. stich. 2. σοφία) ἐκκλησία. v. 12. stich. 3. Καὶ εἴπῃς) καὶ μὴ εἴπῃς. v. 22. ἐπ' ἐχάτε) ἐπ' ἐχάτῳ. ibid. stich. 2. λόγοις) ἔργοις. v. 23. stich. 2. Καὶ ἡ μαρτυρία) absque articulo. v. 27. ἀνθρώποις) ἀνθρώπῳ. ibid. stich. 3. οἴνου) οἴνῳ.

Οἶνος πινόμενος ἐν καιρῷ αὐτάρκης·
γινόμενος 29. Πικρία ψυχῆς οἶνος πινόμενος πολὺς,
Ἐν ἐρεθισμῷ καὶ ἀντιπλώματι·
30. Πληθύνει μέθη θυμὸν ἄφρονος εἰς πρόσκομμα,
Ἐλαττῶν ἰσχὺν καὶ προσποιῶν τραύματα.
31. Ἐν συμποσίῳ οἴνου μὴ ἐλέγξῃς τὸν πλησίον,
Καὶ μὴ ἐξουθενώσῃς αὐτὸν ἐν εὐφροσύνῃ αὐτοῦ·
Λόγον ὀνειδισμοῦ μὴ εἴπῃς αὐτῷ,
Καὶ μὴ αὐτὸν θλίψῃς ἐν ἀπαιτήσει.

* C. 32. ΚΕΦ. ΛΕ'. XXXV.

Περὶ ἡγουμένων.

ΗΓούμενόν σε κατέστησαν; μὴ ἐπαίρου·
Γίνου ἐν αὐτοῖς ὡς εἷς ἐξ αὐτῶν,
Φρόντισον αὐτῶν, καὶ ἕτως κάθισον·
2. Καὶ πᾶσαν τὴν χρείαν σου ποιήσας ἀνάπεσον,
Ἵνα εὐφρανθῇς δι' αὐτούς,
Καὶ εὐκοσμίας χάριν λάβῃς τὸν στέφανον.
3. Λάλησον πρεσβύτερε (πρέπει γάρ σοι),
ἀκριβεῖ ἐπιστήμῃ Ἐν ἀκριβείᾳ ἐπιστήμης, καὶ μὴ ἐμποδίσῃς μουσικά·
4. Ὅπου ἀκρόαμα, μὴ ἐκχέῃς λαλιάν,
Καὶ ἀκαίρως μὴ σοφίζου.
5. Σφραγὶς ἄνθρακος ἐπὶ κόσμῳ χρυσῷ,
Σύγκριμα μουσικῶν ἐν συμποσίᾳ οἴνου·
6. Ἐν κατασκευάσματι χρυσῷ σφραγὶς σμαράγδου,
Μέλος μουσικῶν ἐφ' ἡδεῖ οἴνῳ.
7. Λάλησον νεανίσκε εἰ χρεία σου,
Μόλις δὶς ἐὰν ἐπερωτηθῇς·
8. Κεφαλαίωσον λόγον, ἐν ὀλίγοις πολλά·
Γίνου γινώσκων, καὶ ἅμα σιωπῶν.
9. Ἐν μέσῳ μεγιστάνων μὴ ἐξισάζου,
Καὶ ὅπου γέροντες, μὴ πολλὰ ἀδολέσχει. ἑτέρου λέγοντος
10. Πρὸ βροντῆς καταστράπτει ἀστραπή·
Καὶ πρὸ αἰσχυντηροῦ προελεύσεται χάρις.
11. Ἐν ὥρᾳ ἀναστάσεως ἐξεγείρου, καὶ μὴ ὀράγει·
Ἀπότρεχε εἰς οἶκόν σου, καὶ μὴ ῥαθύμει· ἀθύμει
12. Ἐκεῖ παῖζε καὶ ποίει τὰ ἐνθυμήματά σου,
Καὶ μὴ ἐν ἁμαρτίαις καὶ λόγῳ ὑπερφάνου. ἁμαρτήσῃς
13. Καὶ ἐπὶ τούτοις εὐλόγησον τὸν ποιήσαντά σε, καὶ μεθύσκοντά σε ἀπὸ τῶν ἀγαθῶν αὐτοῦ.
14. Ὁ φοβούμενος Κύριον ἐκδέξεται παιδείαν αὐτοῦ,
Καὶ οἱ ὀρθρίζοντες εὑρήσουσιν εὐδοκίαν·
15. Ὁ ζητῶν νόμον ἐμπλησθήσεται αὐτοῦ,
Καὶ ὁ ὑποκρινόμενος σκανδαλισθήσεται ἐν αὐτῷ·
16. Οἱ φοβούμενοι Κύριον εὑρήσουσι κρίμα,
Καὶ δικαιώματα ὡς φῶς ἐξάψουσιν.
17. Ἄνθρωπος ἁμαρτωλὸς ἐκκλίνει ἔλεγμον,

v. 29. γινόμενος) πινόμενος. v. 31. stich. 2. ἐξουθενώσῃς) ἐξουδενώσῃς. CAP. XXXV. *In *Complut. Vulgata* aliisque est 32. Cap. Titulum περὶ ἡγουμένων *Edit. Rom.* habet litteris majoribus expressum. v. 1. stich. 3. ἕτως) οὕτω. v. 2. ἀνάπεσον) ἀνάπεσε. ibid. stich. 3. τὸν στέφανον) absque articulo. v. 5. stich. 2. συμποσίᾳ) συμποσίῳ. v. 8. stich. 2. Γίνου γιν.) γίνου ὡς γινώσκων. v. 11. stich. 2. ἀθύμει) ῥαθύμει. v. 12. stich. 2. ἁμαρτήσῃς) ἁμάρτῃς.

Καὶ κατὰ τὸ θέλημα αὐτῦ εὑρήσει σύγκριμα.

18. Ἀνὴρ βελῆς ὲ μὴ παρίδῃ διανόημα·
Ἀλλότριος καὶ ὑπερήφανος ὲ καταπλήξει φόβον,
Καὶ μετὰ τὸ ποιῆσαι μετ' αὐτῦ ἄνευ βελῆς.

19. Ἄνευ βελῆς μηδὲν ποιήσῃς,
Καὶ ἐν τῷ ποιῆσαί σε μὴ μεταμελῦ.

20. Ἐν ὁδῷ ἀντιπλώματος μὴ πορεύε,
Καὶ μὴ προσκόψῃς ἐν λιθώδεσιν·

21. Καὶ μὴ πιϛεύσῃς ἐν ὁδῷ ἀπροσκόπῳ·

22 Καὶ ἀπὸ τῶν τέκνων σε φύλαξαι.

23. Ἐν παντὶ ἔργῳ ἀγαθῷ πίϛευε τῇ ψυχῇ σε·
Καὶ γὰρ τῦτό ἐϛι τήρησις ἐντολῆς.

24. Ὁ πιϛεύων νόμῳ προσέχει ἐντολαῖς·
Καὶ ὁ πεποιθὼς Κυρίῳ ἐκ ἐλαττωθήσεται.

* C. 33. ## ΚΕΦ. Λϛ'. XXXVI.

ΤΩ φοβεμένῳ Κύριον ἐκ ἀπαντήσει κακὸν,
Ἀλλ' ἐν πειρασμῷ καὶ πάλιν ἐξελεῖται αὐτόν.

2. Ἀνὴρ σοφὸς ὲ μιϛήσει νόμον·
Ὁ δὲ ὑποκρινόμενος ἐν αὐτῷ, ὡς ἐν καταιγίδι πλοῖον.

3. Ἄνθρωπος συνετὸς ἐμπιϛεύσει νόμῳ,
Καὶ ὁ νόμος αὐτῷ πιϛὸς ὡς ἐρώτημα δήλων.

4. Ἑτοίμασον λόγον, καὶ ἔτως ἀκκθήσῃ·
Σύνθησον παιδείαν καὶ ἀποκρίθητι.

5. Τροχὸς ἁμάξης σπλάγχνα μωρῦ,
Καὶ ὡς ἄξων ϛρεφόμενος ὁ διαλογισμὸς αὐτῦ.

6. Ἵππος εἰς ὀχείαν ὡς φίλος μωκὸς, ὀχεῖον
Ὑποκάτω παντὸς ἐπικαθημένε χρεμετίσει.

7. Διατί ἡμέρα ἡμέρας ὑπερέχει;
Καὶ πᾶν φῶς ἡμέρας ἐνιαυτῦ ἀφ' ἡλίε·

8. Ἐν γνώσει Κυρίε διεχωρίθησαν,
Καὶ ἠλλοίωσε καιρὲς καὶ ἑορτάς·

9. Ἀπ' αὐτῶν ἀνύψωσε καὶ ἡγίασε,
Καὶ ἐξ αὐτῶν ἔθηκεν εἰς ἀριθμὸν ἡμερῶν.

10. Καὶ ἄνθρωποι πάντες ἀπὸ ἐδάφες,
Καὶ ἐκ γῆς ἐκλίθη Ἀδάμ·

11. Ἐν πλήθει ἐπιϛήμης Κύριος διεχώρισεν αὐτὲς,
Καὶ ἠλλοίωσε τὰς ὁδὲς αὐτῶν·

12. Ἐξ αὐτῶν ἠυλόγησε καὶ ἀνύψωσε,
Καὶ ἐξ αὐτῶν ἡγίασε, καὶ πρὸς αὐτὸν ἤγγισεν·
Ἀπ' αὐτῶν κατηράσατο καὶ ἐταπείνωσεν, πρὸς αὐτὸν ἤγγισεν
Καὶ ἀνέϛρεψεν αὐτὲς ἀπὸ ϛάσεως αὐτῶν.

13. Ὡς πηλὸς κεραμέως ἐν χειρὶ αὐτῦ,
Πᾶσαι αἱ ὁδοὶ αὐτῦ κατὰ τὴν εὐδοκίαν αὐτῦ·
Οὕτως ἄνθρωποι ἐν χειρὶ τῦ ποιήσαντος αὐτὲς,
Ἀποδῦναι αὐτοῖς κατὰ τὴν κρίσιν αὐτῦ.

14. Ἀπέ-

v. 19. μηδὲν) μηθὲν. v. 21. Καὶ μὴ) καὶ deeſt. v. 23. ſt. 2. ἐντολῆς) ἐντολῶν. CAP. XXXVI.
* In *Complut.* Latina *Vulgata* aliisque eſt Cap. 33. usque ad verſum 15. incluſive. v. 3. ſtich. 2. δήλων) δικαίων. v. 6. ὀχεῖον) ὀχείαν. ibid. ſtich. 2. χρεμετίσει) χρεμετίζει. v. 12. ſtich. 3. πρὸς αὐτὸν ἤγγισεν) ἐταπείνωσεν.

14. Ἀπέναντι τῆ κακῆ τὸ ἀγαθὸν,
Καὶ ἀπέναντι τῆ θανάτῳ ἡ ζωή·
Οὕτως ἀπέναντι εὐσεβῆς ἁμαρτωλός.

V. 16. & seqq. vide post v. 24. Cap. λ'.

15. Καὶ ἔτως ἔμβλεψον εἰς πάντα τὰ ἔργα τῆ ὑψίστῳ·
Δύο δύο, ἓν κατέναντι τῆ ἑνός.

*Hæc jungenda cum versu 11. Cap. λγ'.

(Κἀγὼ ἔγρατος ἠγρύπνησα,) * καὶ † καλεκληρονόμησεν αὐτὲς καθὼς ἀπ' ἀρχῆς.

†καὶ ἐκλη-ρονόμησα

12. Ἐλέησον λαὸν Κύριε κεκλημένον ἐπ' ὀνόματί σε,
Καὶ Ἰσραὴλ ὃν πρωτογόνῳ ὡμοίωσας.

13. Οἰκτείρησον πόλιν ἁγιάσματός σε,
Ἰερυσαλὴμ τόπον καταπαύματός σε·

14 Πλῆσον Σιὼν ἄραι τὰ λόγιά σε,
Καὶ ἀπὸ τῆς δόξης σε τὸν λαόν σε.

15. Δὸς μαρτύριον τοῖς ἐν ἀρχῇ κλίσμασί σε,
Καὶ ἔγειρον προφητείας τὰς ἐπ' ὀνόματί σε·

16. Δὸς μισθὸν τοῖς ὑπομένεσί σε,
Καὶ οἱ προφῆταί σε ἐμπιστευθήσονται.

οἰκετῶν

17. Εἰσάκυσον Κύριε δεήσεως τῶν ἱκετῶν σε κατὰ τὴν εὐλογίαν Ἀαρὼν περὶ τῆ λαῆ σε·
Καὶ γνώσονται πάντες οἱ ἐπὶ τῆς γῆς,
Ὅτι σὺ Κύριος εἶ ὁ Θεὸς τῶν αἰώνων.

18. Πᾶν βρῶμα φάγεται κοιλία·
Ἔστι δὲ βρῶμα βρώματος κάλλιον.

19. Φάρυγξ γεύεται βρώματα θήρας·
Οὕτως καρδία συνετὴ λόγες ψευδεῖς.

20. Καρδία στρεβλὴ δώσει λύπην·
Καὶ ἄνθρωπος πολύπειρος ἀνταποδώσει αὐτῷ.

21. Πάντα ἄρρενα ἐπιδέξεται γυνή·
Ἔστι δὲ θυγάτηρ θυγατρὸς κρείσσων.

22. Κάλλος γυναικὸς ἱλαρύνει πρόσωπον,
Καὶ ὑπὲρ πᾶσαν ἐπιθυμίαν ἀνθρώπε ὑπεράγει·

23. Εἰ ἔστιν ἐπὶ γλώσσης αὐτῆς ἔλεος καὶ πραΰτης καὶ ἴασις,
Οὐκ ἔστιν ὁ ἀνὴρ αὐτῆς καθ' υἱὲς ἀνθρώπων.

24. Ὁ κλώμενος γυναῖκα ἐνάρχεται κλήσεως,
Βοηθὸν κατ' αὐτὸν καὶ στύλον ἀναπαύσεως·

25. Οὗ ἐκ ἔστι φραγμὸς, διαρπαγήσεται κλῆμα,
Καὶ ὃ ἐκ ἔστι γυνὴ, στενάξει πλανώμενος.

26. Τίς γὰρ πιστεύσει εὐζώνῳ λῃστῇ
Ἀφαλλομένῳ ἐκ πόλεως εἰς πόλιν;
Οὕτως ἀνθρώπῳ μὴ ἔχοντι νοσσιὰν,
Καὶ καταλύοντι ὃ ἐὰν ὀψίσῃ.

ΚΕΦ. ΛΖ'. XXXVII.

ΠΑΣ φίλος ἐρεῖ· ἐφιλίασα κἀγώ·
Ἀλλ' ἔστι φίλος ὀνόματι μόνον φίλος.

2. Οὐχὶ λύπη ἔνι ἕως θανάτε
Ἑταῖρος καὶ φίλος τρεπόμενος εἰς ἔχθραν;

ἐχθρόν

Cap. 33. v. 13. stich. 2. τόπον) πόλιν. v. 16. stich. 2. ἐμπιστευθήσονται) ἐμπιστευθήτωσαν. v. 17. οἰκετῶν) ἱκετῶν. ibid. stich 3. Ὅτι Κύριος) ὅτι σὺ κύριος. v. 24. stich. 2. ἀναπαύσεως) ἀναπαύσεων. v. 26. stich. 2. Ἀφαλλομένῳ) σφαλλομένῳ. CAP. XXXVII. v. 1. ἐφιλίασα) addit αὐτῷ. v. 2. stich. 2. ἐχθρὸν) ἔχθραν.

3. Ὦ πονηρὸν ἐνθύμημα, πόθεν ἐνεκυλίσθης
Καλύψαι τὴν ξηρὰν ἐν δολιότητι;

4. Ἑταῖρος φίλε ἐν εὐφροσύνῃ ἥδεται,
Καὶ ἐν καιρῷ θλίψεως ἔσαι ἀπέναντι·

5. Ἑταῖρος φίλῳ συμπονεῖ χάριν γαστρὸς,
πολέμε Ἀπέναντι πολεμίε λήψεται ἀσπίδα.

6. Μὴ ἐπιλάθε φίλε ἐν τῇ ψυχῇ σε,
αὐτῷ Καὶ μὴ ἀμνημονήσῃς αὐτᾶ ἐν χρήμασί σε.

7. Πᾶς σύμβελος ἐξαίρει βελήν·
Ἀλλ' ἔσι συμβελεύων εἰς ἑαυτόν.

8. Ἀπὸ συμβέλε φύλαξον τὴν ψυχήν σε,
Καὶ γνῶθι πρότερον τίς αὐτᾶ χρεία·
(Καὶ γὰρ αὐτὸς ἑαυτῷ βελεύσεται,)
κλῆρον Μήποτε βάλῃ ἐπὶ σοὶ σκληρὸν,

9. Καὶ εἴπῃ σοι· καλή ἡ ὁδός σε·
Καὶ στήσεταί ἐξ ἐναντίας ἰδεῖν τὸ συμβησόμενόν σοι.

10. Μὴ βελεύε μετὰ τᾶ ὑποβλεπομένε σε,
Καὶ ἀπὸ τῶν ζηλούντων σε κρύψον βελήν·

11. Μετὰ γυναικὸς περὶ τῆς ἀντιζήλε αὐτῆς,
Καὶ μετὰ δειλᾶ περὶ πολέμε,
Μετὰ ἐμπόρε περὶ μεταβολίας,
Καὶ μετὰ ἀγοράζοντος περὶ πράσεως,
Μετὰ βασκάνε περὶ εὐχαριστίας,
Καὶ μετὰ ἀνελεήμονος περὶ χρησοθείας,
Μετὰ ὀκνηρᾶ περὶ παντὸς ἔργε,
Καὶ μετὰ μισθίε ἐπετείε περὶ συντελείας, ἐπαιτίε
Οἰκέτῃ ἀργῷ περὶ πολλῆς ἐργασίας·
Μὴ ἔπεχε ἐπὶ τούτοις περὶ πάσης συμβελίας.

12. Ἀλλ' ἢ μετὰ ἀνδρὸς εὐσεβᾶς ἐνδελέχιζε,
Ὃν ἂν ἐπιγνῷς συντηροῦντα ἐντολὰς Κυρίε,
Ὃς ἐν τῇ ψυχῇ αὐτᾶ κατὰ τὴν ψυχήν σε,
Καὶ ἐὰν πλαίσῃς, συναλγήσει σοι.

13. Καὶ βουλὴν καρδίας σῆσον,
Οὐ γάρ ἐσί σοι πιστότερος αὐτῆς·

14. Ψυχὴ γὰρ ἀνδρὸς ἀπαγγέλλειν ἐνίοτε εἴωθεν,
Ἢ ἑπτὰ σκοποὶ ἐπὶ μετεώρε καθήμενοι ἐπὶ σκοπῆς.

15. Καὶ ἐπὶ πᾶσι τούτοις δεήθητι ὑψίσε,
Ἵνα εὐθύνῃ ἐν ἀληθείᾳ τὴν ὁδόν σε.

16. Ἀρχὴ παντὸς ἔργε λόγος,
Καὶ πρὸ πάσης πράξεως βελή.

17. Ἶχνος ἀλλοιώσεως καρδίας

18. Τέσσαρα μέρη ἀνατέλλει,
Ἀγαθὸν καὶ κακὸν, ζωὴ καὶ θάνατος·
Καὶ ἡ κυριεύσα ἐνδελεχῶς αὐτῶν αὐτῷ γλῶσσά ἐσιν.

19. Ἔσιν

v. 5. ſtich. 2. Ἀπέναντι) ἔναντι. v. 6. ἐπιλάθε) ἐπιλάθῃ. ibid. ſtich. 2. ἀμνημονήσῃς αὐτῷ) ἀμνημοσύνης αὐτᾶ. v. 11. περὶ τῆς ἀντιζήλε) absque articulo. ibid. ſtich. 8. ἐπαιτίε) ἐφεσίε. ibid. ſtich. 10. περὶ συμβ.) περὶ πάσης συμβελίας. v. 18. ſtich. 3. Καὶ ἡ κυρ.) articulus abeſt. ibid. αὐτῷ) αὐτῶν.

19. Ἔστιν ἀνὴρ πανοῦργος πολλῶν παιδευτής, καὶ τῇ ἰδίᾳ ψυχῇ ἐστὶν ἄχρηστος.

20. Ἔστι σοφιζόμενος ἐν λόγοις μισητός· ἔτος πάσης τροφῆς καθυστερήσει·

21. Οὐ γὰρ ἐδόθη αὐτῷ παρὰ Κυρίου χάρις,
Ὅτι πάσης σοφίας ἐστέρηθη.

22. Ἔστι σοφὸς τῇ ἰδίᾳ ψυχῇ,
Καὶ οἱ καρποὶ τῆς συνέσεως αὐτοῦ ἐπαινετοί.

ἐπὶ στόματος πιστοί

23. Ἀνὴρ σοφὸς τὸν ἑαυτοῦ λαὸν παιδεύσει,
Καὶ οἱ καρποὶ τῆς συνέσεως αὐτοῦ πιστοί.

24. Ἀνὴρ σοφὸς ἐμπλησθήσεται εὐλογίας,
Καὶ μακαριοῦσιν αὐτὸν πάντες οἱ ὁρῶντες.

25. Ζωὴ ἀνδρὸς ἐν ἀριθμῷ ἡμερῶν·
Καὶ αἱ ἡμέραι τοῦ Ἰσραὴλ ἀναρίθμητοι.

26. Ὁ σοφὸς ἐν τῷ λαῷ αὐτοῦ κληρονομήσει πίστιν, καὶ τὸ ὄνομα αὐτοῦ ζήσει εἰς τὸν αἰῶνα.

27. Τέκνον ἐν ζωῇ σε πείρασον τὴν ψυχήν σε,
Καὶ ἴδε τί πονηρὸν αὐτῇ, καὶ μὴ δῷς αὐτῇ·

28. Οὐ γὰρ πάντα πᾶσι συμφέρει,
Καὶ ἡ πᾶσα ψυχὴ ἐν παντὶ εὐδοκεῖ.

29. Μὴ ἀπλησταίνου ἐν πάσῃ τρυφῇ,
Καὶ μὴ ἐκχυθῇς ἐπὶ ἐδεσμάτων·

30. Ἐν πολλοῖς γὰρ βρώμασιν ἔσται νόσος,
Καὶ ἡ ἀπλησία ἐγγιεῖ ἕως χολέρας·

31. Διὰ ἀπλησίαν πολλοὶ ἐτελεύτησαν,
Ὁ δὲ προσέχων προσθήσει ζωήν.

ΚΕΦ. ΛΗ'. XXXVIII.

Τίμα ἰατρὸν πρὸς τὰς χρείας αὐτοῦ τιμαῖς αὐτοῦ·
Καὶ γὰρ αὐτὸν ἔκτισε Κύριος,

2. (Παρὰ γὰρ ὑψίστου ἐστὶν ἴασις)
Καὶ παρὰ βασιλέως λήψεται δόμα·

3. Ἐπιστήμη ἰατροῦ ἀνυψώσει κεφαλὴν αὐτοῦ,
Καὶ ἔναντι μεγιστάνων θαυμασθήσεται.

4. Κύριος ἔκτισεν ἐκ γῆς φάρμακα, καὶ ἀνὴρ φρόνιμος οὐ προσοχθιεῖ αὐτοῖς.

5. Οὐκ ἀπὸ ξύλου ἐγλυκάνθη ὕδωρ,
Εἰς τὸ γνωσθῆναι τὴν ἰσχὺν αὐτοῦ ὑπὸ ἀνθρώπων;

6. Καὶ αὐτὸς ἔδωκεν ἀνθρώπῳ ἐπιστήμην,
Ἐνδοξάζεσθαι ἐν τοῖς θαυμασίοις αὐτοῦ·

7. Ἐν αὐτοῖς ἐθεράπευσε καὶ ἤρε πάντα πόνον αὐτοῦ, πᾶν

8. Μυρεψὸς ἐν τούτοις ποιήσει μίγμα·
Καὶ οὐ μὴ συντελεσθῇ ἔργα αὐτοῦ,
Καὶ εἰρήνη παρ' αὐτοῦ ἐστιν ἐπὶ προσώπου τῆς γῆς.

9. Τέκνον ἐν ἀρρωστήμασί σου μὴ παράβλεπε,

v. 19. πανοῦργος πολλῶν) πανοῦργος καὶ πολλῶν. ibid. ἔστιν ἄχρηστος) transposita. v. 24. ἐμπλησθήσεται) πλησθήσεται. ibid. stich. 2. μακαριοῦσιν) καὶ μακαριοῦσιν. v. 26. ζήσει) ζήσεται. v. 27. ἐν ζωῇ) ἐν τῇ ζωῇ. v. 30. νόσος) πόνος. v. 31. Διὰ ἀπλ.) δι' ἀπλησίαν. CAP. XXXVIII. v. 1. χρείας αὐτοῦ) αὐτοῦ deest. v. 6. ἀνθρώπῳ) ἀνθρώποις. v. 7. πᾶν πόνον) τὸν πόνον. v. 8. stich. 2. συντελεσθῇ) συντελέσῃ. v. 9. ἀῤῥωστήμασι) ἀῤῥωστήματι.

Ἀλλ' εὔξαι Κυρίῳ, καὶ αὐτὸς ἰάσεταί σε·

10. Ἀπόσησον πλημμέλειαν καὶ εὔθυνον χεῖρας,
Καὶ ἀπὸ πάσης ἁμαρτίας καθάρισον καρδίαν·

11. Δὸς εὐωδίαν καὶ μνημόσυνον σεμιδάλεως,
Καὶ λίπανον προσφορὰν, ὡς μὴ ὑπάρχων.

12. Καὶ ἰατρῷ δὸς τόπον, καὶ γὰρ αὐτὸν ἔκλισε Κύριος·
Καὶ μὴ ἀποσήτω σε, καὶ γὰρ αὐτῷ χρεία.

13. Ἔστι καιρὸς ὅτε καὶ ἐν χερσὶν αὐτῶν εὐοδία·

14. Καὶ γὰρ αὐτοὶ Κυρίε δεηθήσονται,
Ἵνα εὐοδώσῃ αὐτοῖς ἀνάπαυσιν
Καὶ ἴασιν χάριν ἐμβιώσεως.

15. Ὁ ἁμαρτάνων ἔναντι τῷ ποιήσαντος αὐτὸν,
Ἐμπέσοι εἰς χεῖρας αὐτῷ.

16. Τέκνον ἐπὶ νεκρῷ κατάαγε δάκρυα,
Καὶ ὡς δεινὰ πάσχων ἔναρξαι θρήνε·
Κατὰ δὲ τὴν κρίσιν αὐτῷ περίσειλον τὸ σῶμα αὐτῷ,
Καὶ μὴ ὑπερίδῃς τὴν ταφὴν αὐτῷ.

17. Πίκρανον κλαυθμὸν, καὶ θέρμανον κοπετὸν,
Καὶ ποίησον τὸ πένθος κατὰ τὴν ἀξίαν αὐτῷ
Ἡμέραν μίαν καὶ δύο χάριν διαβολῆς,
Καὶ παρακλήθητι λύπης ἕνεκα·

18. Ἀπὸ λύπης γὰρ ἐκβαίνει θάνατος,
Καὶ λύπη καρδίας κάμψει ἰσχύν.

19. Ἐν ἐπαγωγῇ παραμένει καὶ λύπη,
Καὶ βίος πλωχῷ κατέρχεται καρδίας. κατὰ

20. Μὴ δῷς εἰς λύπην τὴν καρδίαν σε,
Ἀπόσησον αὐτὴν μνησθεὶς τὰ ἔσχατα·

21. Μὴ ἐπιλάθῃ, ἀ γάρ ἐστιν ἐπάνοδος·
Καὶ τοῦτον ἐκ ὠφελήσεις, καὶ σεαυτὸν κακώσεις.

22. Μνήσθητι τὸ κρίμα μου, ὅτι ἔτως καὶ τὸ σόν·
Ἐμοὶ ἐχθὲς, καὶ σοὶ σήμερον.

23. Ἐν ἀναπαύσει νεκρῷ κατάπαυσον τὸ μνημόσυνον αὐτοῦ,
Καὶ παρακλήθητι ἐν αὐτῷ ἐν ἐξόδῳ πνεύματος αὐτοῦ.

24. Σοφία γραμματέως ἐν εὐκαιρίᾳ σχολῆς,
Καὶ ὁ ἐλασσούμενος πράξει αὐτοῦ σοφισθήσεται.

25. Τί σοφισθήσεται ὁ κρατῶν ἀρότρου, Τίς ὀφθήσεται
Καὶ καυχώμενος ἐν δόρατι; * κέντρῳ * κέντρου
Βόας ἐλαύνων καὶ ἀναστρεφόμενος ἐν ἔργοις αὐτῶν,
Καὶ ἡ διήγησις αὐτοῦ ἐν υἱοῖς ταύρων·

26. Καρδίαν αὐτοῦ δώσει ἐκδοῦναι αὐλακας,
Καὶ ἡ ἀγρυπνία αὐτοῦ εἰς χορτάσματα δαμάλεων.

27. Οὕτως πᾶς τέκτων καὶ ἀρχιτέκτων,
Ὅστις νύκτωρ ὡς ἡμέρας διάγει·
Οἱ γλύφοντες γλύμματα σφραγίδων,

Καὶ

v. 13. εὐοδία) εὐωδία. v. 15. stich. 2. αὐτῷ) ἰατροῦ. v. 16. stich. 2. ἔναρξαι) ἔναρξε v. 19. ἐπαγωγῇ παραμένει) ἀπαγωγῇ παραβαίνει. v. 22. μου, ὅτι ἔτως καὶ) αὐτῷ, ὅτι οὕτω ὡς καὶ. ibid. stich. 2. ἐχθὲς) χθὲς. v. 25. τίς ὀφθήσεται) τί σοφισθήσεται. ibid. stich. 2. καυχώμενος) καὶ καυχώμενος. v. 27. stich. 2. ὡς ἡμέρας) ὡς ἡμέρᾳ.

Καὶ ἡ ἐπιμονὴ αὐτῆ ἀλλοιῶσαι ποικιλίαν·
Καρδίαν αὐτῆ δώσει εἰς ὁμοιῶσαι ζωγραφίαν,
Καὶ ἡ ἀγρυπνία αὐτῆ τελέσαι ἔργον.

28. Οὕτως χαλκεὺς καθήμενος ἐγγὺς ἄκμονος,
Καὶ καλαμανθάνων ἔργον σιδήρου·
Ἀτμὶς πυρὸς τήξει σάρκας αὐτῆ,
Καὶ ἐν θέρμῃ καμίνου διαμαχήσεται·
κενιεῖ Φωνὴ σφύρης καὶ ἄκμονος κναίει τὸ ὅς αὐτῆ,
Καὶ κατέναντι ὁμοιώματος σκεύους οἱ ὀφθαλμοὶ αὐτῆ·
Καρδίαν αὐτῆ δώσει εἰς συντέλειαν ἔργων,
Καὶ ἡ ἀγρυπνία αὐτῆ κοσμῆσαι ἐπὶ συντελείας.

29. Οὕτως κεραμεὺς καθήμενος ἐν ἔργῳ αὐτῆ,
Καὶ συσρέφων ἐν ποσὶν αὐτῆ τροχὸν,
Ὃς ἐν μερίμνῃ κεῖται διαπαντὸς ἐπὶ τὸ ἔργον αὐτῆ,
Καὶ ἐναρίθμιος πᾶσα ἡ ἐργασία αὐτῆ·

30. Ἐν βραχίονι αὐτῆ τυπώσει πηλὸν,
Καὶ πρὸ ποδῶν κάμψει ἰσχὺν αὐτῆ·
Καρδίαν ἐπιδώσει συντελέσαι τὸ χρίσμα,
Καὶ ἡ ἀγρυπνία αὐτῆ καθαρίσαι κάμινον.

31. Πάντες ἕτοι εἰς χεῖρας ἑαυτῶν ἐνεπίσευσαν,
Καὶ ἕκασος ἐν τῷ ἔργῳ αὐτῆ σοφίζεται.

32. Ἄνευ αὐτῶν οὐκ οἰκήσεται πόλις,
Καὶ ὃ παροικήσουσιν οὐδὲ περιπατήσουσιν·

33. Ἐν βουλῇ λαῆ οὐ ζητηθήσονται,
Καὶ ἐν ἐκκλησίᾳ οὐχ ὑπεραλῶνται·
ἐπὶ δίφρον δυνάσου οὐ καθιοῦνται,
Καὶ διαθήκην κρίματος οὐ διανοηθήσονται,
Οὐδὲ μὴ ἐκφανῶσι παιδείαν καὶ κρίμα,
Καὶ ἐν παραβολαῖς οὐχ εὑρεθήσονται·

34. Ἀλλὰ κτίσμα αἰῶνος στηρίσουσι,
Καὶ ἡ δέησις αὐτῶν ἐν ἐργασίᾳ τέχνης.

ΚΕΦ. ΛΘ'. XXXIX.

Πλὴν τῆ ἐπιδιδόντος τὴν ψυχὴν αὐτῆ, καὶ διανοημένῳ ἐν νόμῳ ὑψίσου, διανοημένῳ

Σοφίαν πάντων ἀρχαίων ἐκζητήσει,
Καὶ ἐν προφητείαις ἀσχοληθήσεται·

2. Διήγησιν ἀνδρῶν ὀνομαστῶν συντηρήσει,
Καὶ ἐν στροφαῖς παραβολῶν συνεισελεύσεται·

3. Ἀπόκρυφα παροιμιῶν ἐκζητήσει,
Καὶ ἐν αἰνίγμασι παραβολῶν ἀναστραφήσεται.

4. Ἀναμέσον μεγιστάνων ὑπηρετήσει,
Καὶ ἔναντι ἡγεμένος ὀφθήσεται·
Ἐν γῇ ἀλλοτρίων ἐθνῶν διελεύσεται,

Ἀγα-

v. 27. ſtich. 4. ἐπιμονὴ) ὑπομονή. ibid. ſtich. 5. εἰς ὁμοιῶσαι) εἰς τὸ ὁμοιῶσαι. v. 28. ſtich. 2. ἔργον σιδήρου) ἀργῷ σιδήρῳ. ibid. ſtich. 3. τήξει) πήξει. ibid. ſtich. 5. κενιεῖ pro καινιεῖ quemadmodum legit *Edit. Rom.* v. 29. Οὕτως) οὕτω. v. 31. ἑαυτῶν) αὐτῶν. v. 32. οἰκήσεται) οἰκηθήσεται. v. 33. ſtich. 2. δυνάσου) δικασοῦ. ibid. ſtich. 4. παιδείαν) δικαιοσύνην. CAP. XXXIX. v. 1. ἐπιδιδόντος) ἐπιδόντος. ibid. διανοημένῳ) διανοημένε, ibid. ſtich. 2. ab hoc ſticho *Edit. Rom.* incipit 39. Cap. v. 2. Διήγησιν) διηγήσεις.

Ἀγαθὰ γὰρ καὶ κακὰ ἐν ἀνθρώποις ἐπείρασε.

5. Τὴν καρδίαν αὐτῆ ἐπιδώσει ὀρθρίσαι πρὸς Κύριον τὸν ποιήσαντα αὐτὸν,
Καὶ ἔναντι ὑψίστε δεηθήσεται,
Καὶ ἀνοίξει στόμα αὐτῆ ἐν προσευχῇ,
Καὶ περὶ τῶν ἁμαρτιῶν αὐτῆ δεηθήσεται.

6. Ἐὰν ὁ Κύριος ὁ μέγας θελήσῃ,
Πνεύματι συνέσεως ἐμπλήσει αὐτόν·
Αὐτὸς ἀνομβρήσει ῥήματα σοφίας αὐτῆ,
Καὶ ἐν προσευχῇ ἐξομολογήσεται Κυρίῳ·

7. Αὐτὸς κατευθυνεῖ βελὴν αὐτῆ καὶ ἐπιστήμην,
Καὶ ἐν τοῖς ἀποκρύφοις αὐτῆ διανοηθήσεται·

ἐκφαίνει 8. Αὐτὸς ἐκφανεῖ παιδείαν διδασκαλίας αὐτῆ,

Κυρίε διαθήκης Καὶ ἐν νόμῳ διαθήκης Κυρίε καυχήσεται.

9. Αἰνέσουσι τὴν σύνεσιν αὐτῆ πολλοὶ,
Καὶ ἕως τῆ αἰῶνος οὐκ ἐξαλειφθήσεται·
Οὐκ ἀποστήσεται τὸ μνημόσυνον αὐτῆ,
Καὶ τὸ ὄνομα αὐτῆ ζητήσεται εἰς γενεὰς γενεῶν·

10. Τὴν σοφίαν αὐτῆ διηγήσεται ἔθνη,
Καὶ τὸν ἔπαινον αὐτῆ ἐξαγγελεῖ ἐκκλησία.

ἐμμείνῃ 11. Ἐὰν ἀναπαύσηται, ὄνομα καταλείψει ἢ χίλιοι,
Καὶ ἐὰν ἐμμείνῃ, ἐμποιεῖ αὐτῷ. παύσηται

12. Ἔτι διανοηθεὶς ἐκδιηγηθήσομαι,
Καὶ ὡς δι' ὀχομηνίας ἐπληρώθην.

13. Εἰσακούσατέ μου υἱοὶ ὅσιοι, καὶ βλαστήσατε
Ὡς ῥόδον φυόμενον ἐπὶ ῥεύματος ὑγρῆ,

14. Καὶ ὡς λίβανος εὐωδιάσατε ὀσμὴν,
Καὶ ἀνθήσατε ἄνθος ὡς κρίνον·
Διάδοτε ὀσμὴν καὶ αἰνέσατε ᾆσμα,
Εὐλογήσατε Κύριον ἐπὶ πᾶσι τοῖς ἔργοις αὐτῆ.

15. Δότε τῷ ὀνόματι αὐτῆ μεγαλωσύνην,
Καὶ ἐξομολογήσασθε ἐν αἰνέσει αὐτῆ
Ἐν ᾠδαῖς χειλέων καὶ ἐν κινύραις,
Καὶ ἔτως ἐρεῖτε ἐν ἐξομολογήσει·

16. Τὰ ἔργα Κυρίε πάντα ὅτι καλὰ σφόδρα,
Καὶ πᾶν πρόσταγμα ἐν καιρῷ αὐτῆ ἔσται.

17. Οὐκ ἔστιν εἰπεῖν· τί τῆτο; εἰς τί τῆτο;
Πάντα γὰρ ἐν καιρῷ αὐτῶν ζητηθήσεται. αὐτῆ
Ἐν λόγῳ αὐτῆ ἔστι ὡς θημωνία ὕδωρ, καὶ ἐν ῥήματι στόματος αὐτῆ ἀποδοχεῖα ὑδάτων.

18. Ἐν προστάγματι αὐτῆ πάσα ἡ εὐδοκία,
Καὶ ἐκ ἔστιν ὃς ἐλαττώσει τὸ σωτήριον αὐτῆ.

19. Ἔργα

v. 4. ſtich. 4. κακὰ ἀνθρ.) κακὰ ἐν ἀνθρώποις. v. 5. ſtich. 3. στόμα) τὸ στόμα. v. 6. ὁ Κύριος) abſque articulo. ibid. ſtich. 2. ἐμπλήσει αὐτὸν) ἐμπληθήσεται. v. 8. ἐκφαίνει) ἐκφανεῖ. ibid. ſtich. 2. Κυρίε διαθήκης) transpoſita. v. 9. ſtich. 2. Καὶ ἕως) καὶ deeſt. ibid. ſtich. 4. τὸ ὄνομα α. ζητήσεται) ὄνομα αὐτῆ ζήσεται. v. 10. διηγήσεται) διηγήσονται. v. 11. ſtich. 2. παύσηται) ἀναπαύσηται. v. 12. ἐκδιηγηθήσομαι) ἐκδιηγήσομαι. v. 13. Εἰσακήσατε) εἰσακούσετε. ibid. ſtich. 2. ὑγρᾷ) ἀγρᾷ. v. 14. ſtich. 4. ἔργοις αὐτοῦ) αὐτῆ deeſt. v. 17. ſtich. 1. non habet *Edit. Rom.*

19. Ἔργα πάσης σαρκὸς ἐνώπιον αὐτῦ,
Καὶ ἐκ ἔστι κρυβῆναι ἀπὸ τῶν ὀφθαλμῶν αὐτῦ·

20. Ἀπὸ τῦ αἰῶνος εἰς τὸν αἰῶνα ἐπέβλεψε,
Καὶ ἐδέν ἐστι θαυμαστὸν ἐναντίον αὐτῦ.

21. Οὐκ ἔστιν εἰπεῖν· τί τῦτο, εἰς τί τῦτο;
Πάντα γὰρ εἰς χρείαν αὐτῶν ἐκλισαι.

22. Ἡ εὐλογία αὐτῦ ὡς ποταμὸς ἐπεκάλυψεν, καὶ ὡς κατακλυσμὸς ξηρὰν ἐμέθυσεν·

23. Οὕτως ὀργὴν αὐτῦ ἔθνη κληρονομήσει,
Ὡς μετέστρεψεν ὕδατα εἰς ἅλμην.

24. Αἱ ὁδοὶ αὐτῦ τοῖς ὁσίοις εὐθεῖαι,
Οὕτως τοῖς ἀνόμοις προσκόμματα.

25. Ἀγαθὰ τοῖς ἀγαθοῖς ἔκλισαι ἀπ' ἀρχῆς,
Οὕτως τοῖς ἁμαρτωλοῖς κακά.

26. Ἀρχὴ πάσης χρείας εἰς ζωὴν ἀνθρώπε,
Ὕδωρ, καὶ πῦρ, καὶ σίδηρος, καὶ ἅλας, καὶ σεμίδαλις
Πυρὸς Πυρῦ, καὶ μέλι, καὶ γάλα,
Αἷμα σταφυλῆς, καὶ ἔλαιον, καὶ ἱμάτιον·

27. Ταῦτα πάντα τοῖς εὐσεβέσιν εἰς ἀγαθὰ,
Οὕτως τοῖς ἁμαρτωλοῖς τραπήσεται εἰς κακά.

28. Ἔστι πνεύματα ἃ εἰς ἐκδίκησιν ἔκλισαι,
Καὶ ἐν θυμῷ αὐτῶν ἐστερέωσαν μάστιγας αὐτῶν·
Ἐν καιρῷ συντελείας ἰσχὺν ἐκχέουσι,
Καὶ τὸν θυμὸν τῦ ποιήσαντος αὐτὰς κοπάσουσιν.

29. Πῦρ καὶ χάλαζα καὶ λιμὸς καὶ θάνατος,
Πάντα ταῦτα εἰς ἐκδίκησιν ἔκλισαι·

30. Θηρίων ὀδόντες καὶ σκορπίοι καὶ ἔχεις,
Καὶ ῥομφαία ἐκδικοῦσα εἰς ὄλεθρον ἀσεβεῖς,

31. Ἐν τῇ ἐντολῇ αὐτῦ εὐφρανθήσονται,
Καὶ ἐπὶ τῆς γῆς εἰς χρείας ἑτοιμασθήσονται, χεῖρας
Καὶ ἐν καιροῖς αὐτῶν οὐ παραβήσονται λόγον.

32. Διὰ τῦτο ἐξ ἀρχῆς ἐστηρίχθην,
Καὶ διενοήθην, καὶ ἐν γραφῇ ἀφῆκα.

33. Τὰ ἔργα Κυρίε πάντα ἀγαθὰ,
Καὶ πᾶσαν χρείαν ἐν ὥρᾳ αὐτῆς χορηγήσει·

34. Καὶ ἐκ ἔστιν εἰπεῖν· τῦτο τύτε πονηρότερον·
Πάντα γὰρ ἐν καιρῷ εὐδοκιμήσεται.

35. Καὶ νῦν ἐν πάσῃ καρδίᾳ καὶ στόματι ὑμνήσατε,
Καὶ εὐλογήσατε τὸ ὄνομα Κυρίε.

v. 20 ſtich. 2. ἐδὲν ἐστι θαυμαστὸν) ἐδέν ἐστι θαυμάσιον. v. 21. ſtich. 2. εἰς χρείαν) εἰς χρείας. v. 26. ſtich. 2. καὶ πῦρ) καὶ deeſt. ibid. ἅλας) ἅλα. ibid. ſtich. 3. πυρὸς) πυρῦ. v. 28. ſtich. 3. Ἐν καιρῷ) καὶ ἐν καιρῷ. v. 31. ſtich. 2. χεῖρας) χρείας. ibid. ſtich. 3. ἐν καιροῖς) ἐν τοῖς καιροῖς. v. 34. ſtich. 2. εὐδοκιμήσεται) εὐδοκιμηθήσεται.

ΚΕΦ. Μ'. XL.

Ἀσχολία μεγάλη ἔκλισαι παντὶ ἀνθρώπῳ,
Καὶ ζυγὸς βαρὺς ἐπὶ υἱὸς Ἀδάμ,
Ἀφ' ἡμέρας ἐξόδε ἐκ γαστρὸς μητρὸς αὐτῶν
ἐπιαφῆς Ἕως ἡμέρας ἐπιστροφῆς εἰς μητέρα πάντων·
Τὲς διαλογισμὲς ἡμέρα ἐνδόξε ὡς
2. Διαλογισμὲς αὐτῶν καὶ φόβον καρδίας
Ἐπίνοια προσδοκίας ἡμέρας τελευτῆς,
3. Ἀπὸ καθημένε ἐπὶ θρόνε ἐν δόξῃ
[Καὶ ἕως τεταπεινωμένε ἐν γῇ καὶ σποδῷ,
ὑακίνθινον
4. Ἀπὸ φοροῦντος ὑάκινθον καὶ στέφανον
Καὶ ἕως περιβαλλομένε ὠμόλινον·
5. Θυμὸς καὶ ζῆλος καὶ ταραχὴ καὶ σάλος,
Καὶ φόβος θανάτε καὶ μήνιμα καὶ ἔρις.
Καὶ ἐν καιρῷ ἀναπαύσεως ἐπὶ κοίτης
Ὕπνος νυκτὸς ἀλλοιοῖ γνῶσιν αὐτῦ·
6. Ὀλίγον ὡς ἐδὲν ἐν ἀναπαύσει,
Καὶ ἀπ' ἐκείνε ἐν ὕπνοις ὡς ἐν ἡμέρᾳ σκοπιᾶς,
Τεθορυβημένος ἐν ὁράσει καρδίας αὐτῦ,
Ὡς ἐκπεφευγὼς ἀπὸ προσώπε πολέμε·
7. Ἐν καιρῷ σωτηρίας αὐτῦ ἐξηγέρθη,
Καὶ ἀποθαυμάζων εἰς ἐδένα φόβον.
8. Μετὰ πάσης σαρκὸς ἀπὸ ἀνθρώπε ἕως κλήνες,
Καὶ ἐπὶ ἁμαρτωλῶν ἐπιπλάσια πρὸς ταῦτα·
9. Θάνατος καὶ αἷμα καὶ ἔρις καὶ ῥομφαία, ἐπαγωγαὶ, λιμὸς καὶ σύντριμμα καὶ μάστιξ,
10. Ἐπὶ τὲς ἀνόμες ἐκτίσθη πάντα ταῦτα,
Καὶ δι' αὐτὲς ἐγένετο ὁ κατακλυσμός.
11. Πάντα ὅσα ἀπὸ γῆς, εἰς γῆν ἀναστρέφει, ἀναστρέψει
Καὶ ἀπὸ ὑδάτων εἰς θάλασσαν ἀνακάμπτει.
12. Πᾶν δῶρον καὶ ἀδικία ἐξαλειφθήσεται·
Καὶ πίστις εἰς τὸν αἰῶνα στήσεται.
13. Χρήματα ἀδίκων ὡς ποταμὸς ξηρανθήσεται,
Καὶ ὡς βροντὴ μεγάλη ἐν ὑετῷ ἐξηχήσει·
14. Ἐν τῷ ἀνοῖξαι αὐτὸν χεῖρας εὐφρανθήσεται,
Οὕτως οἱ παραβαίνοντες εἰς συντέλειαν ἐκλείψουσιν. ἐκθλίψουσιν
15. Ἔκγονα ἀσεβῶν ὰ πληθυνεῖ κλάδες,
Καὶ ῥίζαι ἀκάθαρτοι ἐπ' ἀκροτόμε πέτρας·
16. Ἄχι ἐπὶ παντὸς ὕδατος καὶ χεῖλος ποταμῦ
Πρὸ παντὸς χόρτε ἐκλιλήσεται.
17. Χάρις ὡς παράδεισος ἐν εὐλογίαις,
Καὶ ἐλεημοσύνη εἰς τὸν αἰῶνα διαμένει.
18. Ζωὴ αὐτάρκες καὶ ἐργάτε γλυκανθήσεται,
Καὶ ὑπὲρ ἀμφότερα ὁ εὑρίσκων θησαυρόν. ἀμφοτέρας
19. Τέκνα

CAP. XL. v. 1. ſtich. 4. ἐπιταφῆς) ἐπὶ ταφῆ. v. 3. ἐνδόξε) ἐν δόξῃ. ibid. ſtich. 2. ὡς) καὶ ἕως. v. 4. ὑακίνθινον) ὑάκινθον. v. 5. ſtich. 2. μήνιμα) μηνίαμα. v. 10. πάντα ταῦτα) transpoſita. v. 11. ἀναστρέψει) ἀναστρέφει. v. 14. ſtich. 2. ἐκθλίψουσιν) ἐκλείψουσιν. v. 16. Ἄχι) ἄχει. ibid. χεῖλος) χείλας. v. 18. ſtich. 2. ἀμφοτέρας) ἀμφότερα ὁ.

19. Τέκνα καὶ οἰκοδομὴ πόλεως στηρίζουσιν ὄνομα,
Καὶ ὑπὲρ ἀμφότερα γυνὴ ἀμωμος λογίζεται.
20. Οἶνος καὶ μουσικὰ εὐφραίνουσι καρδίαν,
Καὶ ὑπὲρ ἀμφότερα ἀγάπησις σοφίας.
21. Αὐλὸς καὶ ψαλτήριον ἡδύνουσι μέλη,
Καὶ ὑπὲρ ἀμφότερα γλῶσσα ἡδεῖα.
22. Χάριν καὶ κάλλος ἐπιθυμήσει ὀφθαλμὸς,
Καὶ ὑπὲρ ἀμφότερα χλόην σπόρος.
23. Φίλος καὶ ἑταῖρος εἰς καιρὸν ἀπαντῶντες,
Καὶ ὑπὲρ ἀμφότερα γυνὴ μετ' ἀνδρός.
24. Ἀδελφοὶ καὶ βοήθεια εἰς καιρὸν θλίψεως, καὶ ὑπὲρ ἀμφότερα ἐλεημοσύνη ῥύσεται.
25. Χρυσίον καὶ ἀργύριον ἐπιστήσουσι πόδα,
Καὶ ὑπὲρ ἀμφότερα βουλὴ εὐδοκιμεῖται.
26. Χρήματα καὶ ἰσχὺς ἀνυψοῦσι καρδίαν,
Καὶ ὑπὲρ ἀμφότερα Φόβος Κυρίου·
Οὐκ ἔστιν ἐν Φόβῳ Κυρίου ἐλάττωσις,
Καὶ οὐκ ἔστιν ἐπιζητῆσαι ἐν αὐτῷ βοήθειαν·
27. Φόβος Κυρίου ὡς παράδεισος εὐλογίας,
Καὶ ὑπὲρ πᾶσαν δόξαν ἐκάλυψεν αὐτόν.
28. Τέκνον, ζωὴν ἐπαιτήσεως μὴ βιώσῃς·
Κρεῖσσον ἀποθανεῖν, ἢ ἐπαιτεῖν.
29. Ἀνὴρ βλέπων εἰς τράπεζαν ἀλλοτρίαν,
Οὐκ ἔστιν αὐτοῦ ὁ βίος ἐν λογισμῷ ζωῆς·
Ἀλισγήσει ψυχὴν αὐτοῦ ἐν ἐδέσμασιν ἀλλοτρίοις,
Ἀνὴρ δὲ ἐπιστήμων καὶ πεπαιδευμένος φυλάξεται.
30. Ἐν στόματι ἀναιδοῦς γλυκανθήσεται ἐπαίτησις·
Καὶ ἐν κοιλίᾳ αὐτοῦ πῦρ καήσεται.

ΚΕΦ. ΜΑ'. XLI.

Ὦ Θάνατε ὡς πικρόν σου τὸ μνημόσυνόν ἐστιν
Ἀνθρώπῳ εἰρηνεύοντι ἐν τοῖς ὑπάρχουσιν αὐτοῦ,
Ἀνδρὶ ἀπερισπάστῳ καὶ εὐοδουμένῳ ἐν πᾶσι,
Καὶ ἔτι ἰσχύοντι ἐπιδέξασθαι τροφήν.
2. Ὦ Θάνατε καλόν σου τὸ κρίμα ἐστὶν
Ἀνθρώπῳ ἐπιδεομένῳ καὶ ἐλαττουμένῳ ἐν ἰσχύϊ,
Ἐξατονήρῳ καὶ περισπωμένῳ περὶ πάντων,
Καὶ ἀπειθοῦντι καὶ ἀπολωλεκότι ὑπομονήν.
3. Μὴ φοβοῦ κρίμα θανάτου·
Μνήσθητι προτέρων σου καὶ ἐχομένων.
4. Τοῦτο κρίμα παρὰ Κυρίου πάσῃ σαρκί·
Καὶ τί ἀπαναίνῃ ἐν εὐδοκίᾳ ὑψίστου;

v. 21. μέλη) μέλι. v. 22. ὀφθαλμὸς) ὁ ὀφθαλμός σου. v. 23. stich. 2. μετ' ἀνδρός.) μετὰ ἀνδρός. v. 24. ῥύσεται) ῥύσεται. v. 26. ἀνυψοῦσι) ἀνυψώσουσι. ibid. stich. 3. ἐν Φόβῳ) Φόβῳ. v. 27. stich. 2. ἐκάλυψεν) ἐκάλυψαν. v. 29. stich. 3. ψυχὴν) τὴν ψυχὴν. CAP. XLI. v. 2. stich. 2. ἐν ἰσχύϊ) ἐν deeſt. v. 4. Τοῦτο κρίμα) τοῦτο τὸ κρῖμα.

Εἴτε δέκα, εἴτε ἑκατὸν, εἴτε χίλια ἔτη,
Οὐκ ἔστιν ἐν ᾅδῃ ἔλεγμος ζωῆς.

5. Τέκνα βδελυρὰ γίνεται τέκνα ἁμαρτωλῶν,
Καὶ συναναστρεφόμενα παροικίαις ἀσεβῶν·

6. Τέκνων ἁμαρτωλῶν ἀπολεῖται κληρονομία,
Καὶ μετὰ τῆς σπέρματος αὐτῶν ἐνδελεχιεῖ ὄνειδος.

7. Πατρὶ ἀσεβεῖ μέμψεται τέκνα,
Ὅτι δι' αὐτὸν ὀνειδισθήσονται.

8. Οὐαὶ ὑμῖν ἄνδρες ἀσεβεῖς,
Οἵτινες ἐγκατελείπετε νόμον Θεοῦ ὑψίστου·
Ἐὰν γὰρ πληθυνθῆτε, εἰς ἀπώλειαν,

9. (Καὶ ἐὰν γεννηθῆτε, εἰς καταράν γεννηθήσεσθε)
Καὶ ἐὰν ἀποθάνητε, εἰς καταράν μεριθήσεσθε.

10. Πάντα ὅσα ἐκ γῆς, εἰς γῆν ἀπελεύσεται·
Οὕτως ἀσεβεῖς ἀπὸ καλάρας εἰς ἀπάλειαν.

11. Πένθος ἀνθρώπων ἐν σώμασιν αὐτῶν·
Ὄνομα δὲ (ἁμαρτωλῶν) ἐκ ἀγαθὸν ἐξαλειφθήσεται.

12. Φρόντισον περὶ ὀνόματος, αὐτὸ γάρ σοι διαμένει
Ἢ χίλιοι μεγάλοι θησαυροὶ χρυσίου·

13. Ἀγαθῆς ζωῆς ἀριθμὸς ἡμερῶν,
Καὶ ἀγαθὸν ὄνομα εἰς αἰῶνα διαμένει.

14. Παιδείαν ἐν εἰρήνῃ συντηρήσατε τέκνα·
Σοφία δὲ κεκρυμμένη καὶ θησαυρὸς ἀφανὴς,
Τίς ὠφέλεια ἐν ἀμφοτέροις;

15. Κρείσσων ἄνθρωπος ἀποκρύπτων τὴν μωρίαν αὐτοῦ,
Ἢ ἄνθρωπος ἀποκρύπτων τὴν σοφίαν αὐτοῦ.

16. Τοιγαροῦν ἐντράπητε ἐπὶ τῷ ῥήματί μου·
Οὐ γάρ ἐστιν πᾶσαν αἰσχύνην διαφυλάξαι καλὸν,
Καὶ ἐ πάντα πᾶσιν ἐν πίσει εὐδοκιμεῖται.

17. Αἰσχύνεσθε ἀπὸ πατρὸς καὶ μητρὸς περὶ πορνείας,
Καὶ ἀπὸ ἡγεμένε καὶ δυνάσε περὶ ψεύδες,

18. Ἀπὸ κριτοῦ καὶ ἄρχοντος περὶ πλημμελείας,
Ἀπὸ συναγωγῆς καὶ λαοῦ περὶ ἀνομίας,
Ἀπὸ κοινωνοῦ καὶ φίλε περὶ ἀδικίας,

19. Καὶ ἀπὸ τόπε ἧ παροικεῖς περὶ κλοπῆς,
Καὶ ἀπὸ λήθης Θεοῦ καὶ διαθήκης, ἀληθείας
Ἀπὸ πήξεως ἀγκῶνος ἐπ' ἄρτοις,
Καὶ ἀπὸ σκορακισμοῦ λήψεως καὶ δόσεως,

20. Καὶ ἀπὸ ἀσπαζομένων περὶ σιωπῆς,
Καὶ ἀπὸ ὁράσεως γυναικὸς ἑταίρας,

21. Καὶ ἀπὸ ἀποστροφῆς προσώπε συγγενοῦς,
Ἀπὸ ἀφαιρέσεως μερίδος καὶ δόσεως,
Ἀπὸ καλανοήσεως γυναικὸς ὑπάνδρε,

22. Ἀπὸ

v. 5. βδελυρὰ) βδελυκτὰ. v. 18. stich. 3. minoribus litteris suppletus habetur in *Edit. Rom.* v. 19. stich. 3. Ἀπὸ πήξεως) καὶ ἀπὸ πήξεως. ibid. stich. 4. Καὶ ἀπὸ) καὶ deest. v. 20. stich. 2. Καὶ ἀπὸ) καὶ deest. v. 21. stich. 3. Ἀπὸ) καὶ ἀπὸ.

22. Ἀπὸ περιεργείας παιδίσκης αὐτῆ,
Καὶ μὴ ἐπιζῆς ἐπὶ τὴν κοίτην αὐτῆς·
Ἀπὸ φίλων περὶ λόγε ὀνειδισμῆ,
Καὶ μετὰ τὸ δοῦναι, μὴ ὀνείδιζε·

23. Ἀπὸ δευτερώσεως (καὶ) λόγε ἀκοῆς,
Καὶ ἀπὸ ἀποκαλύψεως λόγων κρυφίων·

24. Καὶ ἔση αἰσχυντηρὸς ἀληθινῶς,
Καὶ εὑρίσκων χάριν ἔναντι παντὸς ἀνθρώπε.

ΚΕΦ. ΜΒ'. XLII.

ΜΗ περὶ τέτων αἰσχυνθῆς,
Καὶ μὴ λάβῃς πρόσωπον τῆ ἁμαρτάνειν·

2. Περὶ νόμε ὑψίστε καὶ διαθήκης,
Καὶ περὶ κρίματος δικαιῶσαι τὸν ἀσεβῆ,

3. Περὶ λόγε κοινωνῆ καὶ ὁδοιπόρων,
ἑτέρων Περὶ δόσεως κληρονομίας ἑταίρων,

4. Περὶ ἀκριβείας ζυγῆ καὶ σταθμιῶν,
Καὶ περὶ κλήσεως πολλῶν καὶ ὀλίγων,

διαφόρε 5. Περὶ ἀδιαφόρε πράσεως ἐμπόρων,
Καὶ περὶ παιδείας τέκνων πολλῆς,
αἱμάξας Καὶ οἰκέτη πονηρῷ πλευρὰν αἱμάξαι·

6. Ἐπὶ γυναικὶ πονηρᾷ καλὸν σφραγὶς,
Καὶ ὅπε χεῖρες πολλαὶ, κλεῖσον·

7. Ὃ ἐὰν παραδίδως, ἐν ἀριθμῷ καὶ σταθμῷ,
Καὶ δόσις καὶ λῆψις πάντα ἐν γραφῇ·

8. Περὶ παιδείας ἀνοήτε καὶ μωρῆ
Καὶ ἐχατογήρε κρινομένε πρὸς νέες, ἐχατογήρῳ
Καὶ ἔση πεπαιδευμένος ἀληθινῶς,
Καὶ δεδοκιμασμένος ἔναντι παντὸς ζῶντος. κρινομένῳ

9. Θυγάτηρ, πατρὶ ἀπόκρυφος ἀγρυπνία,
Καὶ ἡ μέριμνα αὐτῆς ἀφιζᾷ ὕπνον· αὐτῆ
Ἐν νεότητι αὐτῆς μήποτε παρακμάσῃ,
Καὶ συνοχηκυῖα μήποτε μισηθῇ·

10. Ἐν παρθενίᾳ μήποτε βεβηλωθῇ,
Καὶ ἐν τοῖς πατρικοῖς αὐτῆς ἔγκυος γένηται·
Μετὰ ἀνδρὸς ἔσα μήποτε παραβῇ,
Καὶ συνοχηκυῖα μήποτε σειρωθῇ.

11. Ἐπὶ θυγατρὶ ἀδιατρέπλῳ σερέωσον Φυλακὴν,
Μήποτε ποιήσῃ σε ἐπίχαρμα ἐχθροῖς,
Λαλιὰν ἐν πόλει, καὶ ἔγκλητον λαῆ, ἔκκλητον
Καὶ καταισχύνῃ σε ἐν πλήθει πολλῶν.

12. Παντὶ ἀνθρώπῳ μὴ ἔμβλεπε ἐν κάλλει,
Καὶ ἐν μέσῳ γυναικῶν μὴ συνέδρευε·

13. Ἀπὸ γὰρ ἱματίων ἐκπορεύεται σὴς,
Καὶ ἀπὸ γυναικὸς πονηρία (γυναικός).

14. Κρέισσων πονηρία ἀνδρὸς ἢ ἀγαθοποιὸς γυνὴ,
Καὶ γυνὴ καταισχύνσα εἰς ὀνειδισμόν.

v. 22. ſtich. 3. περὶ λόγε) περὶ λόγων. v. 23. ab hoc verſu *Edit. Rom.* incipit 42. Caput. ibid. ſtich. 2. ἀποκαλύψεως) ἀποκαλύψεων. CAP. XLII. v. 3. ſtich. 2. περὶ) καὶ περὶ. ibid. ἑτέρων) ἑταίρων. v. 4. ſtich. 2. Καὶ περὶ) περὶ. v. 5. διαφόρε) ἀδιαφόρε. ibid. ἐμπόρων) καὶ ἐμπόρων. ibid. ſtich. 3. αἱμάξας) αἱμάξαι. v. 7. ſtich. 2. πάντα ἐν) παντὶ ἐν. v. 8. ſtich. 2. ἐχατογήρῳ κρινομένῳ) ἐχατογήρε κρινομένε. v. 9. ſtich. 2. αὐτῆ) αὐτῆς. v. 10. ſtich. 4. σειρωθῇ) σειρώσῃ.

15. Μνηθήσομαι δὴ τὰ ἔργα Κυρίε,
Καὶ ἃ ἑώρακα ἐκδιηγήσομαι·
Ἐν λόγοις Κυρίε τὰ ἔργα αὐτοῦ.

16. Ἥλιος φωτίζων κατὰ πᾶν ἐπέβλεψε,
Καὶ τῆς δόξης Κυρίε πλῆρες τὸ ἔργον αὐτοῦ.

17. Οὐκ ἐνεποίησε τοῖς ἁγίοις Κύριος
Ἐκδιηγήσασθαι πάντα τὰ θαυμάσια αὐτοῦ,
Ἃ ἐστερέωσε Κύριος ὁ παντοκράτωρ,
Στηριχθῆναι ἐν δόξῃ αὐτοῦ τὸ πᾶν.

18. Ἄβυσσον καὶ καρδίαν ἐξίχνευσε,
Καὶ ἐν πανουργήμασιν αὐτῶν διενοήθη·
Ἔγνω γὰρ ὁ ὕψιστος πᾶσαν εἴδησιν,
Καὶ ἐνέβλεψεν εἰς σημεῖον αἰῶνος.

19. Ἀπαγγέλλων τὰ παρεληλυθότα καὶ τὰ ἐσόμενα,
Καὶ ἀποκαλύπτων ἴχνη ἀποκρύφων·

20. Οὐ παρῆλθεν αὐτὸν πᾶν διανόημα,
Οὐκ ἐκρύβη ἀπ' αὐτοῦ εἷς λόγος.

21. Τὰ μεγαλεῖα τῆς σοφίας αὐτοῦ ἐκόσμησεν·
Ὃς ἐστι πρὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα, ἔτε προσετέθη ἔτε ἠλασσώθη,
Καὶ ὁ προσεδεήθη ἑδενὸς συμβέλε.

22. Ὡς πάντα τὰ ἔργα αὐτοῦ ἐπιθυμητά,
Καὶ ὡς σπινθῆρός ἐστι θεωρῆσαι.

23. Πάντα ταῦτα ζῇ καὶ μένει εἰς τὸν αἰῶνα ἐν πάσαις χρείαις, καὶ πάντα ὑπακέει.

24. Πάντα διοτὰ, ἓν κατέναντι τοῦ ἑνός·
Καὶ ἐκ ἐποίησεν ἐδὲν ἐλλεῖπον.

25. Ἓν τοῦ ἑνὸς ἐστερέωσε τὰ ἀγαθά·
Καὶ τίς πληθήσεται ὁρῶν δόξαν αὐτοῦ;

ΚΕΦ. ΜΓ'. XLIII.

ΓΑυρίαμα ὕψους στερέωμα καθαριότητος,
Εἶδος ἀρανοῦ ἐν ὁράματι δόξης.

2. Ἥλιος ἐν ὀπλασίᾳ διαγγέλων ἐν ἐξόδῳ, διαγγελῶν
Σκεῦος θαυμαστὸν, ἔργον ὑψίστου·

3. Ἐν μεσημβρίᾳ αὐτοῦ ἀναξηραίνει χώραν,
Καὶ ἐναντίον καύματος αὐτοῦ τίς ὑποστήσεται;

4. Κάμινον Φυσῶν ἐν ἔργοις καύματος,
Τριπλάσιον ἥλιος ἐκκαίων ὄρη·
Ἀτμίδας πυρώδεις ἐκφυσῶν,
Καὶ ἐκλάμπων ἀκτῖνας ἀμαυροῖ ὀφθαλμούς.

5. Μέγας ὁ Κύριος ὁ ποιήσας αὐτὸν,
Καὶ ἐν λόγοις αὐτοῦ κατέσπευσε πορείαν.

6. Καὶ ἡ σελήνη ἐν πάσει εἰς καιρὸν αὐτῆς, πᾶσιν
Ἀνάδειξις χρόνων καὶ σημεῖον αἰῶνος· Ἀνάδει-
7. Ἀπὸ σελήνης σημεῖον ἑορτῆς· ξιν
Φωτὴρ μειόμενος ἐπὶ συντελείᾳ.

8. Μὴν

v. 16. stich. 2. δόξης Κυρίε) δόξης αὐτοῦ. v. 18. stich. 2. πανουργήμασιν) πανουργεύμασιν. ibid. stich. 3. ὁ ὕψιστος) ὁ κύριος. v. 19. καὶ τὰ ἐσόμενα) καὶ τὰ ἐπεσόμενα. v. 20. stich. 2. αὐτοῦ εἷς) αὐτοῦ ἐδὲ εἷς. v. 21. stich. 2. Ὃς ἐστι πρὸ) καὶ ἕως ἐστι πρὸ. ibid. ἠλασσώθη) ἠλαττώθη. ibid. stich. 3. Καὶ οὐ) καὶ ἐδὲ. v. 24. stich. 2. ἐλλεῖπον) ἐκλεῖπον. CAP. XLIII. v. 2. διαγγελῶν) διαγγέλων. v. 4. stich. 2. Τριπλάσιον) τριπλασίως. ibid. stich. 3. ἐκφυσῶν) ἐμφυσῶν. v. 5. ὁ Κύριος) absque articulo. v. 7. stich. 2. συντελείᾳ) συντελείας.

8. Μὴν κατὰ τὸ ὄνομα αὐτῆς ἐστιν,
αὐξανό- Αὐξανομένη θαυμαστῶς ἐν ἀλλοιώσει.
μενος Σκεῦος παρεμβολῶν ἐν ὕψει,
Ἐν στερεώματι ἐρανῷ ἐκλάμπον,

9. Κάλλος ἐρανῷ, δόξα ἄστρων,
Κόσμος φωτίζων ἐν ὑψίστοις Κυρίῳ·

10. Ἐν λόγοις ἁγίᾳ στήσονται κατὰ κρίμα,
Καὶ ὁ μὴ ἐκλυθῶσιν ἐν φυλακαῖς αὐτῶν.

11. Ἴδε τόξον, καὶ εὐλόγησον τὸν ποιήσαντα
αὐτὸν αὐτό,
Σφόδρα ὡραῖον ἐν τῷ αὐγάσματι αὐτῷ·

12. Ἐγύρωσεν ἐρανὸν ἐν κυκλώσει δόξης,
Χεῖρες ὑψίστου ἐτάνυσαν αὐτό.

13. Προστάγματι αὐτῷ κατέσπευσε χιόνα, καὶ ταχύνει ἀστραπὰς κρίματος αὐτοῦ.

14. Διὰ τοῦτο ἠνεῴχθησαν θησαυροί,
Καὶ ἐξέπτησαν νεφέλαι ὡς πετειναί·

νεφέλαις 15. Ἐν μεγαλείῳ αὐτοῦ ἴσχυσε νεφέλας,
Καὶ διεθρύβησαν λίθοι χαλάζης.

16. Καὶ ἐν ὁπλασίᾳ αὐτοῦ σαλευθήσονται ὄρη·
Καὶ ἐν θελήματι αὐτοῦ πνεύσεται νότος.

γῆ 17. Φωνὴ βροντῆς αὐτοῦ ὠδίνησε γῆν,
Καὶ καταιγὶς βορέου καὶ συστροφὴ πνεύματος.

Ὡς πετεινὰ καθιπτάμενα πάσεται χιόνα,
Καὶ ὡς ἀκρὶς καταλύσασα ἡ κατάβασις αὐτῆς·

18. Κάλλος λευκότητος αὐτῆς ἐκθαυμάσει ὀφθαλμὸς,
Καὶ ἐπὶ τῷ ὑετῷ αὐτῆς ἐκστήσεται καρδία.

19. Καὶ πάχνην ὡς ἅλα ἐπὶ γῆς χέει,
Καὶ παγεῖσα γίνεται ὡς σκολόπων ἄκρα.

20. Ψυχρὸς ἄνεμος βορέας πνεύσει,
Καὶ παγήσεται κρύσταλλος ἐφ' ὕδατος·
Ἐπὶ πᾶσαν συναγωγὴν ὕδατος καταλύσει,
Καὶ ὡς θώρακα ἐνδύσεται τὸ ὕδωρ.

21. Καταφάγεται ὄρη, καὶ ἔρημον ἐκκαύσει,
Καὶ ἀποσβέσει χλόην ὡς πῦρ.

22. Ἴασις πάντων κατὰ σπουδὴν, ὁμίχλη·
Δρόσος ἀπαντῶσα ἀπὸ καύσωνος ἱλαρώσει.

23. Λογισμῷ αὐτοῦ ἐκόπασεν ἄβυσσον,
Καὶ ἐφύτευσεν ἐν αὐτῇ νήσους. αὐτὴν

24. Οἱ πλέοντες τὴν θάλασσαν διηγοῦνται Ἰησοῦς
κίνδυνον αὐτῆς,
Καὶ ἀκοαῖς ὠτίων ἡμῶν θαυμάζομεν.

25. Καὶ ἐκεῖ τὰ θαυμάσια καὶ παράδοξα ἔργα,
Ποικιλία παντὸς ζώου, κλίσις κητῶν, κλῆσις

26. Δι' κλήνων

v. 8. ſtich. 2. αὐξανόμενος) αὐξανομένη. ibid. ſtich. 4. ἐκλάμπον) ἐκλάμπων. **v. 9.** ſtich. 2. Κυρίῳ) κύριος. **v. 11.** αὐτὸν) αὐτό. **v. 12.** ſtich. 2. ἐτάνυσαν) ἐτάνυσεν. **v. 15.** νεφέλαις) νεφέλας. **v. 16.** ſtich. 1. in *Rom.* καὶ ἐν ὁπλασίαις αὐτῷ σαλευθήσεται ὄρη. ibid. ſtich. 2. Καὶ ἐν) καὶ deeſt. ibid. αὐτῷ) abeſt. **v. 17.** γῆν) γῆν. **v. 20.** βορέας) βορέης. ibid. ſtich. 2. ἐφ' ὕδατος) ἀφ' ὕδατος. **v. 24.** κίνδυνον) τον κίνδυνον. **v. 25.** θαυμάσια καὶ παράδοξα) transpoſita. ibid. ſtich. 2. κλῆσις κλήνων) κλίσις κητῶν.

εὐδοκία 26. Δι' αὐτὸν εὐοδεῖ ἄγγελος αὐτῷ,
τέλος Καὶ ἐν λόγῳ αὐτῷ σύγκειται τὰ πάντα.
27. Πολλὰ ἐροῦμεν, καὶ ὰ μὴ ἀφικώμεθα,
Καὶ συντέλεια λόγων· τὸ πᾶν ἐστιν αὐτός.
28. Δοξάζοντες πῶ ἰσχύσομεν;
Αὐτὸς γὰρ ὁ μέγας παρὰ πάντα τὰ ἔργα αὐτῷ·
29. Φοβερὸς Κύριος καὶ σφόδρα μέγας,
Καὶ θαυμαστὴ ἡ δυναστεία αὐτῷ.
30. Δοξάζοντες Κύριον ὑψώσατε,
Καθόσον ἂν δύνησθε, (ὑπερέξει γὰρ καὶ ἔτι·)
Καὶ ὑψοῦντες αὐτὸν πληθύνατε ἐν ἰσχύϊ·
Μὴ κοπιᾶτε, ὰ γὰρ μὴ ἀφίκησθε.
31. Τὶς ἑώρακεν αὐτὸν καὶ ἐκδιηγήσεται;
Καὶ τὶς μεγαλυνεῖ αὐτὸν καθὼς ἔστι;
32. Πολλὰ ἀπόκρυφά ἐστι μείζονα τούτων·
Ὀλίγα γὰρ ἑωράκαμεν τῶν ἔργων αὐτῷ.
33. Πάντα γὰρ ἐποίησεν ὁ Κύριος,
Καὶ τοῖς εὐσεβέσιν δέδωκε σοφίαν.

ΚΕΦ. ΜΔ'. XLIV.

Πατέρων ὕμνος.

Αἰνέσωμεν δὴ ἄνδρας ἐνδόξους,
Καὶ τὺς πατέρας ἡμῶν τῇ γενέσει.
2. Πολλὴν δόξαν ἔκλισεν ὁ Κύριος ἐν αὐτοῖς
Τῇ μεγαλωσύνῃ αὐτῷ ἀπ' αἰῶνος. Τὴν μεγαλωσύνην
3. Κυριεύοντες ἐν ταῖς βασιλείαις * αὐτῶν, * αὐτῷ
Καὶ ἄνδρες ὀνομαστοὶ ἐν δυνάμει, † βελεύσαι
† Βεβουλευμένοι ἐν συνέσει αὐτῶν,
Ἀπαγγελκότες ἐν προφητείαις·
4. Ἡγούμενοι λαοῦ ἐν διαβουλίοις
Καὶ συνέσει γραμματείας λαῷ,
Σοφοὶ ἐν λόγοις παιδείας αὐτῶν·
5. Ἐκζητοῦντες μέλη μουσικῶν,
Καὶ διηγούμενοι ἔπη ἐγγραφῇ· ἐν γραφῇ
6. Ἄνδρες πλούσιοι κεχορηγημένοι ἐν ἰσχύϊ,
Εἰρηνεύοντες ἐν κατοικίαις αὐτῶν·
7. Πάντες οὗτοι ἐν γενεαῖς ἐδοξάσθησαν,
Καὶ ἐν ταῖς ἡμέραις αὐτῶν καύχημα.
8. Εἰσὶν αὐτῶν οἱ κατέλειπον ὄνομα,
Τῷ ἐκδιηγήσασθαι ἐπαίνους·
9. Καὶ εἰσὶν ὧν οὐκ ἔστι μνημόσυνον,
Καὶ ἀπώλοντο ὡς οὐχ ὑπάρξαντες,
Καὶ ἐγένοντο ὡς οὐ γεγονότες,
Καὶ τὰ τέκνα αὐτῶν μετ' αὐτούς.
10. Ἀλλ' ἦ οὗτοι ἄνδρες ἐλέους,
Ὧν αἱ δικαιοσύναι οὐκ ἐπελήθησαν·
11. Μετὰ τοῦ σπέρματος αὐτῶν διαμενεῖ
Ἀγαθὴ κληρονομία, ἔκγονα αὐτῶν
Ἐν ταῖς διαθήκαις· 12. ἔστη τὸ σπέρμα αὐτῶν
Καὶ τὰ τέκνα αὐτῶν δι' αὐτούς·
13. Ἕως αἰῶνος μενεῖ σπέρμα αὐτῶν,
Καὶ ἡ δόξα αὐτῶν οὐκ ἐξαλειφθήσεται· ἐγκαταλειφθήσεται
14. Τὰ

v. 26. εὐδοκία) εὐοδία. ibid. ſtich. 2. τὰ πάντα) πάντα. v. 28. ἰσχύσομεν) ἰσχύσωμεν. v. 30. ſtich. 4. ἀφίκησθε) ἐφίκησθε. v. 33. ſtich. 2. δέδωκε) ἔδωκε. CAP. XLIV. v. 3. αὐτῷ) αὐτῶν. ibid. ſtich. 3. βελεύεται) βελεύσονται. v. 4. ſtich. 3. in *Rom.* σοφοὶ λόγοι ἐν παιδείᾳ αὐτῶν. v. 5. ſtich. 2. Καὶ) deeſt. v. 6. ἐν ἰσχύϊ) ἰσχύι. ibid. ſtich. 2. κατοικίαις) παροικίαις. v. 12. τὸ σπέρμα) absque articulo. ibid. ſtich. 2. τὰ τέκνα) τέκνα. v. 13 ſtich. 2. ἐγκαταλειφθήσεται) ἐξαλειφθήσεται.

14. Τὰ σώματα αὐτῶν ἐν εἰρήνῃ ἐτάφη, καὶ τὸ ὄνομα αὐτῶν ζῇ εἰς γενεάς.

15. Σοφίαν αὐτῶν διηγήσονται λαοὶ,
Καὶ τὸν ἔπαινον αὐτῶν ἐξαγγελεῖ ἐκκλησία.

16. Ἐνὼχ εὐηρέσησε Κυρίῳ, καὶ μετετέθη,
Ὑπόδειγμα μετανοίας ταῖς γενεαῖς.

17. Νῶε εὑρέθη τέλειος δίκαιος,
Ἐν καιρῷ ὀργῆς ἐγένετο ἀνταλλαγμα·
Διὰ τοῦτο ἐγενήθη καταλειμμα τῇ γῇ,
Ὅτε ἐγένετο ὁ κατακλυσμός.

18. Διαθῆκαι αἰῶνος ἐτέθησαν πρὸς αὐτὸν,
Ἵνα μὴ ἐξαλειφθῇ πᾶσα σάρξ.

19. Ἀβραὰμ μέγας πατὴρ πλήθους ἐθνῶν,
Καὶ οὐχ εὑρέθη ὅμοιος αὐτῷ ἐν τῇ δόξῃ·

20. Ὃς συνετήρησε νόμον ὑψίστου,
Καὶ ἐγένετο ἐν διαθήκῃ μετ' αὐτοῦ·
Ἐν σαρκὶ αὐτοῦ ἔστησε διαθήκην,
Καὶ ἐν πειρασμῷ εὑρέθη πιστός·

21. Διὰ τοῦτο ἐν ὅρκῳ ἔστησεν αὐτῷ,
Ἐνευλογηθῆναι ἔθνη ἐν σπέρματι αὐτοῦ,
Πληθῦναι αὐτὸν ὡς χοῦν τῆς γῆς,
Καὶ ὡς ἄστρα ἀνυψῶσαι τὸ σπέρμα αὐτοῦ,
Καὶ κατακληρονομῆσαι αὐτοὺς ἀπὸ θαλάσσης ἕως θαλάσσης,
Καὶ ἀπὸ ποταμοῦ ἕως ἄκρου τῆς γῆς.

22. Καὶ ἐν τῷ Ἰσαὰκ ἔστησεν οὕτως
Διὰ Ἀβραὰμ τὸν πατέρα αὐτοῦ
Εὐλογίαν πάντων ἀνθρώπων καὶ διαθήκην.

23. Καὶ κατέπαυσεν ἐπὶ κεφαλὴν Ἰακώβ·
Ἐπέγνω αὐτὸν ἐν εὐλογίαις αὐτοῦ,
Καὶ ἔδωκεν αὐτῷ ἐν κληρονομίᾳ·
Καὶ διέστειλε μερίδας αὐτοῦ, διέσησεν
Ἐν Φυλαῖς ἐμέρισε δεκαδύο·
Καὶ ἐξήγαγεν ἐξ αὐτοῦ ἄνδρα ἐλέους,
Εὑρίσκοντα χάριν ἐν ὀφθαλμοῖς πάσης σαρκός.

ΚΕΦ. ΜΕ'. XLV.

Ἠγαπημένος ὑπὸ Θεοῦ καὶ ἀνθρώπων Μωσῆς, οὗ τὸ μνημόσυνον ἐν εὐλογίαις· Ἠγαπημένον Μωσῆν

2. Ὡμοίωσεν αὐτὸν ἐν δόξῃ ἁγίων,
Καὶ ἐμεγάλυνεν αὐτὸν ἐν φόβοις ἐχθρῶν·

3. Ἐν λόγοις αὐτοῦ σημεῖα κατέπαυσεν,
Ἐδόξασεν αὐτὸν κατὰ πρόσωπον βασιλέων·
Ἐνετείλατο αὐτῷ πρὸς λαὸν αὐτοῦ,
Καὶ ἔδειξεν αὐτῷ τῆς δόξης αὐτοῦ·

V. 14. Τὰ σώματα) τὸ σῶμα. V. 15. ſtich. 2. ἔπαινον αὐτῶν ἐξαγγελεῖ) ἔπαινον ἐξαγγέλλει. V. 17. ſtich. 4. in *Rom.* διὰ τοῦτο ἐγένετο κατακλυσμός. V. 18. ſtich. 2. ἐξαλειφθῇ) addit καὶ ἀκλισμῷ. V. 19. Ἀβραὰμ) ἀβραάμ. ibid. ſtich. 2. οὐχ) οὐκ. ibid. αὐτῷ) deeſt. V. 20. ſtich. 3. Ἐν σαρκὶ) καὶ ἐν σαρκὶ. V. 21. ſtich. 2. ἐν σπέρματι) ἐν τῷ σπέρματι. ibid. ſtich. 6. τῆς γῆς) abſque articulo. V. 23. ſtich. 4. διέσησεν) διέστειλε. CAP. XLV. V. 1. ſtich. 2. Μωσῆν) μωϋσῆν. V. 2. ἐν δόξῃ) ἐν deeſt.

4. Ἐν πίστει καὶ πραότητι αὐτὸν ἡγίασεν,
Ἐξελέξατο αὐτὸν ἐκ πάσης σαρκός.

5. Ἠκούτισεν αὐτὸν τῆς φωνῆς αὐτοῦ,
Καὶ εἰσήγαγεν αὐτὸν εἰς τὸν γνόφον,
Καὶ ἔδωκεν αὐτῷ κατὰ πρόσωπον ἐντολὰς,
Νόμον ζωῆς καὶ ἐπιστήμης,
Διδάξαι τὸν Ἰακὼβ διαθήκην,
Καὶ κρίματα αὐτοῦ τὸν Ἰσραήλ.

6. Ἀαρὼν ὕψωσεν ἅγιον ὅμοιον αὐτῷ,
Ἀδελφὸν αὐτοῦ ἐκ φυλῆς Λευΐ·

7. Ἔστησεν αὐτῷ διαθήκην αἰῶνος,
Καὶ ἔδωκεν αὐτῷ ἱερατείαν λαοῦ·
Ἐμακάρισεν αὐτὸν ἐν εὐκοσμίᾳ,
περιστολὴ Καὶ περιέζωσεν αὐτὸν περιστολὴν δόξης·

8. Ἐνέδυσεν αὐτὸν συντέλειαν καυχήματος,
Καὶ ἐστερέωσεν αὐτὸν σκεύεσιν ἰσχύος,
περισκελῆ καὶ ποδήρη καὶ ἐπωμίδα·

9. Καὶ ἐκύκλωσεν αὐτὸν ῥοΐσκοις
Χρυσοῖς, κώδωσι πλείοις κυκλόθεν,
Ἠχῆσαι φωνὴν ἐν βήμασιν αὐτοῦ,
Ἀκουστὸν ποιῆσαι ἦχον ἐν ναῷ
Εἰς μνημόσυνον υἱοῖς λαοῦ αὐτοῦ·

10. Στολῇ ἁγίᾳ, χρυσῷ καὶ ὑακίνθῳ
Καὶ πορφύρᾳ, ἔργῳ ποικιλτοῦ,
ἀληθεί- Λογείῳ κρίσεως δήλοις ἀληθείαις,
ας
11. Κεκλωσμένῃ κόκκῳ, ἔργῳ τεχνίτου,
Λίθοις πολυτελέσι γλύμμασι σφραγίδος,
Ἐν δέσει χρυσίου, ἔργῳ λιθουργοῦ,
Εἰς μνημόσυνον ἐν γραφῇ κεκολαμμένῃ
Κατ' ἀριθμὸν φυλῶν Ἰσραήλ·

12. Στέφανον χρυσοῦν ἐπάνω κιδάρεως,
Ἐκτύπωμα σφραγίδος ἁγιάσματος,
Καύχημα τιμῆς, ἔργον ἰσχύος,
Ἐπιθυμήματα ὀφθαλμῶν κοσμέμενα ὡραῖα·

13. Πρὸ αὐτοῦ οὐ γέγονε τοιαῦτα,
Ἕως αἰῶνος οὐκ ἐνεδύσατο ἀλλογενὴς
Πλὴν τῶν υἱῶν αὐτοῦ μόνον,
Καὶ τοῖς ἔκγονα αὐτοῦ διαπαντός.

14. Θυσίαι αὐτοῦ ὁλοκαρπωθήσονται
Καθημέραν ἐνδελεχῶς δίς.

15. Ἐπλήρωσε Μωσῆς τὰς χεῖρας,
Καὶ ἔχρισεν αὐτὸν ἐν ἐλαίῳ ἁγίῳ·
Ἐγενήθη αὐτῷ εἰς διαθήκην αἰώνιον,
Καὶ τῷ σπέρματι αὐτοῦ ἐν ἡμέραις οὐρανοῦ,
Λειτουργεῖν αὐτῷ ἅμα καὶ ἱερατεύειν,
Καὶ εὐλογεῖν τὸν λαὸν αὐτοῦ ἐν τῷ ὀνόματι αὐτοῦ.

16. Ἐξελέξατο αὐτὸν ἀπὸ παντὸς ζῶντος,
Προσαγαγεῖν κάρπωσιν Κυρίῳ,
Θυμίαμα καὶ εὐωδίαν εἰς μνημόσυνον, εὐωδία σε
Ἐξιλάσκεσθαι περὶ τοῦ λαοῦ αὐτοῦ.

17. Ἔδωκεν αὐτῷ ἐν ταῖς ἐντολαῖς αὐτοῦ,
Ἐξουσίαν ἐν διαθήκαις κριμάτων,
Διδάξαι τὸν Ἰακὼβ τὰ μαρτύρια, μαρτυ-
Καὶ ρίαν

v. 4. πραότητι αὐτὸν) πραΰτητι αὐτοῦ. v. 7. stich. 4. περιστολὴν) στολὴν. v. 15. Μωσῆς) Μωϋσῆς. ibid. stich. 4. Καὶ τῷ) καὶ ἐν τῷ. ibid. stich. 6. ὀνόματι) addit αὐτοῦ. v. 16. stich. 3. εὐωδίαν) εὐωδίαν. v. 17. αὐτῷ ἐν ταῖς ἐντολ.) αὐτὸν ἐν ἐντολαῖς. ibid. stich. 3. μαρτυρίαν) τὰ μαρτύρια.

Καὶ ἐν νόμῳ αὐτῦ Φωτίσαι τὸν Ἰσραήλ.

18. Ἐπισυνέστησαν αὐτῷ ἐλλότριοι,
Καὶ ἐζήλωσαν αὐτὸν ἐν τῇ ἐρήμῳ
Ἄνδρες οἱ περὶ Δαθὰν καὶ Ἀβειρὼν,
Καὶ ἡ συναγωγὴ Κορὲ ἐν θυμῷ καὶ ὀργῇ.

19. Ἰδὲ Κύριος καὶ ἐκ ἠυδόκησε,
Καὶ συνετελέθησαν ἐν θυμῷ ὀργῆς·
Ἐποίησεν αὐτοῖς τέρατα,
Καταναλῶσαι ἐν πυρὶ φλογὸς αὐτές.

20. Καὶ προσέθηκεν Ἀαρὼν δόξαν,
Καὶ ἔδωκεν αὐτῷ κληρονομίαν·
Ἀπαρχὰς πρωτογενημάτων ἐμέρισεν αὐτῷ,
Ἄρτον ἐν πρώτοις ἡτοίμασεν ἐν πλησμονῇ·

21. Καὶ γὰρ θυσίας Κυρίε φάγονται,
Ἃς ἔδωκεν αὐτῷ τε καὶ τῷ σπέρματι αὐτῦ.

22. Πλὴν ἐν γῇ λαῦ ὐ κληρονομήσει,
Καὶ μερὶς ἐκ ἔστιν αὐτῷ ἐν λαῷ·
σε Αὐτὸς γὰρ μερὶς αὐτῦ καὶ κληρονομία.

23. Καὶ Φινεὲς υἱὸς Ἐλεάζαρ τρίτος εἰς δόξαν,
Ἐν τῷ ζηλῶσαι αὐτὸν ἐν φόβῳ Κυρίε,
Καὶ στῆναι αὐτὸν ἐν τροπῇ λαῦ
Ἐν ἀγαθότητι προθυμίας ψυχῆς αὐτῦ·
Καὶ ἐξιλάσατο περὶ τῦ Ἰσραήλ.

24. Διὰ τῦτο ἐστάθη αὐτῷ διαθήκη εἰρήνης,
Προστατεῖν ἁγίων καὶ † λαῦ αὐτῦ, προστάτην
Ἵνα αὐτῷ ᾖ καὶ τῷ σπέρματι αὐτῦ
Ἱερωσύνης μεγαλεῖον εἰς τὺς αἰῶνας· † λαῷ

25. Κατὰ διαθήκην τῷ Δαυὶδ, Καὶ
Υἱῷ Ἰεσσαὶ ἐκ Φυλῆς Ἰέδα,
Κληρονομίας βασιλέως υἱῦ ἐξ υἱῦ μόνε, κληρονο-
κληρονομία † Ἀαρὼν καὶ τῷ σπέρματι αὐτῦ. μία
† αὐτῷ

26. Δῴη ὑμῖν σοφίαν ἐν καρδίαις ὑμῶν, δοίη
Κρίνειν τὸν λαὸν αὐτῦ ἐν δικαιοσύνῃ,
Ἵνα μὴ ἀφανισθῇ τὰ ἀγαθὰ αὐτῶν,
Καὶ τὴν δόξαν αὐτῶν εἰς γενεὰν αὐτῶν.

ΚΕΦ. Μς'. XLVI.

Κραταιὸς ἐν πολέμῳ Ἰησῦς υἱὸς Ναυῆ,
Καὶ διάδοχος Μωσῆ ἐν προφητείαις·
Ὃς ἐγένετο κατὰ τὸ ὄνομα αὐτῦ
Μέγας ἐπὶ σωτηρίᾳ ἐκλεκτῶν αὐτῦ,
Ἐκδικῆσαι ἐπεγειρομένυς ἐχθρούς,
Ὅπως κληρονομήσῃ τὸν Ἰσραήλ.

2. Ὡς ἐδοξάσθη ἐν τῷ ἐπᾶραι χεῖρας αὐτῦ,
Καὶ ἐν τῷ ἐκλεῖναι ῥομφαίαν ἐπὶ πόλεις.

v. 17. ſtich. 4. τὸν Ἰσραήλ.) abſque articulo. v. 19. ſtich. 4. φλογὸς αὐτές.) φλογὸς αὐτοῦ. v. 20. ſtich. 3. ἐμέρισεν αὐτῷ.) ἐμέρισεν αὐτοῖς. ibid. ſtich. 4. in *Rom.* ἄρτον ἐν πρώτοις ἡτοίμασε πλησμονήν. v. 22. ſtich. 3. καὶ κληρονομία) καὶ deeſt. v. 23. ſtich. 3. στῆναι) στῆσαι. v. 25. ſtich. 2. Ἰεσσαὶ) deeſt. ibid. ſtich. 3. αὐτῷ καὶ τῷ) ἀαρὼν καὶ τῷ. v. 26. δοίη) δῴη. ibid. ſtich. 3. εἰς γενεὰν) εἰς γενεὰς. CAP. XLVI. v. 1. ἐν πολέμῳ Ἰησῦς υἱὸς Ναυῆ) ἐν πολέμοις Ἰησοῦς ναυῆ. ibid. ſtich. 2. Μωσῆ) μωϋσῆ. ibid. ſtich. 6. κατακληρονομήσῃ) κληρονομήσῃ. v. 2. ſtich. 2. Καὶ ἐν τῷ ἐκλεῖναι) καὶ τῷ ἐκκλῖναι.

3. Τίς πρότερος αὐτῷ ἔτως ἔσῃ;
Τὲς γὰρ πολεμίες Κυρίε αὐτὸς ἀπήγαγεν.

4. Οὐχὶ ἐν χειρὶ αὐτῷ ἐνεποδίθη ὁ ἥλιος,
Καὶ μία ἡμέρα ἐγενήθη πρὸς δύο;

5. Ἐπεκαλέσατο τὸν ὕψιστον δυνάστην,
Ἐν τῷ θλίψαι αὐτὸν ἐχθρὲς κυκλόθεν·
Καὶ ἐπήκεσεν αὐτῷ μέγας Κύριος
Ἐν λίθοις χαλάζης δυνάμεως κραταιᾶς·

6. Κατέῤῥαξεν ἐπ' ἔθνος πόλεμον,
Καὶ ἐν καταβάσει ἀπώλεσεν ἀνθεσηκότας,
Ἵνα γνῶσιν ἔθνη πανοπλίαν αὐτῷ,
Ὅτι ἐναντίον Κυρίε ὁ πόλεμος αὐτῷ·
Καὶ γὰρ ἐπηκολούθησεν ὀπίσω δυνάστε.

7. Καὶ ἐν ἡμέραις Μωσέως ἐποίησεν ἔλεος,
Αὐτὸς καὶ Χαλὲβ υἱὸς Ἰεφοννῆ,
ἐχθρῶ Ἀντιστῆναι ἔναντι ἐκκλησίας,
Κωλῦσαι λαὸν ἀπὸ ἁμαρτίας,
Καὶ κοπάσαι γογγυσμὸν πονηρίας·

8. Καὶ αὐτοὶ δύο ὄντες διεσώθησαν
Ἀπὸ ἑξακοσίων χιλιάδων πεζῶν,
Εἰσάγειν αὐτὲς εἰς κληρονομίαν,
Εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι.

9. Καὶ ἔδωκεν ὁ Κύριος τῷ Χαλὲβ ἰσχὺν,
Καὶ ἕως γήρως διέμεινεν αὐτῷ,
Ἐπιβῆναι αὐτὸν ἐπὶ τὸ ὕψος τῆς γῆς,
Καὶ τὸ σπέρμα αὐτῷ κατέχειν τὴν κληρονομίαν· καὶ

10. Ὅπως ἴδωσι πάντες οἱ υἱοὶ Ἰσραὴλ,
Ὅτι καλὸν τὸ πορεύεσθαι ὀπίσω Κυρίε.

11. Καὶ οἱ κριταὶ ἕκαστος τῷ αὐτῷ ὀνόματι, ὅσων οὐκ ἐξεπόρνευσεν ἡ καρδία,
Καὶ ὅσοι οὐκ ἀπεγράφησαν ἀπ' Κυρίε,
Εἴη τὸ μνημόσυνον αὐτῶν ἐν εὐλογίαις·

12. Τὰ ὀστᾶ αὐτῶν ἀναθάλοι ἐκ τῆ τόπε αὐτῶν,
Καὶ τὸ ὄνομα αὐτῶν ἀντικαταλλασσόμενον,
Ἐφ' υἱοῖς δεδοξασμένων αὐτῶν.

13. Ἠγαπημένος ὑπὸ κυρίε αὐτῷ Σαμουὴλ
Προφήτης Κυρίε κατέστησε βασιλείαν,
Καὶ ἔχρισεν ἄρχοντας ἐπὶ τὸν λαὸν αὐτῷ·

14. Ἐν νόμῳ Κυρίε ἔκρινε συναγωγὴν,
Καὶ ἐπεσκέψατο Κύριος τὸν Ἰακώβ.

15. Ἐν πίστει αὐτῷ ἠκριβάθη προφήτης,
Καὶ ἐγνώσθη ἐν ῥήμασιν αὐτῷ πιστὸς ὁράσεως.

16. Καὶ ἐπεκαλέσατο τὸν Κύριον δυνάστην,

Ἐν

v. 3. πρότερος) πρότερον. ibid. ſtich. 2. Κυρίου αὐτὸς ἀπήγαγεν.) κύριος αὐτὸς ἐπήγαγεν. v. 4. ἐνεποδίθη) ἀνεπόδισεν. v. 5. ſtich. 3. ἐπήκεσεν αὐτῷ) ἐπήκεσεν αὐτῶν. ibid. ſtich. 4. λίθοις) ἐν λίθοις. v. 6. ſtich. 3. πανοπλίαν αὐτοῦ) πανοπλίαν αὐτῶν. v. 7. Μωσέως) μωϋσέως. v. 8. ſtich. 3. Εἰσάγειν) εἰσαγαγεῖν. v. 9. ſtich. 3. τὸ ὕψος) absque articulo. ibid. ſtich. 4. καὶ τὴν κληρονομίαν) κατέχε κληρονομίαν. v. 15. ſtich. 2. ἐν ῥήμασιν) ἐν πίστει.

Ἐν τῷ θλίψαι ἐχθρὲς αὐτῆ κυκλόθεν,
Ἐν προσφορᾷ ἀρνὸς γαλαθηνῆ·
17. Καὶ ἐβρόντησεν ἀπ' ἐρανῆ Κύριος,
Καὶ ἐν ἤχῳ μεγάλῳ ἀκουστὴν ἐποίησε τὴν φωνὴν αὐτῆ·
18. Καὶ ἐξέτριψεν ἡγουμένους Τυρίων,
Καὶ πάντας ἄρχοντας Φυλιστιείμ.
19. Καὶ πρὸ καιρῆ κοιμήσεως αἰῶνος
Ἐπεμαρτύραλο ἔναντι Κυρίε καὶ χριστῆ·
Χρήματα καὶ ἕως ὑποδημάτων
Ἀπὸ πάσης σαρκὸς ἐκ εἴληφα·
Καὶ ἐκ ἐνεκάλεσεν αὐτῷ ἄνθρωπος.
20. Καὶ μετὰ τὸ ὑπνῶσαι αὐτὸν ἐπροφήτευσε,
Καὶ ὑπέδειξε βασιλεῖ τὴν τελευτὴν αὐτῆ·
Καὶ ἀνύψωσεν ἐκ γῆς φωνὴν αὐτῆ,
Ἐν προφητείᾳ ἐξαλεῖψαι ἀνομίαν λαῆ.

ΚΕΦ. ΜΖ'. XLVII.

ΚΑΙ μετὰ τῆτον ἀνέστη Νάθαν Προφητεύειν ἐν ἡμέραις Δαυίδ.
2. Ὥσπερ στέαρ ἀφωρισμένον ἀπὸ σωτηρίε,
Οὕτως Δαυὶδ ἀπὸ υἱῶν Ἰσραήλ.
3. Ἐν λέουσιν ἔπαιζεν ὡς ἐν ἐρίφοις,
Καὶ ἐν ἄρκοις ὡς ἐν ἄρνασι προβάτων.
4. Ἐν νεότητι αὐτῆ ἐχὶ ἀπέκλεινε γίγαντα,
Καὶ ἐξῆρεν ὀνειδισμὸν ἐκ λαῆ,
Ἐν τῷ ἐπᾶραι χεῖρα ἐν λίθῳ σφενδόνης,
Καὶ καταβαλεῖν γαυρίαμα τῆ Γολιάθ;
5. Ἐπεκαλέσατο γὰρ Κύριον τὸν ὕψιστον,
Καὶ ἔδωκεν ἐν τῇ δεξιᾷ αὐτῆ κράτος
Ἐξᾶραι ἄνθρωπον δυνατὸν ἐν πολέμῳ,
Ἀνυψῶσαι κέρας λαῆ αὐτῆ.
6. Οὕτως ἐν μυριάσιν ἐδόξασεν αὐτὸν,
Καὶ ἤνεσεν αὐτὸν ἐν εὐλογίαις Κυρίε,
Ἐν τῷ φέρεσθαι αὐτῷ διάδημα δόξης.
7. Ἐξέτριψε γὰρ ἐχθρὲς κυκλόθεν,
Καὶ ἐξεδένωσε Φυλιστιεὶμ τὲς ὑπεναντίες·
Ἕως σήμερον συνέτριψεν αὐτῶν κέρας.
8. Ἐν παντὶ ἔργῳ αὐτῆ ἔδωκεν ἐξομολόγησιν
Ἁγίῳ ὑψίστῳ ῥήματι δόξης·
Ἐν πάσῃ καρδίᾳ αὐτῆ ὕμνησε,
Καὶ ἠγάπησε τὸν ποιήσαντα αὐτόν.
9. Καὶ ἔστησε ψαλτῳδὲς κατέναντι θυσιαστηρίε,
Καὶ ἐξ ἠχῆς αὐτῶν γλυκαίνειν μέλη,
Καὶ καθ' ἡμέραν αἰνέσεσιν ἐν ταῖς ᾠδαῖς αὐτῶν·
10. Ἔδωκεν ἐν ἑορταῖς εὐπρέπειαν,
Καὶ ἐκόσμησε καιρὲς μέχρι συντελείας,
Ἐν τῷ αἰνεῖν αὐτὲς τὸ ἅγιον ὄνομα αὐτῆ,
Καὶ ἀπὸ πρωΐας ἠχεῖν τὸ ἁγίασμα.

Ζ z 3 11. Κύριος

χεῖρας

v. 20. ἐπροφήτευσε) προεφήτευσε. ibid. ſtich. 3. φωνὴν) τὴν φωνὴν. CAP. XLVII. v. 1. τῆτον) τῆτο. v. 2. ſtich. 2. ἀπὸ υἱῶν) ἀπὸ τῶν υἱῶν. v. 3. ἔπαιζεν) ἔπαισεν. v. 4. ſtich. 3. χεῖρας) χεῖρα. v. 9. θυσιαστηρίε) τοῦ θυσιαστηρίου. ibid. ſtich. 2. in Rom. καὶ ἐξ ἤχου αὐτῶν γλυκαίνει μέλη. v. 10. ſtich. 4. ἀπὸ πρωΐας) ἀπὸ πρωΐ.

11. Κύριος ἀφεῖλε τὰς ἁμαρτίας αὐτῆ,
Καὶ ἀνύψωσεν εἰς αἰῶνα τὸ κέρας αὐτῆ,
Καὶ ἔδωκεν αὐτῷ διαθήκην βασιλέων
Καὶ θρόνον δόξης ἐν τῷ Ἰσραήλ.

12. Μετὰ τοῦτον ἀνέστη υἱὸς ἐπισήμων,
Καὶ δι' αὐτὸν κατέλυσεν ἐν πλατυσμῷ·

13. Σολωμὼν ἐβασίλευσεν ἐν ἡμέραις εἰρήνης,
Ὃν ὁ Θεὸς κατέπαυσε κυκλόθεν,
Ἵνα στήσῃ οἶκον ἐπ' ὀνόματι αὐτῆ,
Καὶ ἑτοιμάσῃ ἁγίασμα εἰς τὸν αἰῶνα.

14. Ὡς ἐσοφίσθης ἐν νεότητί σε,
Καὶ ἐνεπλήσθης ὡς ποταμὸς συνέσεως;

15. Γῆν ἐπεκάλυψεν ἡ ψυχή σε,
Καὶ ἐνέπλησας ἐν παραβολαῖς αἰνιγμάτων·

16. Εἰς νήσους πόρρω ἀφίκετο τὸ ὄνομά σε,
Καὶ ἠγαπήθης ἐν τῇ εἰρήνῃ σε.

17. Καὶ ἐν ᾠδαῖς καὶ παροιμίαις καὶ παραβολαῖς,
ἑρμηίαις Καὶ ἐν ἑρμηνείαις ἀπεθαύμασάν σε χῶραι.

18. Ἐν ὀνόματι Κυρίῳ τῷ Θεῷ
Τῷ ἐπικεκλημένῳ Θεῷ Ἰσραὴλ,
Συνήγαγες ὡς κασσίτερον τὸ χρυσίον,
μόλιβδον Καὶ ὡς μόλιβδον ἐπλήθυνας ἀργύριον.

19. Παρανέκλινας τὰς λαγόνας σε γυναιξὶ,
Καὶ ἐνεξουσιάσθης ἐν τῷ σώματί σε·

20. Ἔδωκας μῶμον ἐν τῇ δόξῃ σε·
Καὶ ἐβεβήλωσας τὸ σπέρμα σε,
Ἐπαγαγεῖν ὀργὴν ἐπὶ τὰ τέκνα σε,
Καὶ κατανυγῆναι ἐπὶ τῇ ἀφροσύνῃ σε· καλενύγην

21. Γενέσθαι δίχα τυραννίδα,
Καὶ ἐξ Ἐφραὶμ ἄρξαι βασιλείαν ἀπειθῆ.

22. Ὁ δὲ Κύριος ὲ μὴ ἐγκαταλείπῃ τὸ ἔλεος αὐτῆ,
Καὶ ὲ μὴ διαφθείρῃ ἀπὸ τῶν ἔργων αὐτῆ,
Οὐδὲ μὴ ἐξαλείψῃ ἐκλεκτῆ αὐτῆ ἔκγονα,
Καὶ τὸ σπέρμα τῆ ἀγαπήσαντος αὐτὸν ὲ μὴ ἐξάρῃ·
Καὶ τῷ Ἰακὼβ ἔδωκε κατάλειμμα,
Καὶ τῷ Δαυὶδ ἐξ αὐτῆ ῥίζαν.

23. Καὶ ἀνεπαύσατο Σαλωμὼν μετὰ τῶν πατέρων αὐτῆ,
Καὶ καλέλιπε μεθ' αὐτὸν ἐκ τῆ σπέρματος αὐτῆ
Λαῆ ἀφροσύνην καὶ ἐλαττούμενον συνέσει
Ῥοβοὰμ, ὃς ἀπέστησε τὸν λαὸν ἐκ βελῆς αὐτῆ,
Καὶ Ἱεροβοὰμ υἱὸν Ναβὰτ, ὃς ἐξήμαρτε τὸν Ἰσραὴλ,
Καὶ ἔδωκε τῷ Ἐφραὶμ ὁδὸν ἁμαρτίας·

24. Καὶ

v. 12. Μετὰ τοῦτον) μετὰ τοῦτο. v. 13. Σολωμὼν) Σαλωμὼν. v. 17. Καὶ ἐν ᾠδαῖς) καὶ deest. ibid. stich. 2. ἐν ἑρμηίαις) ἐν ἑρμηνείαις. v. 18. stich. 4. ὡς μόλιβδον) ὡς μόλιβδον. v. 19. παρανέκλινας) παρενέκλινας. v. 22. ἐγκαταλείπῃ) καταλίπῃ. ibid. stich. 2. διαφθείρῃ) διαφθαρῇ. ibid. stich. 3. αὐτοῦ) deest. ibid. stich. 4. τὸ σπέρμα) absque articulo. v. 23. πατέρων αὐτῆ) αὐτῆ abest. ibid. stich. 2. μεθ' αὐτὸν) μετ' αὐτὸν. ibid. stich. 4. τὸν λαὸν) absque articulo.

24. Καὶ ἐπληθύνθησαν αἱ ἁμαρτίαι αὐτῶν σφόδρα,
Ἀποξῆσαι αὐτὲς ἀπὸ τῆς γῆς αὐτῶν·
25. Καὶ πᾶσαν πονηρίαν ἐξεζήτησαν,
Ὡς Ἕως ἐκδίκησις ἔλθῃ ἐπ' αὐτές.

ΚΕΦ. ΜΗ'. XLVIII.

ΚΑΙ ἀνέξη Ἠλίας προφήτης ὡς πῦρ,
Καὶ ὁ λόγος αὐτῦ ὡς λαμπὰς ἐκαίετο·
2. Ὃς ἐπήγαγεν ἐπ' αὐτοὺς λιμὸν ἰσχυρὸν,
Καὶ τῷ ζήλῳ αὐτῦ ὠλιγοποίησεν αὐτές·
3. Ἐν λόγῳ Κυρίε ἀνέσχεν ὐρανὸν,
Κατήγαγεν ἔτως τρὶς πῦρ.
4. Ὡς ἐδοξάσθης Ἠλία ἐν θαυμασίοις σε;
Καὶ τὶς ὅμοιός σοι καυχήσεται;
5. Ὁ ἐγείρας νεκρὸν ἐκ θανάτε, καὶ ἐξ ᾅδε ψυχὴν ἐν λόγῳ ὑψίστε·
6. Ὁ καταγαγὼν βασιλεῖς εἰς ἀπώλειαν,
Καὶ δεδοξασμένες ἀπὸ κλίνης αὐτῶν.
7. Ἀκέων ἐν Σινᾷ ἐλεγμὸν Κυρίε,
Καὶ ἐν Χωρὴβ κρίματα ἐκδικήσεως.
8. Ὁ χρίων βασιλεῖς εἰς ἀνταπόδομα,
Καὶ προφήτας διαδόχες μετ' αὐτόν.
λαμπάδι 9. Ὁ ἀναληφθεὶς ἐν λαίλαπι πυρὸς
Ἐν ἅρματι ἵππων πυρίνων·
10. Ὁ καταγραφεὶς ἐν ἐλεγμοῖς εἰς καιρὲς, ἐλεγμὸς
Κοπάσαι ὀργὴν κρίσεως Κυρίε πρὸ θυμῦ,
Καὶ ἐπιστρέψαι καρδίαν πατρὸς πρὸς υἱὸν,
Καὶ καταξῆσαι Φυλὰς Ἰακώβ.
11. Μακάριοι οἱ ἰδόντες σε,
Καὶ οἱ ἐν ἀγαπήσει κεκοιμημένοι, κεκοσμημένοι
Καὶ γὰρ ἡμεῖς * ζωῇ ζησόμεθα.
12. Ἠλίας, † ὡς ἐν λαίλαπι ἐσκεπάσθη, * ζωῆς
Καὶ Ἐλισαιὲ ἐπλήσθη πνεύματος † ὃς
αὐτῦ. ἁγίε
Καὶ ἐν ἡμέραις αὐτῦ ἐκ ἐσαλεύθη ὑπὸ ἄρχοντος,
Καὶ ὐ κατεδυνάστευσεν αὐτὸν ὐδείς·
13. Πᾶς λόγος ἐχ ὑπερῆρεν αὐτὸν,
Καὶ ἐν κοιμήσει ἐπροφήτευσε τὸ σῶμα αὐτῦ·
14. Καὶ ἐν ζωῇ αὐτῦ ἐποίησε τέρατα,
Καὶ ἐν τελευτῇ θαυμάσια τὰ ἔργα αὐτῦ.
15. Ἐν πᾶσι τέτοις ὐ μετενόησεν ὁ λαὸς,
Καὶ ἐκ ἀπέστησαν ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν,
Ἕως ἐπρονομεύθησαν ἀπὸ τῆς γῆς αὐτῶν,
Καὶ διεσκορπίσθησαν ἐν πάσῃ τῇ γῇ.
Καὶ κατελείφθη ὁ λαὸς ὀλιγοστὸς,
Καὶ ἄρχων ἐν τῷ οἴκῳ Δαυίδ·
16. Τινὲς

v. 25. ſtich. 2. Ὡς) ἕως. CAP. XLVIII. v. 4. ἐν θαυμασίοις) ἐν τοῖς θαυμασίοις. ibid. ſtich. 2. καυχήσεται) καυχᾶσθαι. v. 7. Ἀκέων) ὁ ἀκούων. v. 9. λαμπάδι) λαίλαπι. v. 10. ἐλεγμὸς) ἐν ἐλεγμοῖς. ibid. ſtich. 3. ἐπιστρέψαι) præmittit καὶ. v. 11. ſtich. 3. ζωῆς) ζωῇ. v. 12. ſtich. 2. in *Rom.* καὶ ἐλισαιὲ ἐνεπλήσθη πνεύματος αὐτῦ. v. 13. ἐχ) ἐκ. v. 15. ſtich. 3. ἀπὸ γῆς) ἀπὸ τῆς γῆς. ibid. ſtich. 4. διεσκορπίσθησαν) ἐσκορπίσθησαν. ibid. ſtich. 6. ἐν τῷ οἴκῳ) ἐν deeſt.

16. Τινὲς μὲν αὐτῶν ἐποίησαν τὸ ἀρεστὸν,
Τινὲς δὲ ἐπλήθυναν ἁμαρτίας.
17. Ἐζεκίας ὠχύρωσε τὴν πόλιν αὐτῦ,
Καὶ εἰσήγαγεν εἰς μέσον αὐτῆς ὕδωρ·
Ὤρυξεν ἐν σιδήρῳ ἀκρότομον,
Καὶ ᾠκοδόμησε κρήνας εἰς ὕδατα.
18. Ἐν ἡμέραις αὐτῦ ἀνέβη Σενναχηρεὶμ,
καὶ ἀπέστειλε Ραψάκην, καὶ ἀπῆρεν ἐκ Λαχείς·
Καὶ ἐπῆρεν χεῖρα αὐτῦ ἐπὶ Σιὼν,
Καὶ ἐμεγαλαύχησεν ὑπερηφανίᾳ αὐτῦ.
19. Τότε ἐσαλεύθησαν καρδίαι καὶ αἱ χεῖρες αὐτῶν,
Καὶ ὠδίνησαν ὡς αἱ τίκτουσαι·
20. Καὶ ἐπεκαλέσαντο τὸν Κύριον τὸν ἐλεήμονα,
Ἐκπετάσαντες τὰς χεῖρας αὐτῶν πρὸς αὐτόν·
Καὶ ὁ ἅγιος ἐξ οὐρανῦ ταχὺ ἐπήκουσεν αὐτῶν,
Καὶ ἐλυτρώσατο αὐτὸς ἐν χειρὶ Ἡσαΐου·
21. Ἐπάταξε τὴν παρεμβολὴν τῶν Ἀσσυρίων,
Καὶ ἐξέτριψεν αὐτὸς ὁ ἄγγελος αὐτῦ.
22. Ἐποίησε γὰρ Ἐζεκίας τὸ ἀρεστὸν Κυρίῳ,
Καὶ ἐνίσχυσεν ἐν ὁδοῖς Δαυὶδ τῦ πατρὸς αὐτῦ,
Ἃς ἐνετείλατο Ἡσαΐας ὁ προφήτης,
Ὁ μέγας καὶ πιστὸς ἐν ὁράσει αὐτῦ·
23. Ἐν ταῖς ἡμέραις αὐτῦ ἀνεπόδισεν ὁ ἥλιος,
Καὶ προσέθηκε ζωὴν βασιλεῖ·
24. Πνεύματι μεγάλῳ εἶδε τὰ ἔσχατα,
Καὶ παρεκάλεσε τοὺς πενθοῦντας ἐν Σιών·
25. Ἕως τῦ αἰῶνος ὑπέδειξε τὰ ἐσόμενα,
Καὶ τὰ ἀπόκρυφα πρὶν παραγενέσθαι αὐτά.

ΚΕΦ. ΜΘ'. XLIX.

Μνημόσυνον Ἰωσὶα εἰς σύνθεσιν θυμιάματος,
Ἐσκευασμένον ἔργον μυρεψῦ·
Ἐν παντὶ στόματι ὡς μέλι γλυκανθήσεται,
Καὶ ὡς μουσικὰ ἐν συμποσίῳ οἴνου.
2. Αὐτὸς κατηυθύνθη ἐν ἐπιστροφῇ λαοῦ,
Καὶ ἐξῆρε βδελύγματα ἀνομίας·
3. Κατεύθυνε πρὸς Κύριον τὴν καρδίαν ὁδὸν αὐτῦ,
Ἐν ἡμέραις ἀνόμων κατίσχυσε τὴν εὐσέβειαν.
4. Πάρεξ Δαυὶδ, καὶ Ἐζεκίου, καὶ Ἰωσίου,
Πάντες πλημμελείᾳ ἐπλημμέλησαν·
Κατέλειπον γὰρ τὸν νόμον τοῦ ὑψίστου,
Οἱ βασιλεῖς Ἰούδα ἐξέλειπον.
5. Ἔδωκεν γὰρ τὸ κέρας αὐτῶν ἑτέροις, ἔδωκαν
Καὶ τὴν δόξαν αὐτῶν ἔθνει ἀλλοτρίῳ·
6. Ἐνεπύρισαν ἐκλεκτὴν πόλιν ἁγιάσματος,

Καὶ

v. 17. ſtich. 2. αὐτῆς ὕδωρ) αὐτῶν τὸν γώγ. v. 18. ἀνέβη Σενναχηρεὶμ) ἀνέβησεν ναχηρεὶμ. ibid. ſtich. 2. χεῖρα) ἡ χεὶρ. v. 19. αἱ χεῖρες) absque articulo. CAP. XLIX. v. 1. ſtich. 2. ἔργον) ἔργῳ. v. 3. τὴν ὁδὸν) τὴν καρδίαν. v. 4. ſtich. 2. πλημμελείᾳ) πλημμέλειαν.

Καὶ ἠρήμωσαν τὰς ὁδὲς αὐτῆς
Ἰερεμίε Ἐν χειρὶ Ἱερεμίε.
7. Ἐκάκωσαν γὰρ αὐτὸν,
Καὶ αὐτὸς ἐν μήτρᾳ ἡγιάσθη προφήτης
Ἐκριζοῦν καὶ κακοῦν καὶ ἀπολύειν,
Ὡσαύτως οἰκοδομεῖν καὶ καταφυτεύειν.
Ἰεζεκιὴλ ὃς 8. Ἰεζεκιήλος εἶδεν ὅρασιν δόξης,
Ἣν ὑπέδειξεν αὐτῷ ἐπὶ ἅρματος Χερουβείμ·
9. Καὶ γὰρ ἐμνήσθη τῶν ἐχθρῶν ἐν ὄμβρῳ,
Καὶ ἀγαθῶσαι τὲς εὐθύνοντας ὁδές.
10. Καὶ τῶν δώδεκα προφητῶν τὰ ὀσᾶ
Ἀναθάλοι ἐκ τῆ τόπε αὐτῶν·
Παρεκάλεσαν γὰρ τὸν Ἰακὼβ,
Καὶ ἐλυτρώσαντο αὐτὲς ἐν πίστει ἐλπίδος.
11. Πῶς μεγαλύνωμεν τὸν Ζοροβάβελ;
Καὶ αὐτὸς ὡς σφραγὶς ἐπὶ δεξιᾶς χειρός·
12. Οὕτως Ἰησῆς υἱὸς Ἰωσεδὲκ,
Οἳ ἐν ἡμέραις αὐτῶν ᾠκοδόμησαν
πύργον οἶκον,
Καὶ ἀνύψωσαν ναὸν ἅγιον Κυρίῳ,
Ἡτοιμασμένον εἰς δόξαν αἰῶνος.
Νεεμίε 13. Καὶ ἐν ἐκλεκτοῖς ἦν Νεεμίας, ᾧ ἐπὶ πολὺ τὸ μνημόσυνον,
Τῆ ἐγείραντος ἡμῖν τείχη πεπλωκότα,
Καὶ σήσαντος πύλας καὶ μοχλὲς,
Καὶ ἀνεγείραντος τὰ οἰκόπεδα ἡμῶν.
14. Οὐδ' εἷς ἐκλίθη ἐπὶ τῆς γῆς τοιῆτος οἷος Ἐνώχ·
Καὶ αὐτὸς ἀνελήφθη ἀπὸ τῆς γῆς. μετελέθη
15. Οὐδὲ ὡς Ἰωσὴφ ἐγενήθη ἀνὴρ,
Ἡγέμενος ἀδελφῶν, σήριγμα λαῆ,
Καὶ τὰ ὀσᾶ αὐτῆ ἐπεσκέπησαν.
16. Σὴμ καὶ Σὴθ ἐν ἀνθρώποις ἐδοξάσθησαν,
Καὶ ὑπὲρ πᾶν ζῶον ἐν τῇ κλίσει Ἀδάμ.

ΚΕΦ. Ν'. L.

Σιμων Ὀνίε υἱὸς ὁ ἱερεὺς ὁ μέγας,
Ὃς ἐν ζωῇ αὐτῆ ὑπέρῤῥαψεν οἶκον,
Καὶ ἐν ἡμέραις αὐτῆ ἐξερέωσε ναὸν,
2. Καὶ ὑπ' αὐτῆ ἐθεμελιώθη ὕψος διπλῆς,
Ἀνάλημμα ὑψηλὸν περιβόλε ἱερῆ·
3. Ἐν ἡμέραις αὐτῆ ἠλατλώθη ἀποδοχεῖα ὑδάτων,
Λάκκος ὡσεὶ θαλάσσης τὸ περίμετρον·
4. Ὁ φροντίζων τῆ λαῆ αὐτῆ ἀπὸ πλώσεως,
Καὶ ἐνισχύσας πόλιν ἐν πολιορκήσει. ἐμπολιορκῆσαι
5. Ὃς ἐδοξάσθη ἐν περιστροφῇ λαῆ,
Ἐν ἐξόδῳ οἴκε καταπετάσματος·

v. 6. stich. 3. Ἱερεμίε) Ἱερεμίου. v. 7. stich. 3. ἀπολύειν) ἀποκλύειν. v. 10. stich. 3. Παρεκάλεσαν γὰρ) παρεκάλεσε δὲ. ibid. stich. 4. ἐλυτρώσαντο) ἐλυτρώσατο. v. 12. stich. 2. & 3. πύργον ἀνύψωσαν ναὸν) οἶκον καὶ ἀνύψωσαν λαὸν. v. 14. in *Rom.* οὐδὲ εἷς ἐκλίθη οἷος ἐνὼχ τοιῆτος ἐπὶ τῆς γῆς, καὶ γὰρ αὐτὸς ἀνελήφθη ἀπὸ τῆς γῆς. v. 15. ἐγενήθη) ἐγεννήθη. CAP. L. v. 1. ὁ ἱερεὺς) ἱερεὺς. ibid. stich. 3. ναὸν) τὸν ναὸν. v. 3. ἀποδοχεῖα) ἀποδοχεῖον. ibid. stich. 2. Λάκκος) χαλκὸς. v. 5. Ὃς) ὡς.

6. Ὡς ἀστὴρ ἑωθινὸς ἐν μέσῳ νεφέλης,
Ὡς σελήνη πλήρης ἐν ἡμέραις,
7. Ὡς ἥλιος ἐκλάμπων ἐπὶ ναὸν ὑψίστου,
Ὡς τόξον φωτίζον ἐν νεφέλαις δόξης·
8. Ὡς ἄνθος ῥόδων ἐν ἡμέραις νέων,
Ὡσεὶ κρίνα ἐπ' ἐξόδῳ ὕδατος,
Ὡς βλαστὸς Λιβάνου ἐν ἡμέραις θέρους·
9. Ὡς πῦρ καὶ λίβανος ἐπὶ πυρείου,
Ὡς σκεῦος χρυσίου ὁλοσφύρητον,
Κεκοσμημένον παντὶ λίθῳ πολυτελεῖ·
10. Ὡς ἐλαία εὐκαρπὴς ἀναθάλλουσα καρπὸς,
Καὶ ὡς κυπάρισσος ὑψουμένη ἐν νεφέλαις.
11. Ἐν τῷ ἀναλαμβάνειν αὐτὸν στολὴν δόξης,
Καὶ ἐνδιδύσκεσθαι αὐτὸν συντέλειαν καυμάτος
Ἐν ἀναβάσει θυσιαστηρίου ἁγίου
Ἐδόξασε περίβολὴν ἁγιάσματος·
12. Ἐν δὲ τῷ δέχεσθαι μέλη ἐκ χειρῶν ἱερέων,
Καὶ αὐτὸς ἕστηκως παρ' ἑστίαν βωμοῦ,
Κυκλόθεν αὐτοῦ στέφανος ἀδελφῶν,
Ὡς βλάστημα κέδρων ἐν τῷ Λιβάνῳ,
Καὶ ἐκύκλωσαν αὐτὸν ὡς στελέχη φοινίκων·
13. Καὶ πάντες οἱ υἱοὶ Ἀαρὼν ἐν δόξῃ αὐτῶν,
Καὶ προσφοραὶ Κυρίου ἐν χερσὶν αὐτῶν
Ἐναντι πάσης ἐκκλησίας Ἰσραήλ·
14. Καὶ συντέλειαν λειτουργῶν ἐπὶ βωμῷ,
Κοσμῆσαι προσφορὰν ὑψίστου παντοκράτορος,
15. Ἐξέτεινεν ἐπὶ σπονδείου χεῖρα αὐτοῦ,
Καὶ ἔσπεισεν ἐξ αἵματος σταφυλῆς·
Ἐξέχεεν εἰς θεμέλια θυσιαστηρίου
Ὀσμὴν εὐωδίας ὑψίστῳ παμβασιλεῖ.
16. Τότε ἀνέκραγον οἱ υἱοὶ Ἀαρὼν,
Ἐν σάλπιγξιν ἐλατοῖς ἤχησαν,
Ἀκοὴν ἐποίησαν φωνὴν μεγάλην
Εἰς μνημόσυνον ἔναντι ὑψίστου·
17. Τότε πᾶς ὁ λαὸς κοινῇ κατέσπευσαν,
Καὶ ἔπεσαν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν,
Προσκυνῆσαι Κυρίῳ παντοκράτορι,
Θεῷ ὑψίστῳ·
18. Καὶ ἤνεσαν οἱ ψαλτῳδοὶ ἐν φωναῖς αὐτῶν,
Ἐν πλείστῳ ἤχῳ ἐγλυκάνθη μέλος· οἶκῳ ἐμεγαλύνθη
19. Καὶ ἐδεήθη ὁ λαὸς Κυρίου ὑψίστου
Ἐν προσευχῇ κατέναντι ἐλεήμονος,
Ἕως συντελεσθῇ κόσμος Κυρίου,
Καὶ τὴν λειτουργίαν αὐτοῦ ἐτελείωσαν.
20. Τότε καταβὰς ἐπῆρε χεῖρας αὐτοῦ ἐπὶ χεῖρα πᾶσαν ἐκκλησίαν υἱῶν Ἰσραὴλ,

Δοῦναι

v. 7. stich. 2. Ὡς τόξον) præmittit καὶ. v. 8. stich. 2. Ὡσεὶ) ὡς. ibid. ἐξόδῳ) ἐξόδων. v. 9. πυρείου) πυρίκ. v. 11. stich. 2. καύματος) καυχήματος. v. 12. stich. 2. ἕστηκως) ἑστὼς. ibid. stich. 4. κέδρων) κέδρου. v. 14. ἐπὶ βωμῷ) ἐπὶ βωμῶν. v. 16. οἱ υἱοὶ) υἱοὶ. v. 17. κατέσπευσαν) κατέσπευσε. ibid. stich. 3. Κυρίῳ) τῷ κυρίῳ αὐτῶν. ibid. ὑψίστῳ) τῷ ὑψίστῳ. v. 18. Ψαλτῳδοὶ) ψαλμῳδοὶ. ibid. stich. 2. ἐμεγαλύνθη) ἐγλυκάνθη. v. 20 stich. 1. in *Rom.* τότε καταβὰς ἐπῆρε χεῖρας αὐτοῦ ἐπὶ πᾶσαν ἐκκλησίαν υἱῶν ἰσραὴλ.

Κυρίῳ Δῦναι εὐλογίαν Κυρίε ἐκ χειλέων αὐτῦ,
Καὶ ἐν ὀνόματι αὐτῦ καυχήσασθαι·

ἐδευτέρωσεν ἐπὶ † Ἐπιδεῖξασθαι 21. Καὶ ἐδευτέρωσαν ἐν προσκυνήσει, † Ἐπιδέξασθαι τὴν εὐλογίαν παρὰ ὑψίστε·

22. Καὶ νῦν εὐλογήσατε τῷ Θεῷ πάντων
Τῷ μεγάλα ποιῦντι πάντη,
Τὸν ὑψοῦντα ἡμέρας ἡμῶν ἐκ μήτρας,
Καὶ ποιῦντα μεθ' ἡμῶν κατὰ τὸ ἔλεος αὐτῦ·

23. Δῴη ἡμῖν εὐφροσύνην καρδίας,
Καὶ γενέσθαι εἰρήνην ἐν ἡμέραις ἡμῶν
Ἐν Ἰσραὴλ κατὰ τὰς ἡμέρας τῦ αἰῶνος·

24. Ἐμπιστεῦσαι μεθ' ἡμῶν τὸ ἔλεος αὐτῦ,

αὐτῦ Καὶ ἐν ταῖς ἡμέραις ἡμῶν λυτρωσάσθω ἡμᾶς.

25. Ἐν δυσὶν ἔθνεσι προσώχθισεν ἡ ψυχή με,
Καὶ τὸ τρίτον οὐκ ἔστιν ἔθνος·

26. Οἱ καθήμενοι ἐν ὄρει Σαμαρείας, καὶ Φυλιστιείμ,
Καὶ ὁ λαὸς ὁ μωρὸς ὁ κατοικῶν ἐν Σικίμοις.

27. Παιδείαν συνέσεως καὶ ἐπιστήμης
Ἐχάραξα Ἐχάραξεν ἐν τῷ βιβλίῳ τούτῳ
Ἰησῦς υἱὸς Σειραχ Ἐλεάζαρ ὁ Ἱεροσολυμίτης,
Ὃς ἀνώμβρησε σοφίαν ἀπὸ καρδίας αὐτῦ.

28. Μακάριος ὃς ἐν τούτοις ἀναστραφήσεται, καὶ θεὶς αὐτὰ ἐπὶ καρδίαν αὐτῦ σοφισθήσεται·

29. Ἐὰν γὰρ ταῦτα ποιήσῃ, πρὸς πάντα ἰσχύσει, ὅτι φῶς Κυρίε τὸ ἴχνος αὐτῦ,
Καὶ τοῖς εὐσεβέσιν ἔδωκε σοφίαν.
Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα· γένοιτο, γένοιτο.

ΚΕΦ. ΝΑ'. LI.

Προσευχὴ Ἰησῦ υἱῦ Σιράχ.

Ἐξομολογήσομαί σοι Κύριε βασιλεῦ, καὶ αἰνέσω σε Θεὸν τὸν σωτῆρά με, Ἐξομολογοῦμαι

Ἐξομολογοῦμαι τῷ ὀνόματί σου·

2. Ὅτι σκεπαστὴς καὶ βοηθὸς ἐγένετό μοι,
Καὶ ἐλυτρώσω τὸ σῶμά με ἐξ ἀπωλείας, καὶ ἐκ παγίδος διαβολῆς γλώσσης,
Ἀπὸ χειλέων ἐργαζομένων ψεῦδος, καὶ ἔναντι τῶν παρεστηκότων
Ἐγένετό μοι βοηθὸς, 3. καὶ ἐλυτρώσω με
Κατὰ τὸ πλῆθος ἐλέους καὶ ὀνόματός σε,
Ἐκ βρυγμῶν ἑτοίμων εἰς βρῶμα, ἕτοιμον
Ἐκ χειρὸς ζητούντων τὴν ψυχήν με,
Ἐκ πλειόνων θλίψεων ὧν ἔσχον,

v. 20. stich. 3. καυχήσασθαι) καυχᾶσθαι. v. 21. ἐπὶ προσκ.) ἐν προσκυνήσει. v. 22. stich. 2. & 3. πάντων μεγάλα ποιοῦντι) πάντες τῷ μεγαλοποιοῦντι. v. 26. καὶ Φυλιστιείμ) καὶ deest. ibid. stich. 2. ὁ μωρὸς) μωρὸς. v. 27. stich. 3. Ἐλεάζαρ ὁ) non habet. v. 28. καὶ θεὶς) καὶ ὁ θεὶς. v. 29. ταῦτα) αὐτὰ. CAP. LI. Inscr. Σιράχ) σειράχ. v. 1. Ἐξομολογοῦμαι) Ἐξομολογήσομαι. ibid. αἰνέσω) addit σε. v. 2. stich. 2. ἀπωλείας) ἀπολείας. ibid. stich. 4. Ἐγένου βοηθὸς) ἐγένετό μοι βοηθὸς. v. 3. stich. 3. ἕτοιμον) ἑτοίμων.

4. Ἀπὸ πνιγμῆ πυρᾶς κυκλόθεν,
Καὶ ἐκ μέσε πυρὸς ᾗ ἐκ ἐξέκαυσα,

5. Ἐκ βάθες κοιλίας ᾅδε,
Καὶ ἀπὸ γλώσσης ἀκαθάρτε καὶ λόγε ψευδῆς.

6. Βασιλεῖ διαβολὴ ἐκ γλώσσης ἀδίκε·
Ἤγγισεν ἕως θανάτε ἡ ψυχή με,
Καὶ ἡ ζωή με ἦν σύνεγγυς ᾅδε κάτω.

7. Περιέχον με πάντοθεν, καὶ ἐκ ἦν ὁ βοηθῶν·
Ἔβλεπον εἰς ἀντίληψιν ἀνθρώπων, καὶ ἐκ ἦν.

8. Καὶ ἐμνήσθην τῆ ἐλέες σε Κύριε,
Καὶ τῆς ἐργασίας σε τῆς ἀπ' αἰῶνος·
Ὅτι ἐξαιρῇ τὲς ὑπομένοντάς σε,
Καὶ σώζεις αὐτὲς ἐκ χειρὸς ἐχθρῶν·

9. Καὶ ἀνύψωσα ἀπὸ γῆς ἱκετείαν με,
Καὶ ὑπὲρ θανάτε ῥύσεως ἐδεήθην·

ἀπὸ ἀ-
θανάτε 10. Ἐπεκαλεσάμην Κύριον πατέρα κυρίε με,
Μή με ἐγκαταλιπεῖν ἐν ἡμέραις θλίψεως,
Ἐν καιρῷ ὑπερηφάνων ἀβοηθησίας·

11. Αἰνέσω τὸ ὄνομά σε ἐνδελεχῶς,
Καὶ ὑμνήσω ἐν ἐξομολογήσει·
Καὶ εἰσηκέθη ἡ δέησίς με.

12. Ἔσωσας γάρ με ἐξ ἀπωλείας,
ἐξελῆμαι Καὶ ἐξεῖλε με ἐκ χειρὸς πονηρᾶ (καὶ ἐξείλε με)·
Διὰ τᾶτο ἐξομολογήσομαί σοι, καὶ αἰνέσω σοι, καὶ εὐλογήσω τῷ ὀνόματι Κυρίε.

13. Ἔτι ὢν νεώτερος πρινὴ πλανηθῆναί με,
Ἐζήτησα σοφίαν προφανῶς ἐν προσευχῇ με·

14. Ἐναντι ναᾶ ἠξίεν περὶ αὐτῆς,
Καὶ ἕως ἐχάτων ἐκζητήσω αὐτήν.

15. Ἐξ ἄνθες ὡς περκαζέσης ταφυλῆς, ἕως
Ἠυφράνθη ἡ καρδία με ἐν αὐτῇ·
Ἐπέβη ὁ πᾶς με ἐν εὐθύτητι,
Ἐκ νεότητός με ἴχνευον αὐτήν.

16. Ἔκλινα ὀλίγον τὸ ὖς με καὶ ἐδεξάμην,
Καὶ πολλὴν εὗρον ἐμαυτῷ παιδείαν·

17. Προκοπὴ ἐγένετό μοι ἐν αὐτῇ·
Τῷ διδόντι μοι σοφίαν, δώσω δόξαν.

18. Διενοήθην γὰρ τᾶ ποιῆσαί με αὐτὴν,
Καὶ ἐζήλωσα τὸ ἀγαθὸν, καὶ ἐ μὴ αἰσχυνθῶ.

19. Διαμεμάχηται ἡ ψυχή με ἐν αὐτῇ, διαμεμάχισαι
Καὶ ἐν ποιήσει με † διηκριβωσάμην· † διηκρι-
Τὰς χεῖράς με ἐξεπέτασα πρὸς ὕψος, βησάμην
Καὶ τὰ ἀγνοήματα αὐτῆς ἐπένθησα.

20. Τὴν ψυχήν με κατεύθυνα εἰς αὐτὴν,

Καὶ

v. 4. πυρᾶς) πυρὸς. v. 7. stich. 2. Ἔβλεπον) ἐμβλέπων. v. 8. stich. 3. ἐξαιρῇ) ἐξελῇ. ibid. stich. 4. ἐχθρῶν) ἐθνῶν. v. 9. ἀπὸ γῆς) ἐπὶ γῆς. ibid. stich. 2. ἀπὸ ἀθανάτου) ὑπὲρ θανάτου. v. 12. stich. 2. in Rom. καὶ ἐξείλου με ἐκ καιρᾶ πονηροῦ. ibid. stich. 3. ἐξομολ. σοι, καὶ) σοι deeſt. v. 15. ἕως) ὡς. ibid. stich. 4. ἴχνευον) ἴχνευσα. ibid. stich. 2. διδόντι) addit μοι. v. 18. ποιῆσαί με) με abeſt. v. 19. διαμεμάχισαι) διαμεμάχηται. ibid. stich. 2. μου διηκριβησάμην) λιμᾶν διηκριβωσάμην.

καιρῷ θε ρισμῷ
Καὶ ἐν καθαρισμῷ εὗρον αὐτήν·
Καρδίαν ἐκλησάμην μετ' αὐτῆς ἀπ' ἀρχῆς·
Διὰ τοῦτο ὁ μὴ ἐγκαταλειφθῶ.

21. Καὶ ἡ κοιλία μου ἐταράχθη τοῦ ἐκζητῆσαι αὐτήν·
Διὰ τοῦτο ἐκλησάμην ἀγαθὸν κλῆμα.

22. Ἔδωκε Κύριος γλῶσσάν μου μισθόν μου,
Καὶ ἐν αὐτῇ αἰνέσω αὐτόν·

23. Ἐγγίσατε πρὸς μὲ ἀπαίδευτοι,
αὐλιθήσεσθε Καὶ αὐλίσθητε ἐν οἴκῳ παιδείας.

24. Τί ὅτι ὑστερεῖτε, λέγετε, ἐν τούτοις,
Καὶ αἱ ψυχαὶ ὑμῶν διψῶσι σφόδρα;

25. Ἤνοιξα τὸ στόμα μου, καὶ ἐλάλησα·
Κτήσασθε ἑαυτοῖς ἄνευ ἀργυρίου·

26. Τὸν τράχηλον ὑμῶν ὑπόθετε ὑπὸ ζυγὸν,
Καὶ ἐπιδεξάσθω ἡ ψυχὴ ὑμῶν παιδείαν·
Ἐγγύς ἐστιν εὑρεῖν αὐτήν.

27. Ἴδετε ἐν ὀφθαλμοῖς ὑμῶν ὅτι ὀλίγον ἐκοπίασα,
Καὶ εὗρον ἐμαυτῷ πολλὴν ἀνάπαυσιν.

28. Μετάσχετε παιδείας ἐν πολλῷ ἀριθμῷ ἀργυρίου·
Καὶ πολὺν χρυσὸν κλήσασθε ἐν αὐτῇ.

29. Εὐφρανθείη ἡ ψυχὴ ὑμῶν ἐν τῷ ἐλέει αὐτοῦ,
Καὶ μὴ αἰσχυνθείητε ἐν αἰνέσει αὐτοῦ.

30. Ἐργάζεσθε τὸ ἔργον ὑμῶν πρὸ καιροῦ,
Καὶ δώσει τὸν μισθὸν ὑμῶν ἐν καιρῷ αὐτοῦ.

ΣΟΦΙΑ ΙΗΣΟΥ ΥΙΟΥ ΣΕΙΡΑΧ.

v. 20. ſtich. 2. & 3. in *Edit. Rom.* transponuntur. ibid. ſtich. 2. ἐν καιρῷ θερισμοῦ) ἐν καθαρισμῷ. ibid. ſtich. 3. μετ' αὐτῆς) μετ' αὐτῶν. v. 21. τοῦ) abeſt. v. 22. γλῶσσάν μου) γλῶσσάν μοι. v. 23. ſtich. 2. αὐλιθήσεσθε) αὐλίσθητε. v. 24. Τί ὅτι) διότι. ibid. λέγετε) abeſt.